HES. 704 ἄγονος· ἄτεκνος (Exod. XXIII 26) ἄκαρπος, ἄσπορος 5 ἄγοντα (Φ 262)· ἡγούμενον 6 ἄγοντας· φέροντας 10 ἀγοράασθαι (Β 337)· διαλέγεσθαι 11 ἀγορὰ θεῶν (v. θεῶν ἀγορά)· καὶ οὗτος Ἀθήνησιν 12 ἀγοραίαν· δικαιολογίαν 13 ἀγοραῖοι (Actt. Ap. XVII 5)· οἱ ἐν ἀγορᾷ ἀναστρεφόμενοι 22 ἀγορεύοντο· ἐκηρύττοντο, ἐλέγοντο, ἐκ τοῦ ἀγορεύειν, ὅ ἐστι λέγειν 28 ἀγοράων (Β 275)· δημηγορῶν 30 ἀγόρευε (Α 385)· ἐδημηγόρει, ἔλεγεν 31 ἀγορευέμεν (Μ 213)· λέγειν 32 ἀγορεύων (Δ 6)· λέγων 34 ἀγορῆθεν (Β 264)· ἀπὸ ἀγορᾶς, ἢ ἐκκλησίας 35 ἀγορὴ δὲ (Α 54)· εἰς τὴν ἐκκλησίαν 36 ἀγορήσατο (Α 73)· ἐξεκκλησιάσατο, ἐδημηγόρησεν 37 ἀγορηταί (Γ 150)· ἐκκλησιασταί 38 ἀγορήτης (sic) (Α 248)· δημηγόρος 46 ἄγος· τὸν ἀγκῶνα. τὸ δὲ ἀγὲς τὸ ἐντὸς τῶν χειρῶν καὶ βραχιόνων, ὡς (ᾧ) ἀεὶ ἐφ' ἡμᾶς αὐτοὺς ἐπαγόμεθά τι· Ἀπολλόδωρος δὲ τὸ ἐντὸς τοῦ βραχίονος μέρος 48 ἀγὸς ἀσπιστάων (Π 490)· ἡγεμὼν τῶν ὁπλιτῶν 53 ἄγουσα[ν] (Ζ 252)· πορευομένη[ν] 57 ἀγράκαβος· σταφυλή 58 ἀγραμύξειν (—ἀμύξειν)· καταξέσειν 60 ἄγραυλοι (κ 410)· οἱ ἐν ἀγρῷ νυκτερεύοντες 61 ἀγραύλοιο (sic: Κ 155)· ἐν ἀγροῖς αὐλιζομένου

τῶν καταδικασθέντων χρημάτων τῷ δημοσίῳ καὶ κατὰ χάριν μὴ ἐγγραφέντων ἐλέγετο [67. 68]

ἄγρει· ἄγε (Ξ 271), λάμβανε, φέρε (Λ 512). προστακτικόν [70]

ἀγρεῖται· λαμβάνεται. ζωγρεῖται

ἀγρέμονα· τὸν κάμακα, ἀπὸ τοῦ ἀγρεῖν καὶ λαμβάνειν. ἢ λαμπάδα, ἢ δόρυ. Αἰσχύλος δὲ Μυρμιδόσιν (fr. 137) ἀγρέμονα τὸν † ἐπιμήνιον

Ἀγρεμόνες· θηρευταί, πορθητικοί. Βοιωτοί. ἢ θηρευτικοί. καὶ τόπος ἐν Αἰτωλίᾳ

ἄγρεται· συναθροισθῇ

ἀγρεταί· παρὰ Κῴοις ἐννέα κόραι κατ' ἐνιαυτὸν αἱρούμεναι πρὸς θεραπείαν τῆς Ἀθηνᾶς

ἀγρέταν· ἡγεμόνα. θεόν

† ἀγρετήματα· τὰ ἀγορευόμενα τῶν παρθένων. Λάκωνες

ἄγρευμα· εὕρημα (Xenoph. Mem. III 11, 7). τὸ εἰλημμένον

ἀγρεύματα· σκῦλα. Εὐριπίδης Ἀνδρομέ(δᾳ fr. 155) [80]

Ἀγρεύς· ὁ Πὰν παρὰ Ἀθηναίοις, ὡς Ἀπολλόδωρος

ἄγρευσις· εὕρεσις [83. 84]

ἀγρηνά· δίκτυα

ἀγρηνόν· δικτυοειδές, ὃ περιτίθενται οἱ βακχεύοντες Διονύσῳ. Ἐρατοσθένης (fr. XXIV p. 135 Bh) δὲ αὐτὸ καλεῖ γρῆνυν, ἢ γρῆνον. καὶ ἔνδυμα

ἀγρ..σθαι· συνέπεσθαι. πείθεσθαι

ἀγρησθῶσι (Hippocr. II p. 827 K)· συνειληθῶσιν

ἀγρήσκεται· πικραίνεται ⟨ἀγγρίσκεται?⟩

ἄγρησσον· εἶπε [γένος τι ἐν Ἤλιδι ⟨ad 791?⟩

ἀγριάδες· νύμφαι ⟨Ἀνιγριάδες?⟩

ἀγρίαζε· ἄγριος ἴσθι

ἀγρία(ι)νεν (Plat. rep. 393 E?)· ὠργίσθη

ἄγριαι στρουθοί· στρουθοκάμηλοι [95]

(ἀγρία μέλιττα· Ἡγησίας οὕτως ἐπεκαλεῖτο)

ἀγριάμπελος· ἡ βρυωνία βοτάνη

ἀγριάνια· νεκύσια παρὰ Ἀργείοις. καὶ ἀγῶνες ἐν Θήβαις ⟨l. ἀγρίανα vel ἀγριώνια⟩

Ἀγριᾶνες (Thuc. II 96)· τέλος τι τῆς κούφης συντάξεως ἐκ τῆς Ἀγριανικῆς χώρας (Π)αιόνων [800. 1]

ἀγριβρόξ· ὀρίγανον

ἀγρίδιον· κωμάριον, χωρίον

ἄγριες· λῦπαι [5]

ἀγριεύς· ἀγροῖκος

Ἀγρίνιον (Polyb. V 7, 7)· ὄρος παρὰ Αἰτωλοῖς

ἄγριοι· ἀγρονόμοι. καὶ οἱ παιδερασταὶ οὕτως [9. 10]

ἄγριοι θεοί· οἱ Τιτᾶνες

Ἄγριοι λιμένες· τόπος ἐν Ἑρμιῶνι [13]

ἄγριον· γενικῶς ἐπὶ θηρίου·

σῦν ἄγριον ἀργιόδοντα (I 539)

καὶ μεταφορικῶς, ἐπίθετον·

ἄγριον αἰχμητήν (Z 97)

κατ' ἰδίαν δὲ ὄνομα κύριον, Οἰνέως μὲν ἀδελφοῦ, πατρὸς δὲ Θερσίτου

ἀγρίου βέβρωκας· οἱονεὶ ζῴου ἀγρίου. εἰώθασι δὲ οἱ βεβρωκότες χασμᾶσθαι [16—20]

Ἀγρίφα· Ἀθηνᾶ ⟨Ἀγρίσκα⟩

ἀγρίφη· ὑποδοχή. ἄμη. σκάφη

COD. 72 ἄγρεμον — αἴρειν καὶ λαμβάνειν ἤγουν ἀγρεύειν — μυρμη (δ supra) 74 ἀγρετᾶ· συναθροισθῇ. ἄγρευμα κτλ. ἄγρευσις· κτλ. ἀγρεύματα· κτλ. ἄγρεται· παρὰ 85 δίκτυα καὶ ἔνδυμα 86 γρῆνον. ἀγρ..σθαι 94 ἀγρίας· στρουθοκάμηλος 97 ἀγριάμπη ἢ (ο supra) βριον.., 99 ἀγρίανες 803 χωρίον παρὰ Αἰτωλοῖς 4 ἀγρίεες· λυπαί ⟨cf. 407⟩ 7 ὄρος. ἄγρινοι· ἀγ. 8 ἄγρινοι — παιδερέται οὕτως Gl. 806 ἀγριμέλισσα ⟨sic⟩ κτλ. 12 ἑρμῶνι 14 σὺν — αἰγμητὸν — κατιδίαν — πατρι (ο supra) 22 ὑποχηάμης σκαφή

HES. 67 ἀγράθὲν ⟨sic⟩· συνάγειν. συμμίσγειν ⟨ἀγερέθειν?⟩ 68 ἀγραρεύεις· περιέρχῃ 70 ἀγρειμάς (E 765)· ἄγε δή, ὅπως δή 80 ἀγρεύουσι (Proverb. V 22)· κρατοῦσιν 83 ἀγρευτεῖ· ὑβρίζει 84 ἀγρήθετο· ἠθέλησεν 95 ἀγρίαθεν· ἄγκαθεν ⟨l. Ἀτρι(δῶν ἄγκ)αθεν⟩ Αἰσχύλος Ἀγαμέμνονι (v. 3) 800 Ἀγριαν. αἱ.., ἀκόντιον (υ supra) ⟨v. ἀκόντιον⟩ 1 Ἀγριαύλη· δῆμος Ἀττικῆς ⟨h. e. Ἀγραυλή⟩ 5 ἀγριέλαιος (Ep. ad Rom. XI 17)· ἄκαρπος 9 ἀγριόθυμος· ἀγριόψυχος, θηριώδης 10 ἄγριον (T 88)· ἄμικτον. ἀνήμερον 13 αἰγαγρίονα· ἄγριον αἶγα (Γ 24) 16 ἀγριοπήγανον· βοτάνη 17 ἀγριοφορία (Levit. XXI 20)· νόσος. καὶ ἀγριολιχῆναι (Levit. XXII 22) 18 ἀγριοσταφύλιες· ἀγριοσταφίδες 19 ἀγριοκάναβος· βοτάνη 20 ἀγριοκάρυον· δένδρον

ἀγρίφος (sic)· γένος τι ἀγρίας ἐλαίας Ὀλυμπιάσιν ⟨al. ἄγριππος⟩

(ἀ)γρόθειρα· βοτάνη τις

ἀγροῖκος· ὁ ἐν ἀγρῷ διάγων, χωρικός. ἢ ἐργάτης καὶ δραστήριος. ἢ ζευγηλάτης

ἀγροικότατον· ἀπαιδευτότατον

† ἀγρολετεῖρα ⟨sic⟩· τὸν ἀγρὸν ἀπολέσασα [28]

ἀγροιῶται· ἄγροικοι (φ 85). καὶ γένος Ἀθήνησιν, οἳ ἀντιδιεστέλλον(το) πρὸς τοὺς Εὐπατρίδας. ἦν δὲ τὸ τῶν Γεωργῶν. καὶ τρίτον τὸ τῶν Δημιουργῶν

† ἀγροιτία· ἀγροικεύεται. ὑβρίζει

ἀγρομενής· ὁ ἐν ἀγρῷ διατρίβων καὶ εἰς ἄστυ μὴ κατιών [32. 33]

ἀγρονόμων (Aesch. Ag. 142)· ἐν ἀγροῖς διαγόντων

ἀγροπόλον· ἄπορον

ἀγρός· χωράφιον, χωρίον

† ἀγροστη· βοτάνη. καὶ † ἄρτος τις, ὃς πρότερον λό (χ) ἐκαλεῖτο

ἀγρότας· ἀγροίκους [39]

ἀγρόται (π 218)· θηρευταί [41]

ἀγρότις· ἀγροτέρα. κυνηγός [43. 44]

ἀγροῦ πλέων· ἀγροικίας πλήρης ⟨sic⟩

ἀγροῦ πυγή· παροιμία ἐπὶ τῶν λιπαρῶς προσκειμένων. ὁ δὲ Σώφρων τὰ πλεῖστα μέρη λέγει μεταφορικῶς ἀπὸ τῶν ὀρνέων. καὶ τὰ πιότερα τοῦ ἀγροῦ καὶ ζάπλουτοι ἀγροῦ πυγαί

ἀγρυξία, σιωπή ⟨v. ἀμφασία⟩

Ἀγρυλή· δῆμος τῆς Ἐρεχθηίδος φυλῆς καὶ τῆς Ἀτταλίδος

Ἀγρυπνίς· ἑορτὴ Διονύσου ἐν † Ἀρβήλῃ

ἀγρωνεύς· ἀγροῖκος

ἀγρώσσει· θηρεύει

ἀγρώσσοντες (Lycophr. 598)· ἀγρεύοντες

ἀγρῶσται· ἐργάται. θηρευταί [54]

ἀγρωστῖναι· Νύμφαι ὄρειοι

ἀγρωστῖνος· ἀγροῖκος [57]

ἄγρωστι(ν ϛ 90)· εἶδος βοτάνης [59. 61]

ἄγυια· ἄμφοδος, ῥύμη, ὁδός. γειτ(ο)νεία

ἀγυιαί (β 388)· ἄμφοδοι, ῥῦμαι, ὁδοί. ἀπὸ τοῦ δι' αὐτῶν ἄγειν ἡμᾶς τὰ γυῖα, τουτέστιν πορεύεσθαι. χρῆται γὰρ καὶ τῷ ἄγειν ἀντὶ τοῦ φοιτᾶν, Ὅμηρος δὲ καὶ ἔρχεσθαι, ὡς ὅταν λέγῃ·

Λαοδίκην ἐσάγουσα (Z 252)

οἱ δὲ † στενῷ περ ⟨στενωτέραν Xen. Cyrop. II 4, 2⟩

ἀγυιάτιδες· αἱ πρὸ τῶν θυρῶν θεραπεῖαι (Eur. Ion. 186. 87)

ἀγυιεύς (Sophocl. fr. 340)· ὁ πρὸ τῶν θυρῶν ἑστὼς βωμὸς ἐν σχήματι κίονος

ἀγυιῆται· κωμῆται

ἀγυμνάστοις· πολυγυμνάστοις ⟨ad οὐκ ἀγ.⟩

ἄγυνος (Aristoph. fr. 28)· ἀγύναιος

ἀγύιος· † ἀγύοικος. ἄναρθρος

ἀγυρεῖ· ἀθροίσματι (Ω 141). ἢ συγκροτεῖ

ἀγυρίζειν· συνάγειν, ἀγυρτάζειν

ἄγυρις· σύνοδος, συναγωγή

ἀγυρμός· ἐκκλησία. συγκρότησις. ἔστι δὲ πᾶν τὸ ἀγειρόμενον. καὶ τῶν μυστηρίων ἡμέρα πρώτη

ἀγυρτάζει (cf. τ 284)· συλλέγει. † πολίζει. ἀγείρει

ἀγύρτης· ὀχλαγωγός. προσαίτης, ἐπαίτης (Eur. Rhes. 715). συρφετώδης. ἰδιώτης. ἔστι δὲ καὶ ὁ ἀγείρων ὄχλον. καὶ ὄνομα βόλου κυβευτικοῦ. μάντις. ὡς Ἀπίων ⟨Πλάτων Rep. II 364 B?⟩

ἀγυρτικά· χυδαῖα ψεύσματα

ἀγυρτούς· συναθροιστούς

† Ἀγχαλέη· τόπου ὄνομα παρὰ Ἱππώνακτι (fr. 99)

ἄγχαζε (Soph. fr. 883)· ἀναχώρει. καὶ ἄγχασδε καὶ ἄγχα...τὸ αὐτὸ ⟨ἄγχαττε?⟩

ἄγχαρμον (Macedones)· ἀνωφερῆ τὴν αἰχμήν

ἀγχάσασθαι· ἀναχωρῆσαι ⟨vid. ἐπαγχ.⟩ [82]

COD. 23 ὀλυμπίσιν 37 sic 46 ἀγροπηγὴ — μετὰ τῶν ὀρῶν — πρότερα — πηγαί 48 ἀγρύλη 51 ἀγρώσεει 52 ἀγρωεύοντες 55 ἀγρωστῆναι 62 ἀγνία — γειτνεῖα 63 ἀγυῖαι· ἄμφοδες — τοῦ ἄγειν 68 ἀγυναῖος 69 sic 72 ἀγυρίς 73 ἀγυρόμενον 75 συρφετῶδες — κυβευτικοῦ, ἀγυρτικά· χ. 77 συναθροιστοὺς. μάντις ὡς ἀπίων 78 ἱππόνακτι 79 ἀγχὰν δὲ

HES. 28 ἀγρομένους συνελθόντας, συναθροισθέντας 32 ἀγρομένῃσι· συνεστραμμέναις. συνηθροισμέναις (B 481) 33 ἀγρομένων (I 74)· ἀθροιζομένων 39 ἀγροτεράων (B 852)· ἀγρίων 41 ἀγροτέροισιν (M 146)· ἀγριωτέροισιν 43 ἀγρόται· ἀγροῖκοι. ἢ θηρευταί 44 ἀγροτέραν (Φ 471)· ὀρείαν. τὴν Ἄρτεμιν 54 ἀγρώσσατο· ἠθέτησεν. ἐψεύσατο 57 ἀγρώσσων (ε 53)· ἀγρεύων 59 ἄγρας· ἄμφοδα (sic) 60 ἀγυιάς (E 642) ῥύμας, θήρας (sic) 61 ἀγύϊ (Π 661)· ἀθροίσματι (sic) 82 ἄγχε· πνῖγε, καὶ ἔπνιγεν (Γ 371). ἢ πλησιάζεται

ἀγχέμαχα ὅπλα (Xen. Cyr. I 2, 13 VII 4, 7)· τὰ μὴ βαλλόμενα [84—86]
ἀγχήρης· ἐγγύς. Σοφοκλῆς Ἀθάμαντι (fr. 6)
ἀγχίαλος· παραθαλάσσιος
ἀγχιβάτης· ὁ πλησίον βαίνων ⟨ἀγχίβας⟩
ἀγχιβατεῖν· ἐγγὺς βεβηκέναι
ἀγχίβοιον μέγα (Telecl. II p. 377 AM.)· ἐγγὺς βοῆς. ἢ ἐπὶ τοῦ στενάξαι [92]
ἀγχιβλώς· ἄρτι παρών [94]
† Ἀγχιαλιδάρ· πατριὰ ἐν Ἀργείᾳ
† Ἀγχιάλης ⟨sic⟩· ἡ Ἀττική. ἀπὸ Ἀγχιάλου [97]
ἀγχίθεον· ἰσόθεον, θεῖον
ἀγχίθερμον· γείτων καὶ ἀγχίθυρον ⟨ad ἀγχιτέρμων et ἀγχίθαιρον⟩ [900. 1]
ἀγχίμαστρον ἀμφιεσμένα [3]
ἀγχίμολον· ἐγγὺς ἐληλυθός
ἀγχίμολον (Δ 529)· σύνεγγυς, ἢ μετ' ὀλίγον (ρ 336)
ἀγχίνοια· φρόνησις, σύνεσις. ἢ ταχύνοια. ἢ ὀξεῖα γνῶσις (Plat. Charmid. 160 A)
ἀγχίνους (Xen. Cyr. I 4, 3)· συνετός. νηφάλιος ⟨sic⟩ [8]
ἀγχίξαι· ἐγγίσαι. Κρῆτες
ἀγχίπ(λ)ους (πόρος)· εὐδιακόμιστος. Εὐριπίδης Ἰφιγενείᾳ τῇ ἐν Ταύροις (1325)
ἀγχίπους· καὶ ὁ παρεστὼς καὶ σύνεγγυς [12]
ἀγχιστεία (Soph. Ant. 173?)· συγγένεια [14]
ἀγχιστεύς· συγγενής
† ἀγχιστιδ.., ὀμνύων· ἐγγὺς τῶν βωμῶν. παρὰ Σόλωνι [17—19]
ἀγχιστῖναι (Ε 141)· σύνεγγυς ἀλλήλων ⟨sic⟩. συνεχεῖς, ὅ ἐστι πυκναί. ἢ ἄλλαι ἐπ' ἄλλαις

ἀγχίστροφος· εὐμετάβολος, εὐπερίστροφος
ἀγχιτέρμονες· οἱ ἐγγὺς τοῦ τέλους
ἀγχοάδην· ἀμβολάδην
Ἀγχοαί· πηγαὶ ἐπὶ Μυσίας. καὶ τόπος ἐν Βοιωτίᾳ [25]
ἀγχόνη· πνιγετός
ἀγχόνης ἄξια (Eur. Bacch. 246)
ἄγχος· προσφάτως ἐγγύς ⟨ad ἔναγχος⟩. ἢ πνῖγμα. ἢ πλησίον. ⟨ad ἀγχόσε⟩. ἢ δόρυ ⟨Elei pro ἔγχος⟩
ἀγχοῦ· ἐγγύς (Β 172). ἢ πνίγηθι
† ἀγχούρης· πένης
ἀγχοῦρος· ὄρθρος Κύπριοι. ἢ φωσφόρος, καὶ ὁμοίως σὺν τῷ αυ
ἀγχούρους· γείτονας
ἄγχουσα· ἡ κάλυξ (Diosc. IV 23)
ἄγχουσα· ῥίζα, ᾗ φυκοῦνται γύναια [35]
ἀγχουσίζεται· ἐντρίβεται ταῖς παρειαῖς, οἱονεὶ φ(υ)κάρ(ιον) [37]
ἄγχραν· μύωπα. Λοκροί
(ἄγχρεμψις· ἀνάβηξις Hippocr. I p. 158)
ἀγχρ[ι]άνασθαι· περιαλείψασθαι. ἢ λούσασθαι
ἀγχώμαλοι (Thuc. III 49, 1)· παρὰ μικρὸν ἴσαι
ἄγχων· πνίγων. δήμιος
ἄγω· ἀπάγω (Λ 184). μέλπω, ᾄδω
ἄγω· κυρίως μὲν ἐπὶ ἐμψύχων τάσσεται·
οἶδ' ἦγον μὲν μῆλα, φέρον δ' εὐήνορα οἶνον (δ 222)
καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀψύχων·
ἄγω δ' αἴθωνα σίδηρον (α 184)
ἀντὶ τοῦ φέρω
ἀγωγεύς (Soph. fr. 885)· ὁ ἱμάς [45]
ἀγωγή· τρόπος. ἀναστροφή. ἀπαγωγή. ὁδός·

ἡ
COD. 87 ἀγχηρήνης 90 ἀγχιβαθεῖν ⟨cf. 900⟩ 93 ἀγχιβαδώς ⟨v. 911⟩ 902 ⟨χείμαστρον ἠμφιεσμένα?⟩ 10 εὐδιακόμιστος καὶ ὁ παρεστὼς καὶ σύνεγγυς 11 ἀγχί-
σ
πορος· εὐδιακόμιστος. ἀγχίσως 20 ἀγχιστῆνα, συνεχές 24 sic: non μύ 27 ἰξία 31 ὀρθὸς ἢ ὄρθρος — καὶ οἱ σὺν αὐτῷ 32 ἀγχόρους 33. 34 ἀγχοὺσ 43 αἴθονα — φέρειν

HES. 84 ἀγχέμαχοι (Π 272)· οἱ ἐγγύθεν μαχόμενοι 85 ἄγχει· φέρει. πνίγει (Theocr. V 106). πλησιάζει 86 ἄγχηται· πνίγηται 92 ἀγχιβαθής (ε 413)· ἡ ἐγγὺς τῆς γῆς ἡ βαθεῖα θάλασσα 94 ἀγχιδίαι· ἐν θαλάσσῃ δίαι 97 Ἀγχίαλος· ἐγγὺς θαλάσσης. ἔστιν δὲ καὶ κύριον ὄνομα (Θ 112) 900 ἀγχὶ· ἐγγύς, πλησίον. Ἀγχὶ ⟨ἀγχισβατεῖν?⟩ δὲ τὸ διαφέρεσθαι 1 (ἀ)γχιλά· ἁλμυρά, θαλάσσια. ἄβρωτα ⟨ad ἄχιλα⟩ 3 ἀγχιμαχηταί (Β 604)· οἱ συστάδες μαχόμενοι 8 ἀγχίνοος (ν 332)· συνετός, ἀγχίνους 12 ἀγχίσως ⟨v. 893⟩· ἄρτι παρών 14 ἀγχιστεύουσα (Numer. XXXVI 8)· ἐγγὺς οὖσα πρός τι γένος 17 ἀγχιστόν (Eur. Tro. 48)· ἔγγιστον γένους 18 ἀγχίθεοι (ε 35)· οἱ Φαίακες. καθότι τρίτοι εἰσὶν ἀπὸ Ποσειδῶνος οἱ βασιλεῖς. ἢ ὅτι θεοὶ συνδιέτριβον αὐτῇ ⟨οἷς⟩. ἢ ὅτι εὐδαίμονες καὶ ἰσόθεοι 19 ἀγχιστῆναι· ἐγγὺς στῆναι 25 ἀγχόμαλον· ἐγγὺς ἔχον τὴν ὁμαλότητα, ἰσόπεδον 35 ἀγχοὺ· ἀγχί, ἐγγύς 37 ἀγχοῦ δέ (Β 172)· πλησίον δέ 45 ἀγώγημον· ὠφέλιμον

πορεία τῆς νύμφης πρὸς τὸν ἄνδρα, Ῥόδιοι [47. 48]

ἀγωγίμων· ὁτὲ μὲν φορτίων (Plat. Prot. 313 CD)· ὁτὲ δὲ καταδεδικασμένων

ἀγωγοῖς· τοῖς ἐπάγουσιν

ἀγωγούς (Herod. III 26 Thuc. II 12, 2)· ὁδηγούς

† ἀγωγίς· ἄγωμεν. Ἀργεῖοι ⟨ἄγωμες?⟩

ἄγων· φέρων. ἀπάγων ⟨sic⟩

ἀγών, ὀξύτονον· στάδιον. ἄθροισμα (Ω 1)

ἀγώνη· ὑοσκύαμος

ἀγωνία· ἀγοραία. καὶ ἡ θλάσις ⟨ἄθλησις Et. M.⟩ καὶ ἡ παλαίστρα. Εὐριπίδης δὲ Τρῳάσι (v. 1003) πόλεμον

ἀγωνίης (Herod. II 91)· τῆς ἐν ἀγῶνι ἁμίλλης [60]

ἀγώνιοι φακοί

ἀγωνίσματα· ἔπαθλα [62]

ἀγωνισμός (Thucyd. VII 70)· ἀντιλογία

ἀγωνιστήρια· τὰ διδόμενα τοῖς ἀγωνισαμένοις [65. 66]

ἀγωνιστήριον· τόπος, ἐν ᾧ ἀγωνίζονται [68]

ἀγωνιῶ· κινδυνεύω

ἀγωνοδίκας· βραβευτάς

ἀγωνοθέτης· ἀρχῆς ὄνομα Ἀθήνησιν. ὡς δὲ Νίκανδρος, ἀθλοθέτης μόνα γυμνικά, ἀγωνοθέτης δὲ ὁ τὰ μουσικὰ ἀκροάματα διατιθέμενος

ἄγωνον (Alcaei fr. 120)· τὸν ἀγῶνα Αἰολεῖς. καὶ ποταμὸς Ἄγωνος παρὰ τὴν Αἰθιοπίαν

ἀγώνυμος· φερώνυμος

ἀγὼν χαλκεῖος (χάλκεος Pind. Nem. X 40 = 22)· τὰ ἐν Ἄργει ἑκατόμβαια [75. 76. 77]

ἀδά· ἡδονή. πηγή (Genes. II 6 Ios. XIX 21?)· καὶ ὑπὸ Βαβυλωνίων ἡ Ἥρα. παρὰ Τυρίοις δὲ ἡ ἰτέα [79]

ἀδαγνούς· θεός τις παρὰ Φρυξίν, ἑρμαφρόδιτος ⟨pro ἀνδρόγυννος?⟩

Ἀδαεί ⟨ἀδάρ?⟩· μὴν παρὰ Χαλδαίοις

ἀδαεῖς (Callim. fr. CLX)· ἀσύνετοι

ἀδαῆ· ἄπειρον

ἀδαήμονας· ἀμαθεῖς, ἀπείρους

ἀδαημονίη (ω 244)· ἀπειρία

ἀδαῖα· εἰς κόρον ἄγοντα, παρὰ τὸ ἄδην· ὁ δὲ Σώφρων τὸν ἀειδῆ (η) † ἀδανὸν ἔφη [87. 88]

ἀδαιόν· δαψιλές. ἀτερπές. ὀκνηρόν

ἀδάϊον· ἀπόρθητον, ἀπολέμητον

ἄδαιτον (Aesch. Ag. 140)· † ἄδην

ἄδαιτρον· ἀδιαίρετον. καὶ † ἀπόρρητον

ἀδακτ.· κνήθομαι

ἀδάλαν· πονηρόν

ἀδαλές· ὑγιές [96]

ἄδαλος (Macedones)· ἄσβολος [98]

† ἀδαλτόμον· εἶδος βοτάνης ⟨v. γαλατμόν⟩

ἀδάμας· ἀγνώμων. ἀπειθής. ἀθαμβής. ἰσχυρός. καὶ ὁ λίθος (Theophr. de lapid. § 19) [1001. 2]

ἀδάμας (Plat. Polit. p. 303 D)· γένος σιδήρου

ἀδάμαστον· ἀνυπότακτον

ἀδάματος (Eur. Phoen. 640) [6. 7]

ἀδαμία· τὸ ἀδικάστως φονεύειν. Κρῆτες

ἀδαμνεῖν· τὸ φιλεῖν. καὶ Φρύγες τὸν φίλον Ἀδάμνα (Bergk. PLG p. 1041 n.) λέγουσιν

† ἀδαμναῖς· ἀκολασταίναις

ἀδαμνής· ἰσχυρός, σκληρός

ἄδαμνον· ἀγνώμονα. ἢ ἀδάμαστον [12a. 13]

ἀδανές· ἀπρονόητον

Ἀδανίην· οὕτως τὸ πρότερον ἡ Μολοσσία ἐκαλεῖτο [16]

(ἀ)δαξῆσαι· κνῆσαι

ἀδάξω· κνήθομαι. ἐπιθυμῶ

COD. 52 ἀγωγίους 56 ὑιὸς κύαμος 83 ἀδά 86 ἄδειν 89 δαψιλὲς. ἀδάϊον· ἀ. ἀ. ἀτερπὲς ὀκνηρὸν 97 Sic 18 κνήσομαι

HES. 47 ἀγωγία· ἀηδία ⟨cf. ἀδημονεῖ⟩ 48 ἀγώγιμα (Xen. An. V 1, 10 ap. Moer. Att.)· φορτία 50 ἀγωγός (rec)· ῥύαξ. † ἐπίβουλος 60 ἀγών· ὁ τόπος, ἔνθα ἀθροίζονται οἱ ἀγωνισταί 62 ἀγὼν ἔρημος· οὐκ ἔχων ἀντίδικον 65 ἀγωνισταί (Demosth. 331, 1)· οἱ ὑποκριταί (Poll. III 141) 66 ἀγώνιοι θεοί (Plat. Legg. VI 783 A)· οἱ τῶν ἀγώνων προεστῶτες (Poll. III 141) 68 ἀγωνισμάτων· ὀχλικῶν ἐπιδείξεων 75 ἀγωρέοι· ἠθροισμένοι 76 ἀγωρεῖν· συναθροίζειν 77 Ἀδάμ· ὁ πρῶτος ἄνθρωπος. καὶ ἄνθρωπος ἕτερος κατὰ τὸν ἅγιον ⟨sic⟩ Ἐπιφάνιον (Panar. I 1, 4) 79 ἀδαγμός (Soph. Tr. 770 ap. Moer. Att.)· κνισμός. 87 ἀδαΐζω· ἀναβοῶ, ἀναστένω (Eur. Or. 80) 88 ἀδάικτον· καθαρόν ⟨ἄμικτον⟩ 96 ἀδάλαιον ⟨ἀδδαλέον⟩· ξηρόν 98 ἄδαλτα (Hesiod. Θ 655 οὐκ ἀδάητα)· οὐκ ἄδηλα 1001 ἀδάμα (אֲדָמָה Iesai. XV 9)· παρθενικὴ γῆ 2 ἀδαμάντινα (ἶνα Theocr. III 49?)· στεῤῥά 6 ἀδάμαστος (I 158)· ἀνυπότακτος 7 ἀδαμάντιον· ἀτριτάνευτον 12a ἢ πρωτόδαμνον 13 ἀδαρκῆ ⟨ἄρκη⟩· βοτάνη 16 ἀδάμαντος· ἀμαθής

ἀδάπανον· τὸ ὕδωρ
ἀδαπάνως (Eur. Or. 1176)· λ[ε]ιτῶς
† ἄδαπτον· γυμνόν. ἄδερμον
ἀδαριξία· εἰρήνη
ἄδαρτος· ἀμαστίγωτος
† ἄδας· πονηρός [25]
ἄδασμος· οὐδένα δασμὸν ἐκτελοῦσα, οἷον τελοῦσα ἐνοίκιον. Αἰσχύλος Ἠδωνοῖς (fr. 61)
ἄδατος· ἀδιαίρετος
ἀδαυῶς (aeol.)· ἐγρηγόρως [29]
ἀδαχᾷ (Arist. fr. XI p. 1120)· κνᾷ, κνήθει κεφαλήν. ψηλαφᾷ
ἄδδαι· ῥυμοὶ ὑπὸ Μακεδόνων
(ἀδδαλέον· ξηρόν; cf. 996)
ἄδδανον· ξηρόν. Λάκωνες
ἀδδάν· τὴν κιννάβαριν (v. ψάδδα)
† ἄδδεε· ἐπείγου
ἄδδην (E 203)· εἰς κόρον καὶ εἰς πλησμονήν, τοῦ ἑνὸς δ πλεονάζοντος
† ἄδδηλος· κόλπος
ἄδδιξ (Aristoph. fr. CXVIII)· μέτρον τετραχοίν(ικον) [39 — 41]
ἀδέητος (Antipho)· ἀνενδεής
ἀδεῖ· ἀνιᾶται
ἄδεια· ἀφοβία. † εὐδία [45. 46]
† ἀδειῇ· λυπεῖ
ἀδήλητον· ὑγιές [49 — 52]
ἄδειμον· ἄφοβον
ἄδειός· ἀκάθαρτος. Κύπριοι [55 — 59]
ἄδειρεν (Elei?)· ἔδειρεν [61. 62]
ἀδέκαστον· ἀδωροδόκητον.
(ἀδέκαστος)· ὁ δεκάδας μὴ λαμβάνων [65]
ἀδεκατεύτους (Ar. Eqq. 301)· ὧν δεκάτην οὐδεὶς ἔδωκεν [67]

† ἀδελιφὴρ (φεδρ?)· ἀδελφός. Λάκωνες
ἀδελφιδοῖ (Ar. Byz. p. 143)· ἀδελφοῦ υἱοί
ἀδελφιδοῦς· ὁ τοῦ ἀδελφοῦ υἱός
ἀδελφίζει (Isocr. Aegin. 14)· ἀδελφὸν καλεῖ. ἢ τιμᾷ ὡς ἀδελφόν (Apolloph. fr. II p. 880)
ἀδελφίξιας (Hippocr. vol. III p. 226 K)· κοινωνίας
ἀδελφοί· οἱ ἐκ τῆς αὐτῆς δελφύος γεγονότες. Δελφὺς γὰρ ἡ μήτρα λέγεται
ἀδεμάν· ὅταν. Κρῆτες
ἄδενδρον· γῆ μὴ ἔχουσα δένδρα. καὶ σίδιον ξηρόν
ἀδένες (Hippocr. I p. 492)· συστροφαὶ σαρκώδεις περὶ τὴν ῥάχιν, καὶ βο(υ)βῶνες [77]
ἀδερκής· οὐ βλέπων. ἢ ἀφανής
ἄδες· † πόδες. ἔνιοι δὲ ἀηδές (Iones)
ἀδέσμῳ φυλακῇ (Thucyd. III 34, 3)· τῇ ἄνευ δεσμῶν
ἄδεται· πίμπλαται. κοπιᾶται
ἀδευκέα (ζ 273)· πικρά(ν)
ἀδευκές· ἄμορφον, ἀηδές
ἀδευκής· χαμνός. πικρός. ἄγνωστος [85]
ἀδευόμεθα· ἀηδιζόμεθα
ἀδευτόν (ἀδεύητον)· χαλεπόν. ἢ (οὐ) οὐκ ἄν τις ἐπιδεηθείη· οἱ δὲ (ἀ)δευτὴς αὐτάρκης
ἀδεῶς· ἀφόβως [89]
ἀδήϊον· ἀπόρθητον, ἀπολέμητον [91]
† ἀδῆ· οὐρανός. Μακεδόνες [93]
ἀδηκότες (K 98)· ἄδην ἔχοντες καὶ πεπληρωμένοι ὕπνῳ. ἢ ἀδημονήσαντες
ἀδηλίαν· ἄγνοιαν. ἀφάνειαν

COD. 22 ἀδαρέξα (ϑ) 26 ἤδον: 27 ἄδαγος 28 ἀδαύης· ἐγρήγορος Cyr. 171 30 αδαχαυκνᾶς· κνη 34 ἀδδάν τὴν 36 ἄδδὴν 38 ἄδδιξις — τετραχοίνης 43 ἄδει· ὑμνεῖ ἢ ἀν| 44 ἀδεῖ., ἀργία (recens) ἀφ| 63 ἀδωροδόκητον ὁ δἰκειδὰς 69 ἀδελφιδοὶ 72 ἀδελφιζίας 76 ἀδένες — παρὰ τ. ῥάχην 83 ἄφοβον 85 ἀνεικάστῳ οἱ δὲ .δευτὴς αὐτάρκητ. ἀδεύμεθα 92 ἀὴρ Cyr. 212

HES. 25 ἄδασαν (κ 68)· ἔβλαψαν 29 ἀδαυρα., (Eur. Hippol. 165)· αὐτή ἡ πνοή 39 ἄδε· ἤρεσε ἄδε δ' Ἕκτορι μῦθον (M 80) 40 ἀδεάζων· ἀναβοῶν, ἀναστένων (α δ' αἰάζων) 41 ἀδεές (Θ 423)· ἄφοβε, θρασεῖα 45 ἀδίαν (Sapient. XII 11)· ἐξουσίαν ἄφοβον 46 ἀδειδῶ (P 443)· ὦ δειλοί, καὶ κακοδαίμονες 49 ἀδειής (H 117· ἄφοβος. ἀδεής 50 ἆ δειλεέ (ξ 361)· ἄθλιε, δείλαιε 51 ἆ δειλ (Λ 816)· ὦ δειλοί 52 ἆ δειμιοι (P 443)· ὦ δειλοί, ὦ δείλαιοι 55 ἀδεεῖ· οὐ δοκεῖ. οὐ φοβεῖται 56 ἀδεῖν· ἀκολουθεῖν 57 ἀδειναώ ν (B 87)· ἀθρόων. ἢ ἀπαλῶν 58 ἀδεινόν (Σ 124)· λεπτόν. γοηρόν, οἰκτρόν 59 ἀδεινὸν κῆρ (Π 481)· πυκνὴν ψυχήν 61 ἄδειτον· ὠμόν (ad ἀδέψητον). ἀφανές (ad ἀϜίδετον) 62 ἄδειλον· ἀβέλτερον 65 ἄδεκτον (ἀπαράδεκτον)· ἄπιστον 67 ἀδελεῖ· ἤρεσεν (ἄδε δέ) Ad 1075: ἤγουν ῥοιᾶς κέλυφος 77 ἀδεόν (ἀδάϊον)· ἀπολέμητον. ἢ ἀόρατον. καὶ ἀδεός· ἀόρατος 85 ἀδευκέϊ (δ 489)· ἀπεοικότι. οἱονεὶ (ἀ)δοκεῖ, ἀπροσδοκεῖ. Ἡλιόδωρος δέ φησιν ἀνεικ(ά)στῳ 89 ἀδεψιτόν (υ 2)· ἀμάλακτον. ἀργόν (ad ἀνέψητον) 91 ἀδήκορες· (K 98) ἐκλελυμένοι, παρειμένοι 93 ἀδηευ· διαπορεῖ (ἀδεῖ· ἐνδεῖ, ἀπορεῖ)

ἀδήλωτον· ἀδιάφορον, δεξιόν, συνετόν. ἡ πένητα, ἄπορον

ἄδημα· ἄδος. ψήφισμα, δόγμα

ἀδημεῖν· θαυμάζειν. ἀπορεῖν (ἢ) ἀδημονεῖν

ἄδημον· οὐκ ἔνδημον ὄντα. Σοφοκλῆς Τυμπανισταῖς (fr. 577)

ἀδημονεῖ (Plat. Phaedr. 251 D)· ἀκηδιᾷ, ἀγωνιᾷ

ἀδημονίη· θαῦμα

ἀδημονῶν (Plat. Theaet. 175 D)· ἀγωνιῶν

ἄδην· ἀθρόως. ἐξαίφνης ⟨v. ἀληδόν⟩. δαψιλῶς. ὅθεν καὶ ἀδδηφάγος

ἀδηνείη· ἀπειρία [1105]

ἄδην ἔχοντας· πληθύοντας

ἄδην ἔχει· τὸ σφόδρα καλῶς [8]

ἀδηνέως (Hippocr.)· ἀδόλως, ἁπλῶς. χωρὶς βουλῆς [10]

ἀδηνής· ἄκακος [12]

ἀδήριτον (Aesch. Prom. 105)· ἄμαχον, ἀκαταμάχητον

ἀδηρίτην· τὴν ἀπόλεμον καὶ ἀπόρθητον

ἀδής· ἀτερπής (Iones)

ἀδήσεις (Herod. V 39)· ἀρέσεις [17]

Ἀδησίδες· ἱέρειαί τινες ἐν Ἄργει [19]

ἀδηφάγα· μεγάλα καὶ τέλεια

ἀδηφαγία· πολυφαγία. εἰκαιοφογία [22]

ἀδηφάγοι· τοὺς τελείους ἵππους (Aristoph. fr. CXIX p. 1204) οὕτως ἔλεγον Ἀθηναῖοι καὶ Βοιωτοὶ πρὸς τὴν τῶν πώλων διάκρισιν. Ἀργεῖοι δὲ ἄνδρας τοὺς πολλὰ ἐσθίοντας. Λυσίας (fr. 634 Tayl.) δὲ κατὰ μεταφορὰν ἐν τῇ ὑπὲρ Εὐκρίτου (δια)μαρτυρίᾳ τὴν ἐντελόμισθον ναῦν. Ἀλκαῖος (fr. II p. 830) δὲ καὶ τοὺς πότας λύχνους ἀδηφάγους ἔφη. καὶ δρομεῖς δέ τινες ἐν Νεμέᾳ ἀδηφάγοι ἐλέγοντο. καὶ οἱ γυμναστικοὶ παρὰ Ἀργείοις οὕτως ἐλέγοντο

ἀδιάβλητα· ἀμώμητα, ἀνέγκλητα [25]

ἀδιαίρετον· ἀχώριστον, ἄτμητον

ἀδιάκριτον· μὴ ἔχοντα διάκρισιν [28]

(ἀ)διάλλακτος· ἀφιλίωτος

ἀδιαλώβητον· ἀβλαβές ⟨v. ἀλωβ.⟩

† ἄδιαν ὁδόν· μακρὰν εὐκαιρίαν

ἀδιανόητον· ἀναίσθητον

ἀδίαντον· ξηρόν, ἄβροχον. ἡ φυτὸν καλούμενον πολύτριχον

ἀδιαπλήτως· ἀπλησιάστως

ἀδιάρθρωτον· ἄσημον. ἀνάρμοστον

ἀδίας· ἐσχάρα, βωμός ⟨v. ἄδις, ἀφίας⟩

ἀδιασπάστως (Xenoph. Ages. I 4)· ἀχωρίστως

(ἀ)διαστάτως· χωρὶς διαστάσεως

ἀδιαφορίας· ἀμελείας

ἀδιάφορον· ἀδιάκριτον [41]

ἀδιαφόρου· ἀμελοῦς

ἀδιγόρ· τροξαλλίς ὑπὸ Σκυθῶν [44—46]

ἀδιερεύνητον πέλαγος (Plat. Tim. p. 25 D)

ἀδικίου· εἶδος δίκης Ἀθήνησιν

Ἄδικος· Ἀφροδίτης ἐν Λιβύῃ ⟨sic⟩

ἀδίκους· τοὺς ἄνευ βλάβης ἀδίκους

ἀδινά (α 92)· τὰ τῷ ὄγκῳ μὴ μεγάλα

ἀδινάων (Β 87)· ἀθρόων. ἁπαλῶν

ἀδινὸν κῆρ (Π 481)· πυκνὴν ψυχήν, ἢ τὴν συνεχῶς λυπουμένην

ἀδινόν (δ 721)· οἰκτρόν, γοερόν. λεπτόν

ἀδινοῖο γόοιο (Σ 316)· τοῦ ἀθρόως ἐκχεομένου

ἄδιξις· ὁμολογία παρὰ Ταραντίνοις ⟨v. γάδιξις⟩ [57]

ἀδίοπον· ἄναρχον, καὶ ἀφύλακτον. Αἰσχύ-

COD. 97 ἀδήμας 99 ἀδῆμον 1100 .δημονῶ· ἀκηδιῶ[a] ἀγωνιῶ[a] 1104 ἀδει-[η]τεία (ead. man.) 11 ἀδήνη 13 ἀδήρητον 14 ἀδηρήτην 18 ἱερεῖαι — ἐνάργιαδητῶ ναῶ 23 κώλων — ὑπὸ Εὐ. — λιχνους — τινὲς ἐννέβαλ[a] ἀδ. 32 ἀδιακόνιστον 33 ἄσιμον 47 ἀνερεύνητον 48 Ἀθηνῆσιν 51 οἴκῳ 54 λευκὸν 55 ἀδίνοιο — ἰρχομένου ἤγουν σφαττόμενα 58 διοποὶ — νεός

HES. 1105 ἄδην· δασυνόμενον μὲν ἡδέως καὶ τὸ εἰς κόρον, ψιλούμενον δὲ ἀδεῶς 8 ἄδην ἔλθωσιν (Ν 315)· εἰς κόρον ἄξουσιν 10 ἀδημονιῶν (Ep. ad Philipp. II 26)· ἀγωνιῶν, λυπούμενος 12 ἀδηξῆσαι· (κ)νῆσαι ⟨ἀδαξῆσαι⟩ 17 ἀδήσειε (α 134)· ἀδημονίσειε[η]. καὶ ἀηδῶς διατεθείη 19 ἀδητῶ (Ε 448)· ναῶ 22 ἀδηφάγος· γαστρίμαργος, ἀθρόως ἐσθίων 25 ἀδιάδοχος (Greg. Naz. or. 43 p. 698)· ὁ ἔχων τι ἕως τέλους 28 ἀδιάκοπος· ἀδιαχώριστος ad 32: ἄτρωτον ⟨ad ἀδιακόντιστον⟩ 41 (ἀ)διατάκτῳ· ἐν μηδενὶ τεταγμένῳ μέρει 44 ἀδιακελεύθῳ· ἀηδείᾳ 45 ἀδιίκελον (Ε 450)· ἐμπρεπές 46 ἀδίεπον· ἄναρχον Ad 51: (ἤγουν σφαττομένου) 57 † ἄδιον· κάταντες ⟨quod vide⟩, πλάγιον. ἀνώμαλον

λος Φρυξί (fr. 263). δίοποι γὰρ οἱ τῆς νεὼς φύλακες
ἀδιόριστον· ἀ(δια)χώριστον, ἀναμίξ
ἄδισκον· κυκεῶνα. Μακεδόνες [61]
ἄδισμα καὶ ἄδμα· ψήφισμα, καὶ δόγμα
ἀδίστονον (η 274?)· οἰκτρὸν στένοντα
ἀδμαίνειν· ὑγιαίνειν. ζῆν
λ
ἀδμη· ἀφανίζει [66]
ἀδμήτην (Κ 293)· ἀδάμαστον ⟨v. ἀλμήτην⟩
Ἀδμήτου κόρη (Cratin. fr. XII p. 66)· Ἑκάτη· τινὲς δὲ τὴν Βενδῖν
Ἀδμήτου λόγον (Ar. Vespp. 1238)· σκολιόν
Ἀδμήτου μέλος· τὸ εἰς Ἄδμητον ᾀδόμενον σκολιόν
ἀδμωλή· ἀπορία. ὀλιγωρία. ἄγνοια (Callim. fr. CCCXXXVIII). ἡσυχία [72]
ἀδνόν· ἁγνόν. Κρῆτες [74]
ἀδόκητον· αἰφνίδιον
ἀδοκία· ἀπροσδοκία [77—81]
ἀδόνητος· ἀσάλευτος
ἄδοξα· παράδοξα, καὶ (ἃ) οὐκ ἄν τις ἐδόξασεν. Σοφοκλῆς Ἀκρισίῳ (fr. 65)
ἀδόξαστον· ἀνέλπιστον. Σοφοκλῆς Εὐρυσάκει (fr. 205)
ἄδορον· οὐ δεδαρμένον
ἄδοροι (Antimach. fr. LXXVI)· ἀσκοί, κώρυκοι, θύλακοι
ἄδος (Λ 88)· κόρος, πλησμονή, παρὰ Δεινολόχῳ ὄξος ⟨ad ἄδος⟩. οἱ δὲ κάματον
ἀδόσιον· ὁμολογούμενον
ἀδοσύνα· ἡδονή ⟨v. ἀλοσύνα⟩
ἀδούλευτος· οἰκέτης ἐνὶ δεδουλευκὼς καὶ μὴ παλίμπρα[κ]τος

†ἀδοτοῦσα· ἄκουσα
ἀδουσιασάμενοι· ὁμολογησάμενοι
† ἀδούσιη· ἀνελώσιη. ἡ ἀναγκαία ἐπι ἡμέρα
ἀδούσιον· ἀρεστόν. σύμφωνον
ἀδραιά· αἰθρία. Μακεδόνες
ἀδρακές· ἀόρατον
ἀδρακής· τυφλή. καὶ ἀδερκής
ἀδράκις ⟨ἀραιάκις⟩· ὀλιγάκις
†ἄδρακτον· ἴδιον
Ἀδραμύων (Eupol. fr. CXXXV Cratin. CLXIII)· ὁ Ἕρμων παρὰ Λυδοῖς. καὶ Ἀ μύτιον Ἕρμωνος
ἀδρανέοντος· ἀσθενοῦντος
Ἀδράστεια (Eur. Rhes. 342)· ἡ Νέμεσι οὐκ ἄν τις ἀποδράσειεν [5] (ἀπὸ) Ἀ στου, ὃς πρῶτος ἱερὸν Νεμέσεως ἱδρ
ἄδραστον· ἄπρακτον, ὃ οὐκ ἄν τις πρ
Ἀδράστου δρύς ⟨Ἀδράστου δρόμ τόπος παρὰ Γρανικόν
ἀδράφαξις (Pherecr. X p. 285)· λά ἄγριον
ἀδρεῖν· αὔξεσθαι φυτόν
ἀδρέπανον· ἄδρεπτον. θεοῖς ἀνακεί Σοφοκλῆς (fr. 888) [1
ἀδρί· ἀνδρί. Παμφύλιοι
Ἀδριανοί (Aeschyl. fr. 68?)· Κελ παρὰ τὴν Ἀδρίαν περίοικοι
ἀδρόν· μέγα. δαψιλές. παχύ
ἀδρός· πολύς. μέγας. πλούσιος. παχύ
ἀδρόχωροι· οἱ ἀδρὰς ἔχοντες χώρα [19
ἄδρυα· οἱ στύλοι ἀρότρου, δι' ὧν ὁ βοεὺς ἁρμόζεται
ἄδρυα· πλοῖα μονόξυλα. Κύπριοι. λέ δὲ καὶ οἱ ἐν τῷ ἀρότρῳ στύλοι. Σ

COD. 69 Ἀδμήτόν 83 ἀκρισ (Α̈) 84 ευρυσά (x) 89 ἀδοσύνη 90 δεδουπώς 9 στὸν 99 ὀλίγον τυφλή 1200 ὀλιγάκις τυφλή 1 Ἀδραστία ... Ἀδραστὶς (αι), πρῶτος Νέμεσις 7 Ἀ. ἱδρύσατο δρύς 8 ἀδράφεξους 14 κεντοὶ — αυδρίαν 18 ἀί ροι 22 ἀδροιστύλοι — ἄδροια

HES. 61 ἄδις· ὡς Ἀππίων, ἀθρόοι. ἡ ἐσχάρα 66 ἀδμής· ἀδάμαστος πα (ζ 109) 72 ἀδρεῖτο· ἐβαρύνετο 74 ἀδοκεῖ· ἀδοκήτως διακείμενος (ε 8 489) 77 ἀδόκιμον (Rom. I 28)· πονηρόν, ἀπόβλητον, ἄχρηστον 78 ἀδολ (Sirac. VII 15)· φλυάρει, μακρολόγει ⟨εῖ ter cod.⟩ 79 ἀδολές· ὑγιές ⟨vid. 80 ἀδονάν (Eur. El. 126)· ἡδονήν 81 ἀδοναῖος ⟨Ἀϊδονῆος⟩· ὑπὸ τὸν (Mosch. IV 86) Ad 88: ἀδόσιον] ἄκαυτον ⟨ad ἀδάϊον⟩ ἢ — ἢ ἀδιαίρετ ἄδαστον⟩ Ad 92: ἀδουσιασάμενοι] διελόμενοι ⟨ad δασάμενοι⟩ 95 ἀδουπ ἀπρόκοποι 97 ἄδραια ⟨ἄδραστα⟩· ἄπρακτα. οὐκ ἐ(κ)δίδρασκον(τα) Herod. IV 5 ἀδρανές· ἀσθενές 11 Ἀδρηστία (Β 828)· ὄνομα πόλεως παρὰ τὸν Ἑλλ τον 12 Ἀδρίστινη (Ε 412)· τοῦ Ἀδράστου θυγάτηρ 15 ἀδροί (Iob. 9)· πλούσιοι 19 ἀδρότερον· μεῖζον. εὐτραφέστερον 20 ἀδρότης· δύναμις θος ⟨v. τῇ ἀδρότητι⟩ 21 ἀδρυνθέντος (Exod. II 10)· μεγαλυνθέντος

δὲ ἄδρυα (Ar. Byz. p. 188) λέγουσι τὰ μῆλα. παρὰ δὲ Ἀττικοῖς ἀκρόδρυα
ἀδρύμακτον· καθαρόν
ἀδρύνεσθαι· αὔξεσθαι τοὺς στάχυας
ἀδρύφακτον· ἄνευ δικαστηρίου. ἢ ἀφύλακτον, ἀτείχιστον
ἀδρῷ· μεγάλῳ
ἀδρωμένον· ηὐξημένον
ἀδύθεμον· ὄξος ⟨ἀδύοσμον⟩
ἀδύνατοι· οἱ ἐντὸς κεκτημένοι τριῶν (μνῶν) παρὰ Ἀττικοῖς (Aristot.) ἐλάμβανον δὲ παρὰ τῆς βουλῆς δύο ὀβολούς
ἀδύνατον· † ἄμωμον. ἄπρακτον
ἀδύνατον ⟨ἀδύπνοον⟩· πρόβατον (μήπω?) γεγευμένον πόας
ἄδυτα· ἄβατα, ἀπέραντα
ἄδυτον· σπήλαιον ἢ τὸ ἀπόκρυφον μέρος τοῦ ἱεροῦ
ἀδύτων (e. c. Eur. Andr. 1035)· ἀσύλων ἐνδοτάτων
ἀδῶ· ἀρέσκω
Ἄδωνα (Pherecr. vol. V p. CIX)· τὸν Ἄδωνιν
Ἀδωναῖος· Ποσειδεών (Macedones). καὶ βόλος. ἢ ὑπὸ τὸν ᾅδην (Mosch. IV 86)
ἀδωνίς· ἡ χελιδών ⟨ad ἀδονίς⟩. καὶ ἡ θριδακίνη
ἀδωνιασμός (Ar. Lys. 389)· ὁ ἐπὶ τῷ Ἀδώνι(δι) θρῆνος
ἀδώνιον· τὸ παρὰ τοῖς Λάκωσιν αὐληθὲν † ἐπιβαστήριον, ὅπερ ὕστερον παρὰ Λεσβίοις ἐνομίσθη
Ἄδωνις· ἰχθῦς θαλάσσιος, οὗ μνημονεύει Κλέαρχος (ap. Ath. 332 C). ἡ δεσπότης, ὑπὸ Φοινίκων. καὶ βόλου ὄνομα. ἔστι δὲ καὶ κύριον
ἀδωνιστής· † ἔριφος
Ἀδώνιδος κῆποι (Eur. fr. 518)· ἐν τοῖς Ἀδωνίοις εἴδωλα ἐξάγουσιν καὶ κήπους ἐπ' ὀστράκων καὶ παντοδαπὴν ὀπώραν, οἷον ἐκ μαράθρων καὶ θριδάκων παρασκευάζουσιν αὐτῷ τοὺς κήπους· καὶ γὰρ ἐν θριδακίναις αὐτὸν κατακλινθῆναι ὑπὸ Ἀφροδίτης φασίν (v. Theophr. VI 7, 3) [44]
ἀδωροδόκητος (Demosth. 310, 22)· ἀδωρόληπτος
ἀδωρότατος· ὁ μηδ' ὅλως μεταδιδούς τι. ἢ ἀδωροδόκητος (Thucyd. II 65, 5)
ἀδώσια· ἱερά τινα
† ἀδώσιτος· κριτής (Menand. fr. IV p. 92?). καὶ ἀμίσιτος
ἀέ· ἐπὶ τοῦ ἀεί (Pisander), ἕως ⟨ad ἄς⟩ [50]
ἄεδνον· ἄφερνον. ἢ πολύφερνον
† ἄεδνος· δεινός ⟨cf. 1368⟩ [53]
ἄεθλα (Ψ 700)· ἔπαθλα. ἀγῶνας
ἀέθλεον (Herod. I 67)· ἐμόχθουν. ἠγωνίζοντο
ἄεθλον (Ψ 551)· ἔπαθλον
ἀεί· ἀντὶ τοῦ ἕως Φρύνιχος Κόννῳ (fr. II). καὶ Εὐριπίδης Μηδείᾳ (670)· ἄπαις γὰρ δεῦρ' ἀεὶ τείνεις βίον [58—61]
ἄει· ἀκούει. ἢ διαπαντός ⟨ad ἀεί⟩
ἀεὶ βλύων· ἐπιρρέων [64]
ἄειδε (α 339)· ᾆδε, καὶ λέγε [66]
ἀειδέες· ἀφανές, ἄμορφον (Aristot. Org. III 8). αἰσχρόν
ἀείδειν (α 155)· μετ' ᾠδῆς λέγειν
ἀ(ει)δ(ε)ινήτοις· ἀεὶ στρεφομένοις [70—73]
ἀείδελα· λαμπρά
ἀειδέλιος· κατάρατος. δεινός
ἀειδής· ὁ μηδέπω † εἰδής
ἀείδιον· ἀέναον, ἀεὶ ὄν
ἀειεστοῦν (Antipho)· τὴν αἰώνιον οὐσίαν, ἢ ἀϊδιότητα
ἀείζων (Aeschyl. fr. 28)· φυτὸν ἀειθαλές
ἀειθαλής· ἐς ἀεὶ θάλλων
ἀειθαλές· τὸ βραβεῖον τῆς νίκης, ἀεὶ θάλλον [82. 83]
ἀεικέλιον· ἀνόμοιον. σκληρόν (ξ 32). κακόν (ω 228) [85]

COD. 37 Ποσειδῶν 38 ἀδωνίης 40 ὠνομάσθη 41 βώλου 42 Sic Cyr. Dr. 43 ἀδώνιδοι· κῆποι — δαπῆ — βαράθρων — κατακλισθῆναι 56 ἀα[ε]θλον 57 Κοννώη — δεῦρο εἰς ἀεὶ τίν' εἰς 63 ἀειβλύων 74 ἀείδεμα 78 ἀειεστόν 79 ἀειζῶν

HES. 44 ἀδωπῷ (N 599)· ἱερῷ ⟨ἐρίῳ⟩ 50 ἄει· ζήτει 53 ἀέδοντα ⟨ἀδέοντα⟩· ἀρέσκοντα 58 ἀεθλεύων (Ω 734)· ἀγωνιζόμενος 59 ἀεθλοσύνης (Agath. V 294, 18)· ἀγωνίας 60 ἀ[ε]θλοφόρους (I 266. 124)· ἀγ(ω)νιστάς 61 ἀέθῳ (λ 548)· ἐπέλθω 64 ἀειγενετάων (B 400)· διαπαντὸς ὄντων 66 ἀειδεδάρα (I 189)· ᾖδε, δι' ᾠδὴν ἔλεγεν 70 ἄειδον (A 604)· ᾖδον 71 ἀειδίης· ἀεὶ οὔσης 72 ἀείδοντες (Δ 473)· ᾄδοντες 73 ἀείδων (I 191)· αἰδῶν 82 ἀεικάς· μάχας, ὁρμάς. ἢ βολὰς τόξων (O 709) 83 ἀεικέα (A 341)· ἀπρεπῆ. ἀθεράπευτα 85 ἀεικελίῃσιν (δ. 244)· ἀπρεπέσιν. χαλεπαῖς

ἀεικελίους· ταλαιπώρους. εὐτελεῖς, οὐδενὸς ἀξίους
ἀεικές· ἀπρεπὲς ἀκούεις ⟨ad ἀείες an ρ 216 ?⟩. Κύπριοι
ἀεικές· κακόν. σκληρόν. ἀπρεπές (I 70 al.) εὐκαταφρόνητον· ἀπεοικός
ἀεικέστερα (Herod. VII 13)· ἀπεοικότα
ἀεικίζει· ἀπολλύει, φθείρει. αἰκίζεται, ὑβρίζει. κολάζει (Ω 54)
ἀεικία· ἀτυχία. κόλασις. κακία. ὕβρις. αἰκισμός. ἁμαρτία. κάκωσις. λύμη
ἀεικίσσωσιν· ὑβρίσωσιν (Π 545). ἢ † ἀπολύσωσιν
ἀεικόρσωτοι· ἄκαρποι ⟨καρτοὶ⟩ ἀεί·
κορσώσασθαι· κεῖραι κεφαλήν
ἀεικῶς (v. l. Soph. El. 102)· ἀπρεπῶς. χαλεπῶς
ἄειλα πεδία· (Aeschyl. fr. 325) ἀνήλια. Εἴλη γὰρ τοῦ ἡλίου αὐγή
ἀειλογία· πολυλογία. τὸ ἑκάστοτε διδόναι λόγον καὶ ἀπολογίαν (Demosth. 341, 15) [98]
† ἀείλη· πνοή [1300—2]
ἀειναῦται· ἀρχῆς ὄνομα παρὰ Μιλησίοις
† ἀεινέους· οὐ προσηνεῖς. βλαβερούς
ἀεινεφεῖς· τυφλώσεις
† ἀείνη ⟨v. ἀηνά⟩· δένδρον μεγαφόρον ⟨λέγεται ἀφ.⟩ τὸ δὲ αὐτὸ καὶ δεῖνες
ἀείοις· ἀκούοις
ἀειπῶν· φίλησον, τοῖς βρέφεσι Λάκωνες
ἀεῖραι· βαστάσαι, ἆραι (Θ 424) [10—12]
ἀείρας· ἐγείρας. ἄρας (Μ 453). κουφίσας
ἄειρε· φέρε, πρόσφερε·
μή μοι οἶνον ἄειρε (Ζ 264)
ἀείρειν (Hippocr. II p. 764 Kuehn)· προσφέρειν

† ἀείροις· ἀπείροις [17]
ἀείρομαι· ἄνω αἴρομαι. Σοφοκλῆς Τραχινίαις (216)
ἀειρομένας· περιερχομένας [20]
† ἀείριδας· κύκλους τοῦ ὅρμου
ἄειρον· ἄῤῥητον. (ἀ)παραίτητον. ἐπὶ κακῷ ὠνομασμένον ⟨ad σ 72⟩
ἀειρός (σ 72 ?)· δυστυχής [24]
ἀείρω· ἄνω ὠθῶ
ἀειστὴν γνάθον (Alex. III p. 437, 1) [27. 28]
ἀείσιτος· ὁ ἐφ' ἑκάστῃ ἡμέρᾳ ἐν τῷ πρυτανείῳ δειπνῶν
ἀείστορες (Eur. Andr. 682)· ἄπειροι
ἀείσω (Eur. Herc. f. 681)· ᾄσω, ὑμνήσω [32—41]
ἀείφρουρος· ἀεὶ διαμένων, δειθαλής (Σοφοκλῆς Τηλέφῳ fr. 519)
ἀειφυγία (Plat. Legg., Dem.)· τὸ εἰς ἀεὶ φυγαδεύεσθαι
ἀείχρηστος· οἶνος
ἀέκασσα (Dorice)· ἄκουσα
† ἀεκασσεῖ· στερεῖται ⟨cf. ἀκάθεσθαι⟩
ἀέκητι (Μ 8)· ἀκουσιότητι [48—51]
ἀέλον· ἕωλον. Κρῆτες
ἀέλιοι· οἱ ἀδελφὰς γυναῖκας ἐσχηκότες [54]
ἄελλα· συστροφὴ ἀνέμου, καὶ κονιορτός, ἀπὸ (τοῦ) ἀεῖν ὅ ἐστι πνεῖν [56]
ἀελλάδων ἵππων· ταχέων. Σοφοκλῆς Οἰδίποδι Τυράννῳ (466) [58]
ἀελλές (Callim. fr. LXXXVI ?)· ἀθρόον, καὶ ὁμόσε
ἀελλῆσι· πετομέναις
ἀελλῆσι θυμοῖς ⟨ἀελλησιθύμοις Bekk.⟩· ἀνυποστόλοις μετὰ παῤῥησίας [62. 63]
ἀελλόθριξ· ποικιλόθριξ. † ἢ πυρεωρούς

οι

COD. 86 ταλεπώρους 89 ἀπεεικότα 94 ἀεικορσώσασθαι 96 αείλαπεδία 22 ἀειρόν 25 ὀθῶ 42 ἀειφρουρος 43 ἀειφύγια 45 ἀέλλησ
σκάσσα 47 ἀεκητί 55 ἀπὸ ἀεινοσετί 57 ἠδυπόδι 58 ἢ ποδίνεμος 60 πετωμέναις

HES. 98 ἀειλογεῖς· ἀεὶ λαλεῖς, ἀεὶ προφέρεις 1300 ἀημέναι (γ 176)· πνεῦσαι 1 ἄειν· πνεῖν 2 ἀεινάων· ἀεννάων (Moer. Att.) 10 ἀείρεεν· ἐγεῖραι 11 ἀειραμένην (Ψ 366 ?)· διεγειρομένην 12 ἀειράμενον (Φ 327)· διεγειρόμενον 17 ἀείροιστον· ἀεὶ ῥέον 20 ἀειρόμενος (Φ 307)· ἐπαιρόμενος 24 ἀείρων (λ 423)· κουφίζων 27 ἄεισεν (φ 411)· ᾖσεν 28 ἀεῖσσον· ᾆσσον ⟨Eur. Tro. 1086, non 513⟩, ἐγγύς ⟨ad ἆσσον⟩ 32 ἀαεκαζομένη (Ζ 458)· μὴ βουλομένη 33 ἀεκαζόμενος (σ 135)· ἄκων καὶ μὴ βουλόμενος. ἀναγκαζόμενος. ἀνιώμενος 34 ἀ(ε)κήλια· ἀκούσια. χαλεπά (Σ 77), ἃ οὐκ ἄν τις ἑκὼν πάθοι [35 ἀέκητι· ἀβουλίᾳ (Ο 721). παρὰ γνώμην (Μ 8)] βέλτιον δ' ἄν τις ἀποδοίη τὰ τεταραγμένα καὶ οὐκ εἰρηνικά, κατὰ στέρησιν τῆς ἡσυχίας καὶ εἰρήνης 36 ἀεκοντάκεσθαι (Σ 240)· μὴ θέλοντα ἀναχωρῆσαι 37 ἀέκοντος· ἄκοντος (Τ 273), μὴ βουλομένου (Λ 301) 38 ἀεκών· ἄκων (Λ 557), μὴ θέλων (Ρ 666) 39 ἀεῖται· ὑμνεῖται ⟨ἀείδεται, non Pind. Isth. Γ 27⟩ 40 ἄειτον (Φ 395)· ταχύ 41 ἀειφόρος· ἀειθαλής 48 ἄελλαι (Τ 377)· ἄνεμοι, πνοαί 49 ἀελλής (Γ 13)· συστροφὴ ἀνέμου 50 ἀελλήσας ⟨ἀθλήσας⟩· κακοπαθήσας 51 ἀελλάων (Soph. OT. 466)· ταχέων Ad 53: ἤγουν σύγγαμβροι 54 ἄελθρος· νοσώδης ⟨v. κηρέσιαν⟩ 56 ἀελλόπους· ταχύπους 58 ἀελλόπος Ἶρις (Θ 409)· ἡ ταχύπους. ἀφ' οὗ καὶ ποδήνεμος 62 ἀελίς· τάλαινα, ἀθλία 63 ἀελίσποντες (Η 310)· οὐκ ἐλπίζοντες

καὶ συνεχεῖς ἔχουσα τὰς τρίχας. παρὰ τὴν ἀέλλαν. Σοφοκλῆς Ἰνάχῳ (fr. 270)

ἀελλός· μαινόμενος. καὶ ὀρνεόν τι

ἀελπέοντες (Herod. VII 168)· μὴ ἐλπίζοντες

ἄελπτοι· δεινοί. καὶ ἄαπτοι. Αἰσχύλος Πρωτεῖ (fr. 209) [69—73]

ἄεμμα· τόξον (Callim. Dian. 10), ἱμάτιον (Cretice) [75]

ἄεν· ἔπνει [77—79]

† ἀένδητος· ἔπνει

ἀε[ν]νάου (Hesiod. opp. 566 = 593)· ἀεὶ οὔσης. ἀεὶ ῥεούσης

ἀέντε (E 526)· πνέοντες

ἀέντιον· Αἰγύπτιον σμυρνίον

ἀέξειν (Callim. Iov. 95)· αὔξειν

ἀέξετο (κ 93)· ηὐξάνετο [86—89]

ἄεπτον· ἰσχυρόν. ἄθικτον

ἀεργηκότες· ἀργοί, ἀναπαυόμενοι

ἀεργηλόν· ἀργόν

† ἀέργυγον· καθέδραν. οἱ δὲ † τάγηνα

ἀέρδην (Aesch. Ag. 235)· ἄνω. ἢ φοράδην [95]

ἀερέθονται· αἰωροῦνται, κρέμανται

ἀερήϊον· ἀμέτρητον. πολύ, ἀερῶδες

ἀέρης (Panyasis)· ἄρης, βαστάσης [99—1401]

ἀερία· ὁμίχλη, παρὰ Αἰτωλοῖς. Θάσον τε τὴν νῆσον, καὶ Αἴγυπτον (Aesch. Suppl. 75), καὶ Λιβύην, καὶ Κρήτην, καὶ Σικελίαν ⟨Θεσσαλίαν?⟩, καὶ Αἰθιοπίαν, καὶ Κύπρον οὕτως ἐκάλουν

ἀερίδες· μέλισσαι ⟨cf. ἐαρίδες⟩

ἄερκτον (Lys. or. VII § 28) οὐ περιειργόμενον

ἀεροβατεῖν (Plat. Apol. 19 C)· εἰς τὸν ἀέρα περιπατεῖν

ἀερόεν· μέλαν. βαθύ. μέγα [7—9]

ἀεροκέλαδοι· πιτυοκάμπ[τ]αι

ἀερολέσχης· ὑψηλὸς ἐν τῷ λέγειν, κομψηγόρος

Ἀέροπες· ἔθνος, Τροιζῆνα κατοικοῦντες. καὶ ἐν Μακεδονίᾳ γένος τι. καὶ ὄρνεά τινα (Arist. HA. VI 1, 3)

† ἀεροπός· κοχλίας

† ἀερός ⟨λιρός?⟩· ἀναιδής [15]

ἄερσαν· τὴν δρόσον. Κρῆτες [17]

ἀερσίπους· ταχύπους [19]

ἀέσαι (ο 40)· κοιμηθῆναι. κατὰ στέρησιν τοῦ ἔσαι, ὅ ἐστιν ὁρμῆσαι

ἀέσ[σ]αμεν (γ 151)· ἐκοιμήθημεν [22]

ἀεσ[σ]ιφροσύν(η)ισιν (ο 470)· ἀνοίαις

ἀεσ[σ]ίμαινα· ἡ τοῖς πνεύμασι τῶν ἀνέμων μαινομένη. θαλάσσης δὲ τὸ ἐπίθετον

ἄεσις· πόνος. βλάβη

ἀέσκοντο· ἀνεπαύοντο, ἐκοιμῶντο

† ἄεται· πόλις ⟨I 464?⟩ [28. 29]

ἀετέα· τὰ τῷ αὐτῷ ἔτει γεννώμενα [31. 32]

ἄετμα· φλόξ

ἀετμόν· τὸ πνεῦμα

ἀετόνυχες ⟨—ώνυχον⟩· βοτάνη

ἀετός· τοῦ τροχοῦ τὸ κατὰ τὴν κνήμην ἑκάστην σιδήριον. καὶ κυμάτιον τὸ[ν] ἐν τοῖς γείσοις. καὶ βοτάνη (Pamphilus) τις ἐν Λιβύῃ φυομένη

ἀετώσιον (Ibyc. fr. 50)· λύπῃ μεμιγμένον [38]

ἀεφανέων· λαμπρῶν ⟨cf. ἀέ⟩

ἀεχῆνες· πένητες [41]

ἄζα· ἄσβολος. κόνις. παλαιότης. κόπρος ἐν ἀγγείῳ ὑπομείνασα (Praxiphanes) [43]

COD. 66 ἀελπτόν — αἰφνήδιον 74 τοξι/ 80 ἀένδητος 83 ἀεντι? 90 ἀοίκητον 94 ἀεργήν 2 θᾶσσον 4 ἀέριπον 11 κομπηγόρος 12 Τρύζηνα
ῶν ῶν,
19 ἀεστητὸν 20 ἀέσσαι· ἀῆσαι, κ. 30 τω αὐτω 36 τὸν κατὰ τὸν κνῆμον 42 ἀπομείνουσα

HES. 69 ἀελπές (ε 408 — έα)· ἀνέλπιστον 70 ἀελλεῖ· φιλεῖ. κολακεύει 71 ἀελλῶν· στρέφων, ὀπτῶν. ποικίλων 72 ἀελπάρεα ⟨ἀργαλέα⟩· δεινά 73 ἀελλῶδες· μετὰ ἀνέμου ὀμιχλώδους 75 ἀέμπεδον (N 37)· βέβαιον 77 ἀενναάσθαι· καταντλεῖσθαι ⟨αἰονα—⟩ 78 ἀεννάοντα (ν 109)· ἀεὶ ῥέοντα 79 ἀένναος (Iob. XIX 25)· διαρκὴς ἀεί. ἢ ἀεὶ θάλλων 86 ἀέξων· αὔξων (P 139)· ἢ ἔχων (ω 231) 87 ἀέοισι· κοιμίταις 88 ἀεπάσιον (ε 397)· ἀσμένως χαίροντα 89 ἄεπται· ἀκούεται ⟨v. ἄετε⟩ 95 ἀεργός· ἀργός (I 320)· ἢ κακοῦργος 99 ἀερθείς (θ 375)· μετεωρισθείς 1400 ἄερθεν· ἤρθησαν (Θ 74). ἀνέστησαν, ὥρμησαν 1 ἀέρθη (τ 540)· ἐπήρθη 7 ἀέρον (τ 421)· ἀπεδερμάτουν 8 ἀέρος· εἶδος ἰός, καὶ ὄροβοι 9 ἀεροδεστέρα· ἀφανεστέρα 15 ἀεροβλεῖ· τείνει ⟨ειαροβλεῖ· πίνει⟩ 17 ἀερσίποδες (Γ 327)· ταχύποδες (Ψ 475), ἐλαφρόποδες 19 ἄες (Θ 470)· τητόν ⟨τῇ⟩ αὔριον. Βοιωτοί 22 ἀεσ[σ]ίφρων (Y 183)· ματαιόφρων, ὁ κούφας ἔχων τὰς φρένας 28 ἀέτας· πόρπας, περόνας ⟨ἐνετάς⟩ 29 ἄετε· ἀκούσατε ⟨ἀΐετε⟩ 31 ἀλῆσαι· στερῆσαι 32 ἄετο· ἐσίετο. διέπνει ⟨τ 478⟩ 38 ἀετταλαίουσι (ο 399)· χαλεποῖς ⟨ἀργ—λευγαλέοισι⟩ 41 ἀέχοντο· ὥρμων 43 ἀζάλαι (λ 39)· νέαι καὶ ἁπαλαί

ἀζάλη· νήνεμος γαλήνη [45—49]

ἀζάνθη· ἐξηράνθη

† ἀζαπᾶ· πτισάνη

ἀζαραπατεῖς (Ctesias Phot. 42, 21)· οἱ εἰσαγγελεῖς παρὰ Πέρσαις

† ἀζάτη· ἐλευθερία

ἀζαυτός· παλαιότης καὶ κόνις ⟨ἄζα· εὐρώς⟩ [55]

ἄζειν· στενάζειν (Soph. fr. 890), ἢ ἐκπνεῖν διὰ στόματος (Nicochar. fr. 11 p. 846)

ἀζεινοί· κύκνοι ταῖς πτέρυξιν ἀπολαμβάνοντες ἀέρα ⟨vid. ἀζέσιμοι⟩

ἀζειρεῖ ⟨ἄζει?⟩· ξηραίνει, ἀζαίνει

ἄζειρον· ἀποίκιλτον

† ἄζερος· ἀγαθός

ἀζείρου· ἀζώστου. ἢ πολυζώστου

Ἀζειῶται· ἔθνος τῆς Τρωάδος. Σοφοκλῆς Συνδείπνοις (fr. 147)

ἀζένα· πώγωνα. Φρύγες

ἄζενον· γενειῶντα

† ἄζετον· ἄπιστον. Σικελοί [66]

ἄζεο (E 830)· ἐντρέπου, αἰσχύνου

ἄζεσθαι (Theogn. 280)· σέβεσθαι

ἀζέσιμοι· κύκνοι ταῖς πτέρυξιν ἐναπολαμβάνοντες ⟨v. ἀζεινοί⟩

ἄζετο· ἐνετρέπετο. ἐξηραίνετο, ψιλῶς. ὡς·

ἡ μέν τ' ἀζομένη κεῖται ποταμοῖο παρ' ὄχθας (Δ 487)

καί

καταζήνασκε (δὲ) δαίμων (λ 587)

δασέως δὲ ἁγιάζεται, καὶ ἅγιον ἡγεῖτο, καὶ ἐσέβετο·

ἀλλὰ γὰρ οὐ(δὲ) θεὸν μέγαν ἅζετο (E 434) [71—73]

ἄζη· ξηρασία. κονιορτός. εὐρώς (χ 184) [75]

ἄζηλοι· ἄτιμοι. ἀμίμητοι [77]

Ἀζηνία (Aeschin. Ctes. § 139)· δῆμος Ἱπποθοωντίδος φυλῆς

ἀζῆρις ⟨ἀζηλίς Pollux⟩· τοῦ ἁρματίου ξύλον † μετὰ

Ἀζησία (Soph. fr. 891)· ἡ Δημήτηρ ἀπὸ τοῦ ἀζαίνειν τοὺς καρπούς

ἀζῆται· οἱ ἐγγύτατοι τοῦ βασιλέως [82]

ἀζηχές (Δ 435)· διηνεκές, ἀδιάλειπτον. μεγαλόφωνον. ἰσχυρόν [84]

† ἀζήωρα· ταχέα ⟨ad ζωρά⟩. πυκνά

ἄζομαι· αἰσχύνομαι (Z 267)

ἀζοίμην· ἀγανακτοῖμι. Εὐριπίδης Δίκτυϊ (fr. 350) [88. 89]

ἄζον· μέλαν. ὑψηλόν

ἄζοξ· ὕλη ⟨v. ἄξος⟩

ἄζυγα· ἄζευκτον. Ἀρχίλοχος (fr. 156)

ἄζυγες (Eur. Med. 673)· ἄζευκτοι, μονάζοντες [94]

ἄζω· ξηραίνω

ἀζωλή· ἀγανάκτησις

ἄζωπες· αἱ ξηραὶ ἐκ τῆς θεωρίας

Ἄζωρος· ὁ εὔκρατος οἶνος. καὶ ὁ κυβερνήτης τῆς Ἀργοῦς

ἄζωστος θώραξ· ἄνοπλος, ἄστολος

ἀζῶτες· οἱ μὴ εἰς τὰ συνεστῶτα παρόντες

ἄζωτον· ἀβίωτον

Ἄζωτος (Herod. II 157)· ἔθνος Συρίας καὶ πόλις

ἄη (ξ 458)· ἔπνει, ἐφύσα [1504. 5]

ἀηδέομεν· κοπιῶμεν

ἀηδές· στυγνόν. λυπηρόν

ἀηδής· κοπιώδης. ὀκνηρός

ἀηδῆσαι· κοπιᾶσαι, καμεῖν

ἀηδόνα· ᾠδήν, εὐφροσύνην ⟨v. ἠιδόνες⟩ [11]

ἀηδόνα· γλωσσίδα μεταφορικῶς Εὐριπίδης Οἰδίποδι (fr. 560). καὶ τοὺς αὐλοὺς δὲ λωτίνας ἀηδόνας που ἔφη (fr. 923)

ἀηδονεῖον· ὁ τόπος ἔνθα † ἡδοναί, ἐργαστήριον ἀηδόνων

COD. 51 ἀζάρα Cyr. Dr. Cf. ἀθάρα et ἀττάρυμα 54 παλαιστής 57 ἀζηνοί ⟨vid. ἀσβηνοί⟩ 59 ἀζειρόν 61 ἀζειροῦ — πολυζώστου. ἀζένα 62 συν δείπν 64 ἄζενον 65 ἄθετον Cyr. Dr. 67 ἄζεο ἀζέω 74 εὔρως 78 Ἀζηνία — Ἱπποθεῶτιδε 80 Ἀζήσια 83 ἀζηλές 87 δικτύου et ἀγανακτοίμην 92 ἀζυγία 96 ἀζωλεῖ· ἀγανακτεῖ 2503 ἔφησα 10 ἀήδολα

HES. 45 ἀζαλές· πολύπνουν. καὶ ὀλιγόπνουν 46 ἀζαλέασι (Λ 494)· ξηράς 47 ἀζαλείην (Η 239)· ξηράν 48 ἀζαλέον· ἄγαν ζέον, θερμόν, ἢ ξηρόν 49 ἀζαλέοιο (Υ 491)· ξηροῦ 55 ἀζαχεῖς· οἱ μὲν σκληρὰ καὶ χαλεπά, παρὰ τὸ ζαλέον. οἱ δὲ ἀδιάλειπτον 66 ἄζεο· ἐντρέπου, σέβου (E 830), εὐλαβοῦ 71 ἀζεχές (σ 3)· ἀδιάλειπτον 72 ἀζεχής (O 25)· οἱ μὲν σκληρός, καὶ χαλεπότητος 73 Ἀζ(εί)δα (ο B 513)· Ἄζέως παιδός 75 ἀζαῖα ⟨ἀγαῖα Cyr. Dr.⟩· φθονερά 77 ἄζιμοι· προαί ⟨vid. ἄζημοι⟩ 82 ἀζήνασκε (λ 587)· ἐξήρανεν 84 ἄζημοι· πνοαί ⟨vid. ἄζιμοι⟩ 88 ἀζομένη· ξηραινομένη (Δ 487). ἐντρεπομένη 89 ἀζόμενοι (Α 21)· σεβόμενοι 94 ἄζυμα (LXX)· τὰ ἄνευ παλαιᾶς ζύμης, ὃ καλεῖται προζύμη 1504 ἄγκε (ο 133· ἤγαγεν ⟨ΑΙΓΓΕ = ΔΗΓΕ⟩ 5 ἀήδα· λείαν, λάφυρα (M 7) 11 ἀηδών· εἶδος πετηνοῦ

(ἀηδόνειος)· ἐπὶ μὲν ὕπνου τὸ ἐλάχιστον (Nicochar. com. II p. 864)· ἐπὶ δὲ λύπης τὸ σφοδρότατον (Aeschyl. fr. 283)

(ἀηδονιδεύς)· ἀηδόνος νεοσσός. [καὶ τὸ τῆς γυναικὸς αἰδοῖον, παρὰ Ἀρχιλόχῳ (fr. 155)

† Ἀήδων ἡ Ἀθηνᾶ παρὰ Παμφυλίοις ⟨v. Bekk. 355, 16⟩

† ἀήητον· συσπαστὸν ἐγχειρίδιον, παρὰ Ταραντίνοις

ἀηθεῖν· μὴ εἰθίσθαι. μὴ νοεῖν [19]

ἀήθης· ἄγριος. ἀτριβής

ἆημα· πνεῦμα (Soph. Ai. 674), φύσημα (Callim. Dian. 55)

ἀήμεναι (γ 176)· πνεῦσαι, πνεῖν [23]

† ἀηνά· δένδρα μικρὰ ἄκαρπα ⟨v. ἀείνη, αἰηνά, δηναιά⟩

† ἀῆνες· αἴδιον. λάβρον. ἄθλιον ⟨v. αἰῆνες; Archil. fr. 37⟩ [26—28]

ἀήσυρον (Callim. Suidae?)· κοῦφον, ἐλαφρόν [30]

ᾱ

ἀήτη (v. l. Ο 626)· ἀρσενικῶς. πνοή. θυμη

ἀήτης (v. l. Ο 626)· ἄνεμος

ἄητο (Φ 386)· ἐφέρετο. ἔπνει

ἄητοι (cf. Nic. Ther. 783)· ἀκόρεστοι, ἄπληστοι παρὰ τὴν τροφήν

(ἄ)ητον (Φ 395)· πολύ. ἀβλαβές ⟨πολυβλαβές?⟩ οἱ δὲ ὡρμημένον (Σ 410)

ἀήτους· μεγάλας. Αἰσχύλος Ἀθάμαντι (fr. 2)

† ἀθαλδον· ἐτύγχανον. τινὲς δὲ ἀθάδανον

† ἀθαιαρεῖς· αὐθάδεις. ὑπερόπται. ἀκριβεῖς

ἀθ(α)λάττωτος (Ar. Ran. 204)· ἄπειρος θαλαττίου πλοῦ

Ἀθάμαντα (Ar. Nub. 257)· τὸν θυόμενον τεφέλαις

ἀθαμβές· Φρύνιχος Ἀλκήστιδι (fr. 2) σῶμα δ' ἀθαμβὲς γυιοδόνητον τείρει

ἄθαμβος· ὦ θάμβος

ἀθάνατοι (Herod. VII 83)· τάγμα ἱππέων παρὰ Πέρσαις μυρίων ἀνδρῶν

ἄθαπτος (Χ 386, Menand. fr. CDXXIII)· ἄκαυτος, ἢ ἄκλαυστος· θάψαι γὰρ τὸ κ[λ]αῦσαι

ἀθάρα· ὁλόπυρος πτισ[σ]άνη πυροῦ, καὶ πολτῶδές τι

ἀθαρέως· ἀκριβῶς (Empedocl. 129 Stn.?)

ἀθάρη· πυρίνη, πτισ[σ]άνη

ἀθαρής· ἄφθορος ἐπὶ γυναικός, ἐπὶ δὲ σιδήρου στερεός

† ἀθάριοι· αἱ μὴ διαπεπαρθ(εν)ευμέναι. τινὲς δὲ μὴ δεδεμένοι ἄρθρῳ

ἀθαρίζει· ἀδικεῖ, προπηλακίζει ⟨=ἀθε|⟩

ἀθέατος· ἀόρατος [52]

ἀθειρής (Aeschyl. fr. 124)· ἤτοι ἀτειρής. ἢ ὁ ἄγαν θεριστικός. ἢ ὑπέροπτος. ἢ θαυμαστός

ἀθελβάζειν· διηθεῖν

ἀθελβεῖν· ἕλκειν

ἀθέλγειν· ἀμέλγειν

ἀθέλγητ(α)ι (Hippocr. I p. 121 K)· ἢ θλίβητ(α)ι. (Νίκανδρος fr. 124 OSchn.) [58]

ου α

ἀθέλημον· † ἄκοσμον ⟨ἄκουσαν?⟩, κακόν

ἀθέλδεται (Diocl. com. fr. I p. 839)· διηθεῖται

ἀθεμβοῦσα· ἀκολασταίνουσα

ἀθέμηλον· οὐδὲν † ἔχουσα οὐδὲ θεμέλιον

ἀθεμίλιος· ἀκροσφαλής. ψεύστης

ἀθεμιστῆσαι· παρανομῆσαι, ἀδικῆσαι [65]

ἀθεμίστων (ι 106)· παρανόμων, ἀδίκων [67]

ἀθερές· ἀνόητον, ἀνόσιον. ἀκριβές

ἀθερίζειν· ἀποδοκιμάζειν, ἀτιμάζειν, σκυβαλίζειν

ἀθέριξ ⟨ἀνθέριξ⟩· τὸ εἰς τὸν στάχυν τοῦ σίτου ἄνω ὡς κέντρον

ἀθέριξα· ἀπεφαύλισα

ἀθερίσαι· καθυπνῶσαι. ἀφροντιστῆσαι

λ

COD. 12 ἰδύποδι — λοτίνας 13 ἀηδονὶς τόπος 16 Παμφυ 17 ἀημητον Cyr. Dr. 20 ἀηθής — ἀκριβής 22 ἀημέναι 24 μηκρά 31 ἀήτη· πνοή...... ἄνεμος ἀρσενικῶς 36 ἀθάμαντας 39 θαλάττιος πλοῦς 40 Ἀθάμέντα 41 Φρύνιχι, Ἀλκίστιδι — γυοδόνιστον τίρει 42 ἄθαμβος 49 ἀθάριοι 50 προπηλακίθει 53 θερεστικός 55 ἕλκειν Νίκανδρος 71 ἀπεφύλησα

HES. 19 ἀήθεσκαν (Κ 493)· ἀσυνήθεις ἦσαν 23 ἀήμενοι (Ψ 214 v. l.)· πνέοντες 26 ἀήρ (Psalm. XVII 13)· ὁ μεταξὺ οὐρανοῦ καὶ γῆς τόπος 27 ἀήρης καῦμα (Ε 864, 5)· ὁμίχλη 28 ἀήσυλα· παράνομα, ἁμαρτωλά (Ε 876), οὐ καθήκοντα 30 ἀήτας· πνοάς (Ξ 452) 52 ἀθεεί (σ 353)· χωρὶς θεοῦ γνώμης 58 ἀθέλιμνοι· κακοί 65 ἀθέμιστοι (ρ 363)· ἄνομοι, ἄδικοι 67 Ἀθήναζε· εἰς Ἀθήνας

ἀθέριστος· ἀφρόντιστος
† ἀθερής· ὁ σίδηρος ἀτειρής, ὅταν θερίζῃ. ἢ θεριστικός. ἢ ὁ διὰ λαμπρότητα ἀθρούμενος ὀξύς, ἢ (ἐπὶ) ἀσταχύων
ἄθεσμος βλάβη· ἐφ' ᾗ νόμος οὐ κεῖται
ἄθεσμος δίκη· ἄνομος
ἀθέσμως· παρανόμως
ἄθεστος Ἐρινύς· σκληρή, ἣν οὐχ οἷόν τε ἐξιλά(σ)ασθαι ⟨cf. αἰνήθεστος⟩
ἀθέσφατον (Γ 4)· πολὺ(ν δυσ)παρακολούθητον, καὶ ὅσον οὐδ' ἂν θεὸς φατίσειεν δι' ὑπερβολὴν πλήθους [80. 81]
ἀθέτως· ἀθέσμως. ἢ (οὐ) συγκατατεθειμένως. Αἰσχύλος Προμηθεῖ δεσμώτῃ (v. 150)
ἄθηλον (Ar. Lys. 881)· μὴ τεθηλακός
ἀθήλως ⟨ἄθηλος?⟩· ἄπνευστος, ἀγάλακτος, ἄγευστος [85]
ἀθηνᾶ· εἶδος αὐλοῦ
Ἀθηναία· ἡ θεός. ἡ δὲ γυνὴ ...... Μεγακλείδης
Ἀθηναῖς· ἡ ἐλαία. καὶ Ἀθῆναι· ἄστυ [89—91]
ἀθήρ· ἐπιδορατίς, μεταφορικῶς. Αἰσχύλος Νηρεῖσιν (fr. 149)
ἀθήρα ⟨aeolice⟩· βρῶμα διὰ πυρῶν καὶ γάλακτος ἡψημένον παρ' Αἰγυπτίοις
ἀθηρηλοιγόν (λ 128)· τὸ λεγόμενον πτύον, οἷον ἀθερολοιγόν, τὸ τῶν ἀθέρων ὀλοθρευτικόν. Ἀθέρες δὲ τὰ λεπτότατα τῶν ἀσταχύων μέρη [95]
ἀθηρόβρωτον ὄργανον· τὴν τορύνην, ἢ τὴν ἀθήραν ἀνακινοῦσι. Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι (fr. 418)
ἄθηρον· ἀθήρευτον
ἀθήτευτος· ὁ μηδενὶ ἐπὶ μισθῷ δουλεύων
ἀθιγῆ· ἀνέπαφον [1600]
ἄθικτον· ἀψηλάφητον. μιαρόν, ἀκάθαρτον. ⟨v. ἄφικτον⟩. καὶ ἡ παρθένος (Arar. com. fr. II p. 276) οὕτω λέγεται
ἀθίκτ(ους κ)όρας· ἀνεπάφους παρθένους. Ἴων Εὐρυτίδαις (fr. 11)
ἀθίλοι· κόγχου θαλασσίας εἶδος [4]
ἆθλα· τὰ ἔπαθλα. ἀγῶνες [6]
ἀθλεῖν· ἀγωνίζεσθαι. κακοπαθεῖν [8]
ἀθλῆσαι· κακοπαθῆσαι, καμεῖν, ἀγωνίσασθαι
ἄθλιος· ταλαίπωρος
ἀθλίων· ἀτίμων. ἐπιπόνων [12]
ἆθλον· ἀγώνισμα, ἔργον. ἔπαθλον [14—16]
ἀθμονάζειν ⟨Ἀθμονῆζε?⟩· τὸ εἰς δῆμον ἀφικνεῖσθαι τῆς Ἀττικῆς
(Ἀ)θμονεύς (Ar. Pac. 190)· † φυλὴ τῆς Ἀτθίδος Ἀθηνᾶς
ἀθόλωτον· καθαρόν [20. 21]
ἄθρας· ἅρμα Ῥόδιοι ⟨ἄθρα· σάρμα?⟩
ἄθρακτοι· ἀτάρακτοι (Sophocles?) [24]
ἀθράνευτον· † ἄστρατον ⟨ἄστρωτον Bekk., ἄσπαρτον?⟩. Εὐριπίδης Οἰνεῖ (fr. 573)
.......· ἀθροῦροι ⟨ἀθάρνευτοι· ἀθοῦροι?⟩, ἀνόχευτοι
† ἀθράως· ἁπλῶς
ἄθρει· βλέπε, ὅρα, νόει, ἴδε [29—32]
ἀθρήματα· δῶρα πεμπόμενα παρὰ τῶν συγγενῶν ταῖς γαμουμέναις παρθένοις παρὰ Λεσβίοις
ἀθρῆσαι (τ 478)· ἀτενίσαι, ἰδεῖν [35]
ἄθρησον (Eur. I A 1416)· θεώρησον (Εὐριπίδης Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι?) [37—40]
ἀθρόον· πολύ. ἀκέραιον. Λάκωνες

COD. 74 ἀτηρής 75 ἣν 79 φατήσειεν 82 συγκατατεθειμένος — δεσμῶτι 86 αὐλοῦ. μεγακλείδι 88 Ἀθῆναι· ἡ 92 Νηρεῖ 93 ἀθηρά 94 ἀθηρήλοινον 96 ἢ τὴν ἀθηράν — ἀκανθοπλήγει 99 ἀθηγῆ 1602 ἀνεπάφας — οἷον εὐρύτιδες 13 ἄθλον 15 Cf. ἀολλίζει 19 ἀθόλοτον 36 Ἰφιγένεια

HES. 80 ἀθετεῖ (I Thessal. IV 8)· ἀτιμάζει 81 ἀθετεῖται (Symmach. Iesai. XXI 2)· ὑβρίζεται. καταφρονεῖται. ῥιπτάζεται 85 ἀθημένος· οὐδὲν ἔχων ἀμείνω ⟨ἀθειμέλιος — θέμειλον⟩ 89 Ἀθηναῖος· πολίτης τῆς Ἀττικῆς 90 Ἀθήνηθεν· ἐξ Ἀθηνῶν 91 Ἀθήνησιν· ἐν Ἀθήναις 95 ἀθηρόλοον (ψ 765)· τὸ τῶν ἀθερῶν ὀλοθρευτικόν 1600 ἀθήτευτοι· οἱ μηδενὶ ἐπὶ μισθῷ δουλεύειν εἴρηνται 4 ἄθινα· ξύλα κατακαύσιμα (υ) ⟨v. 1876⟩ 6 ἀθλέβεται ⟨l. ἀθέλβεται⟩· διηθεῖται 8 ἀθλεύων (Ω 734)· κοπιῶν. ἢ τὸν μόχλον ἀφαιρόμενος 12 ἀθλοθέτης· ἀγωνοθέτης 14 ἄθλος· ἄφωνος 15 ἀθλοίζει· συνάγει 16 ἀθλοφόρους (Ι 124)· ἀγωνιστάς 20 ἄθραυστα· ἀπρόσκοπα. [Εὐριπίδης Ἰφιγένεια τῇ ἐν Αὐλίδι (?)] 21 ἄθραυστον· ἰσχυρόν, ὑγιῆ, ἀβλαβῆ 24 ἄθραι· ἀπειλαί, καὶ ἀναστάσεις ⟨vid. ἀραί, ἀρειαί⟩ 29 ἄθρει δή (Greg. Naz. VI 14 p. 221)· νόει δή, σκόπει 30 ἀθρεῖ· ὁρᾷ, βλέπει 31 ἀθρήσας (Eur. IT. 1323)· ἰδών 32 ἀθρέκτοι· ἀτάρακτοι 35 ἀθρήσειεν (Κ 11)· σκοπήσειεν 37 ἀθρόα (Χ 271)· ὁμοῦ πάντα 38 ἄθροιζε· ἀνάγ(?)γε ⟨σύναγε⟩ 39 ἄθροισμα (I Macc. II 13)· πλῆθος 40 ἀθρόοι· ὁμοῦ πάντες (Β 439)· ἀχέρειοι

ἄθροος· ἄφωνος, ἄψοφος, ἄθρους

ἀθρόους· συνηγμένους

ἀθρόως· αἰφνιδίως, ταχέως ⟨Psalm. VI 10 schol. Aq.?⟩, σφοδρῶς. ἀφώνως (schol. Thuc. III 104). συνηγμένως, ὁμοῦ

ἀθυμία· λύπη

ἀθυμῶν· λυπούμενος [47]

ἀθύρ· μὴν παρὰ Αἰγυπτίοις καὶ βοῦς (Phoenices)

ἀθύρει· παίζει. ῥαθυμεῖ (καὶ) ἀθύρματα (Ο 363)· παίγνια

† ἀθυρεύεσθαι· παίζειν. μιγνύειν, σκιρτᾶν [51]

ἀθυρόγλωσσος (Eur. Or. 903)· βλάσφ[λ]ημος. φλύαρος. ἀ[φ]θυρόστομος

ἀθυρονόμος· ὡς ἔτυχε χρώμενος τοῖς νόμοις

ἀθύροντας· παίζοντας [55. 56]

ἀθώητος· ἀζημίωτος

(ἀ)θώως· ἀζημίως [59]

Ἀθῷος (Soph. fr. 217)· ὁ ἐπὶ τοῦ Ἄθω τοῦ ὄρους ἱδρυμένος ἀνδριάς, ὁ Ζεύς [61]

ἀθώπευ[σ]τον (Eur. Andr. 459)· ἀκολάκευ[σ]τον

αἶ· φιλούμενον μὲν καὶ περισπώμενον σημαίνει τὸ ὄφελον, ἀντὶ τοῦ εἴθε (Β 371). δασυνόμενον δὲ ἄρθρον θηλυκὸν καὶ ἀναφορικόν, ᾧ χρῆται Ὅμηρος ἀντὶ τοῦ αὗται (Σ 421), ἢ αἵτινες (Β 470) [64. 65]

αἰάζει (Aesch. Pers. 922? Hippocr.?)· θρηνεῖ

αἰαζομένη· θρηνοῦσα ⟨Eur. Ion. 1205⟩ † ἀκούουσα ⟨Ζ 458⟩ [68]

Αἰάκειον· οὗ φασιν Αἰακὸν οἰκῆσαι (Ἀθήνησι καὶ τὸ Αἰακοῦ τέμενος) [70. 71]

αἰακίξ· κύλιξ [73—75]

† αἰανόν· χαλεπόν, αἰνόν [77]

Αἰάντεια· ἑορτὴ ἐν Σαλαμῖνι

Αἰαντίς· φυλὴ Ἀθήνησιν [80—83]

† αἰαφοί· αὐτοὶ ἀκούοντες [85]

αἰβάνη· θύρα

αἴβετος ⟨sic⟩· ἀετός. Περγαῖοι

αἰβοῖ (Ar. Avv. 1342), ὡς οἴμοι. τίθεται καὶ ἐπὶ θαυμασμοῦ [89]

αἰγάδας· αἶγας. Δωριεῖς [91]

Αἴγαιον· † ἄμοτον πέλαγος (? Eur. Tro. 1) [93—96]

ἐ

Αἰγαίοις· θαλασσῶν π ἀγυίζουσιν

Αἰγαίων· ἐπιτεταμένως ἐνάλιος θεός. καὶ τὸ περὶ τὰς Κυκλάδας πέλαγος (Eur. Alc. 595). οἱ δὲ ὁ Βριάρεως (Α 404), καὶ ὁ Ποσειδῶν (Callim. fr. CIII)

αἶγαν ⟨αἰγᾶν⟩· ὑποδημάτων γένος

(αἰγανέας (ι 156)· ἀκόντια. ἐπὶ τοῦ αἰγείοις ἱμᾶσιν ἠγκυλῶσθαι

αἰγείην κυνέην (ω 231)· τὴν ἐξ αἰγείου δέρματος γενομένην περικεφαλαίαν)

COD. 42. 43 ἀθρόος—ἄθρους· ἀθρόους (v. Arist. fr. LXXIX p. 1194) 47 λυπῶνται. ἀθύρματα· π. 48 ἀθύρ· μὴν καὶ βοῦς π. Ἀ. 49 ἀθυρεῖ—ῥαθυμεῖ. ἀθυρεύσεσθαι 54 ἀθυρόντας 56 πυγνύει Cyr. Dr. 58 ἀζώως 64 αἶαι, ἀκόντιον
ι
69 αἰακεῖον—(   ) post 1664 72 αἴκυξ (ead. man.) 75 αἰάσας Cyr. 171 αἰαλέας· οἶμοι οἶμοι τὰς σὰς Athanas. 78 Αἰαντία 87 αἴμετος — πηγαῖος 90 αἴ-
ο
γαδας 93 ἄγριον. αἰγάνεα..... ἠγκυλῶσθαι. αἰγανέης 99 ὑποδηματώγεν. Αἰγίναια· τὰ

HES. 47 ἀθυμῶσι (Coloss. II 21)· λυπῶνται 51 ἀθυροῦσι· παίζουσιν 55 ἀθυρῶν (Ο 364)· παίζων 56 ἀθύσσει· μιγνύει. ῥαπίζει ⟨v. αἰθύσσει⟩ 59 ἀθῷος· καὶ ἀναίτιος ⟨q. v.⟩ 61 Ἄθως· ὄρος ἐν Μακεδονίᾳ 64 αἶα (Γ 243)· λακόν τι ὄνομα 65 αἶα· γῆ, γαῖα, κατ' ἀφαίρεσιν τοῦ γ. καί, ὥς τινες, κρήνη ἐν Παιονίᾳ (Β 850 Antimach. fr. XXXI) 68 αἰάζω (Eur. Or. 80)· ἀναβοῶ, στενάζω 70 αἰακεία· ὕβριν, οἱονεὶ αἰκία 71 Αἰακίδα (Β 860)· τοῦ Αἰακοῦ ἐκγόνου, Ἀχιλλέως 73 Αἰαίη (κ 135)· ἡ νῆσος, ἣν κατῴκει ἡ Κίρκη. καὶ αὐτὴ ἡ Κίρκη ὁμώνυμος· Αἰαίη δολόεσσα (ι 32) ἡ ἐθνική, ἀπὸ τῆς νήσου. τὸ ὄνομα δὲ πεποιημένον παρὰ τὸ αἶ[ον] αἶ τοὺς θρηνοῦντας φθέγγεσθαι. ἤτοι (διὰ τὸ) τοὺς [ὑπὸ τῶν] παρὰ ταῖς ἄλλαις τρυγόσιν ⟨τοῖς Λαιστρυγόσιν⟩ ἀναιρεθέντας θρηνεῖσθαι. ἢ διὰ τὸ ἀξίαν εἶναι θρήνου τὴν τῶν μεταμορφουμένων ἀποθηρίωσιν 75 αἶαν (Β 850)· γαῖαν, γῆν 75 αἰαλλιάσας (Eur. Hec. 182)· οἶμοι οἶμοι ⟨αἰαλεάς· οἶμοι τὰς σὰς Athanas. αἰάσας Cyr. 171⟩ 77 αἰαν ἀλιτρ.ός (Θ 361)· ἀεὶ ἁμαρτωλός 80 αἰαντόν· ἁμαρτία 81 Αἴας (Β 528)· ὁ Τελαμῶνος 82 αἰᾶται (Γ 134)· καθῆναι ⟨κάθηνται⟩ 83 αἱ αὐλαῖαι (Exod. XXXVIII 16)· τὸ κατακάλυμ(μ)α 85 αἰαψ ⟨μάψ⟩· ματαίως. ματαίως 89 αἶβον· κάταν(τ)ες, πλάγιον ⟨v. ἄδιον⟩ 91 Αἰγαι (Θ 203)· νῆσος ⟨sic⟩ πρὸς τῇ Εὐβοίᾳ, ἱερὸν Ποσειδῶνος 93 αἴγαγρον αἶγα ἄγριον (Γ 24) 94 αἰγανέης (Π 589)· τοῦ δόρατος 95 αἰγανέῃσιν ἱέντες (Β 474)· τοῖς δόρασι βάλλοντες, τοῖς πάνυ ὑψουμένοις 96 αἴγαρον (Homer.)· εἴθε γάρ

Αἰγειναῖα· τὰ ῥωπικὰ φορτία. καὶ οἱ πιπράσκοντες αὐτὰ Αἰγιν(αι)οπῶλαι ἐλέγοντο

Αἰγειναῖον· νόμισμα ἀργυροῦν, μέγα

Αἰγειναῖος (Thuc. V 47)· ὅμοιος ὀβολός ⟨ὀβολός, ὁμοίως?⟩

Αἰγεινητικὰ ἔργα· τοὺς συμβεβηκότας ἀνδριάντας

αἴγειρας (Callim. Cer. 38)· εἶδος δένδρου [1707—9]

Αἰγειροτόμοι· [α]ἰθαγενεῖς τινες Ἀθήνησιν

αἶγες· τὰ κύματα. Δωριεῖς

Αἰγηίς· φυλὴ Ἀθήνησι

αἰγιάδες (Hippocr. I p. 215. 267 K)· ὑμ(έν)ες. καὶ ἐν τῷ ὀφθαλμῷ τὰς ὑπολεύκους οὐλὰς αἰγιάδας ἔλεγον

Αἰγιάλεια· ἡ νῦν Ἀχαΐα

Αἰγιαλεῖς· οἱ μετὰ Ἀγαμέμνονος στρατευσάμενοι πρότερον Ἴωνες, νῦν δὲ Ἀχαιοὶ ἐν Σικυῶνι (Herod. V 68)

αἰγιαλός (Ξ 34)· ὁ παραθαλάσσιος ἐν τόπῳ ψαμμώδει, ἢ ψηφῖδας ἔχων

(Αἰγιαλήων· Ἀργείων Antimach. fr. IV) [17. 18]

(αἰγίδες· καταιγίδες οἱ ἄνεμοι) Αἰσχύλος (Cho. 593). ὁ δ' αὐτὸς ἐν Ἠδωνοῖς (fr. 62) καὶ τὰς νεβρίδας οὕτω λέγει

αἰγίζει· καταιγίζει. διασπᾷ

αἰγίζειν· διασπᾶν, ἐκ μεταφορᾶς. παρ' ὃ καὶ τὸ αἰγίζεσθαι, ἀπὸ τῶν καταιγίδων

αἰγίκερας (Hippocr.)· τῆλις

† αἰγ.λία· δακτυλίδια [24]

Αἰγίλιψ· ὑψηλὴ πέτρα (Aesch. Suppl. 795). καὶ πόλις (B 633). καὶ ἰτέα ὑπὸ Θουρίων

† αἰγιλούουρος· κάραβος ⟨v. αἰγίπυρος⟩

Αἰγιλ(ι)ῶς (Hyperides)· ἀντὶ τοῦ Αἰγιλιέως. Ἀττικῶς [28]

αἰγίλωψ (Theophr. CP V 15, 5)· πόα τις ἐμφερὴς στάχυϊ. καὶ τὸ περὶ τὸν ὀφθαλμὸν πάθος

Αἴγινα (B 562)· νῆσος τῆς Πελοποννήσου

αἰγιόνομοι· ζῶα οὕτω καλούμενα [32]

αἰγίοχος (B 375)· αἰγιδοῦχος, ὁ τὴν αἰγίδα ἔχων. αἰγὶς δὲ ὅπλον [34]

αἰγίπυρος (Theocr. IV 25)· βοτάνης εἶδος. ἢ κάραβος ⟨vid. αἰγιλούουρος⟩

αἰγίς· ὀξεῖα πνοή (Pherecr.) καὶ ἣν αἱ Λίβυσσαι φέρουσι δοράν (Herod. IV 189). καὶ ἡ ἀπόστιλψις τῶν ὀμμάτων ⟨ad αἴγλη?⟩

αἰγίς· ὅπλον ἐξ αἰγοῦ. καὶ τὸ ἐκ τῶν στεμμάτων διαπεπλεγμένον δίκτυον. Νυμφόδωρος δὲ καὶ τὸν θώρακα αἰγίδα λέγεσθαί φησιν ὑπὸ Λακώνων [38]

αἰγίσκον· αἶγα ἐκτομίαν

Αἰγλάηρ· ὁ Ἀσκληπιός

αἴγλας· ἀμφιδέας καὶ ψέλια. τὰ περὶ τὴν ὕνιν τοῦ ἀρότρου

αἴγλη· χλιδών, Σοφοκλῆς Τηρεῖ (fr. 534). [χιτὼν] καὶ πέδη παρὰ Ἐπιχάρμῳ ἐν Βάκχαις [43]

αἴγλη· λαμπηδών, αὐγή (Cratinus), φῶς, λαμπρότης. ἔστι δὲ καὶ βόλος φαῦλος κυβευτικός

αἰγλήεντος (A 532)· λαμπροῦ

αἰγλήεσσι· λαμπροῖς

Αἴγλης Χάριτες (Antim. fr. LXXXV)· πιθανῶς ἐγενεαλόγησαν τὰς Χάριτας Αἴγλης καὶ Ἡλίου, ἐπεὶ τὰς Χάριτας λαμπρὰς εἶναι δεῖ

Αἰγλήτην· ἐπίθετον Ἀπόλλωνος

Αἰγοφάγος· Ἥρα ἐν Σπάρτῃ

† αἰγυλίς· λύγος [51. 52]

αἰγυπ[τ]ιοῖσιν (H 59)· ἀετῶν γένος, γῦπες

† αἰγύπτης· σύντης. ὁ καλοβότης ⟨αἰσυήτης· βότης⟩

COD. 1702 Αἰγείναιον 3 Αἰγεινέος 6 ἴκριῇ 11 Αἰγεις 12 αἰγιαλίδες — ὕμες — αἰγιαλίδας 14 Σικῦνι 16 Cf. ἀγγείλω 19 Αἰσχύλος ....λέγει post καταιγίδων; ἡδονῇ — νευρίδας 22 αἰγίκεραν· τηλῆς 23 αἰγλία 29 τῶν ὀφθαλμῶν 30 αἰγῖναψ 35 αἰγίπυγος 39 ἐκτομέαν τῆς Ἀχαΐας 41 ἀμφιλέας 42 αἰγλη-χίδων 46 αἰγλησσέσι 48 αἴγλη· τὴν 49 αἰγόφαγος χήρα 50 αὐγός (αὐλός Cyr. Dr.) 54 αἰγύπτιον

δάνδαλος· ὁ ἐριθακὸς τὸ ὄρνεον

†*δανδαρίκαι*· οἱ βολευταί

δανδα†*ίνειν*· ἀτενίζειν. φροντίζειν, μεριμνᾶν ⟨v. δαδ— et ἐνδανδαίνει⟩

†*δάναιε*, δαιδοῦλαι. Ταραντῖνοι

δανειστήν· καὶ τὸν δανεισάμενον

δανές· ἀληθές (v. ἀλανές)

δανήλοφα· μακροτράχηλα, ἐκτεταμένους ἔχοντα τοὺς λόφους. ἢ ὑψηλοτράχηλα, μετεώρους ἔχοντα τοὺς λόφους. ἢ πίονας [29—31]

(*δάνος*· ἢ) δάνειον, ὄφλημα, χρέος (Didymus). δῶρον (Euphor. fr. XC· ἢ μερίδα ἢ † ἰσχύν. γέρας) [33—35]

δανῶν· κακοποιῶν. κτείνων. Μακεδόνες ⟨v. σφε δανῶν⟩

δάξα· θάλασσα. Ἠπειρῶται ⟨148⟩

†*δάοι νόσῳ*· ἐπικρατεῖ νόσῳ

δαόν· πολυχρόνιον ⟨v. δάν. δαρόν⟩ [40]

δάος· φῶς, δᾷδα (Ω 647). πῦρ, φλόξ, φέγγος, αὐγή. καὶ ὑπὸ Φρυγῶν λύκος

Δᾶος· ἀγγάριος. δούλου ὄνομά τι, εἰ καὶ ἐλεύθερος. καὶ εἰς κωμῳδίαν (vol. IV p. 600) εἰσαγόμενος [43]

δαπανά· ἀναλωτικά, ἢ τὰ δαπανώμενα

δαπάνη· τροφή

COD. 81 ὂν ταχεῖον Post 87 ἀπόλεμος ἀναιρεθεῖσα 94 *δάμναιμα*, δαμάζοιμι 96 βριαζόμεναι 97 δαμνᾶται (I) 98 δαμνεῖ 208 αἰγαί ⟨ταγαί?⟩ 10 Λάκωνες Κρῆτες 13 δαμῶμος 19 ὀλίγῳ Γ' ἐλέγετο 20 καρύστοι 26 EM. 248, 21 Post 27 ἢ δῶρον ἢ μερίδα. ἢ ἰσχύν. γέρας ἢ δάνειον 32 μερίδος ἰσχὺν Diogen. EM. 247, 51 ⟨δρᾶνος = ἰσχύς⟩ 36 δαινῶν ⟨37 Cyr. Dr.⟩ ⟨39 δοάν?⟩

HES. 82 *Δαμασκός*· αἷμα σάκκου 87 *δαμείς* (Γ 429)· δαμασθείς 90 *δαμῆναι*· δαμασθῆναι ἐπὶ γυναικός, ἀναιρεθῆναι ἐπὶ ἀνδρός (Ο 522) 91 *δαμήμεναι* (Ρ 77)· ὑποταχθῆναι ⟨ἐποχηθῆναι⟩ 93 *δάμνα* (Π 103)· ἐδάμαζε 95 *Δανάη*· θυγάτηρ Ἀκρισίου 99 *δαμνήσει* (Ε 746)· δαμάσει ⟨*δάμνησι*· δαμάζει⟩ 201 *δάμν.ναι*· δαμαζόμεναι ⟨194⟩ Ad 15: καὶ χώρα περὶ Δαμασκὸν καὶ Σιδῶνα 16 *δανά* (ο 321)· ξηρά, καύσιμα *ξύλα* (non Callim. fr. CCLXXXIX) 17 *δαινά*· ἢ δή, ὡς δή ⟨v. δ' ἄρα⟩ 18 *Δαναοί*· οἱ Ἕλληνες (Α 42) 29 *Δανιήλ*· κρίσις Θεοῦ. ἑρμηνεύεται δὲ ἡ *δὰν* κρίσις 30 *δανιεῖν* (Sirac. XX 15)· κακουργεῖν ⟨v. 152⟩· οἱ δὲ δανίζειν ⟨—σειν⟩ 31 *δανίζει* (Proverb. XIX 17)· μεταδίδει τοῖς ἐνδεέσι. κιχρᾷ 33 *δάνοη*· ξηρῷ 34 *δάντα* (Χ 209)· ζυγά ⟨l. τάλαντα⟩ 35 *δάνυντο* (δ 15)· εὐωχοῦντο 40 *δάοχος*· μοιχός ⟨v. 157⟩ 43 *δάρπακες*· θαυμάλωπες ⟨*δαύακες*· θυ—⟩

δαπέδοις· οἴκοις. ἐρειπίοις
δάπεδον· ἔδαφος (Homer.), γῆ [ad 47]
δάπης· τάπης [49]
δάπιδες (Comici)· ποικίλα ὑφάσματα. τάπητες
δάπτης· δεινὸς (ἐσθίειν) [52]
δάπτομαι (Aesch. Prom. 437)· διασπαράσσομαι. κατεσθίομαι. τρύχομαι
δάπτων· κατεσθίων [55]
†δ' ἄρα· ὡς δή. Εὐριπίδης Ἰνοῖ (fr. 427) [57]
δαράτῳ (Thessali)· ἀζύμῳ ⟨e Seleuco⟩
†δάρδα· μέλισσα [60]
†δαρδαίνει· μολύνει ⟨v. ἄρδα⟩ [62]
δαρδάπτειν· λάβρως ἐσθίειν. σπαράσσειν
δαρδάπτουσιν· ἐσθίουσι (Λ 479)· σπαράττουσι, μετὰ σπαραγμοῦ κατεσθίουσιν· κυρίως μὲν ἐπὶ θηρίου, λέγει δὲ Ὅμηρος καὶ ἐπ' ἀνθρώπων·
χρήματα δαρδάπτουσι (π 315 ξ 92)
διασπῶντες ἀναλίσκουσι [65]
Δαρεῖος· ὑπὸ Περσῶν ὁ φρόνιμος, ὑπὸ δὲ Φρυγῶν Ἕκτωρ· καὶ ἀστραγάλων δέ τις βόλος οὕτως λαλεῖται
δαρεικοί· οἱ χρυσοῖ στατῆρες· ἐκλήθησαν δέ, ὥς τινές φασιν ἀπὸ Δαρείου τοῦ τῶν Περσῶν βασιλέως
δάρειρ (Lacones)· τὸ ἀπὸ τοῦ μεγάλου δακτύλου ἐπὶ τὸν μικρὸν διάστημα (זֶרֶת)
δάριν· σπιθαμήν. Ἀρκάδες ⟨v. δαῖμα⟩
δάρκες· δέσμαι
δαρόν· μακρὸν χρόνον (Soph. Ai. 414. 15), • καὶ ἐπιπολύ. καὶ †ἑορτήν. καὶ ἄρτον τινὲς τὸν ἄζυμον (Nicand. fr. 134)
†δάροσος· τὸ βουτύπιον ⟨δ' ἄροσις ι 134?⟩
δάρπη· σαργάνη. κόφινος
Δάρρων· Μακεδονικὸς δαίμων, ᾧ ὑπὲρ τῶν νοσούντων εὔχονται
δάρτινον· πέπλον λινοῦν
δάρυλλος· ἡ δρῦς ὑπὸ Μακεδόνων

δαρχμάς (Arcades)· δραχμάς
δάς· ἐπὶ τοῦ πολλοῦ καὶ μεγάλου [ad 78] [79—82]
δάσεος· πυκνώσεως
δασθῆναι· διαιρεθῆναι, μερισθῆναι [85]
δάσκιον (ε 470)· μεγάλως σκιάζο†ν διὰ τὸ σύνδενδρον καὶ δασύ
δασκόν· δασύ ⟨δάσκοιον?⟩
δάσματα· διαμερίσματα
δάσμευσις (Xen. An. VII 1, 37)· διαίρεσις
δασμολογεῖ· ἐπιμερίζει
δασμολόγοι· φορολόγοι. μερισταί
δασμολογοῦσι· φορολογοῦσι
δασμόν· μερισμόν. τέλος
δασμός· φόρος. μερισμός (Λ 166)
δασμούς (Xen. An. I 1, 8)· μερισμούς. φόρους
δασμοφόροι· μερισταί
δάσονται· βρώσονται. μεριοῦνται (Χ 354)
δάσος· σύνδενδρος τόπος, ὑλώδης, δασύτης
δασπέταλον· πολύφυλλον
δάσπλη ⟨δασπλής?⟩· μεγάλων κακῶν ἀναπιμπλαμένη. πολλοῖς πλησιάζουσα. οἱ δὲ ἄπληστος, τιμωρητική, καὶ χαλεπή. ἐπὶ τῆς Ἐριννύος
δάσπλητα (Simonid. fr. 38)· πολυμισῆ. καὶ τολμηρόν
δασπλῆτις (ο 234)· δυσχερὴς τοῖς προσπελάζουσι. δυσπέλαστος. πολλοὺς μισοῦσα, ἡ μετιοῦσα. τολμηρά, θρασεῖα
δάσσα· λάχανα ⟨v. δαῦτα⟩
δασσάσκετο· διενείματο (Ι 333). ἔτρωγεν, ἔφαγε ⟨v. 281⟩
δασύ· τραχὺ (ξ 51). πυκνόν, συνεχές
δασύς· †παράγωγος
δασύπους (Cratin. fr. CVIII. Aristot. HA. VIII 27, 4)· λαγωός
δατέεσθαι· μερίζεσθαι
δατεῖται· νέμει διαιρέσει
δατέν (Delphi)· ζητεῖν
†δατευβάλε [312]

COD. 46 δαδέδοις 56 Cf. 217 58 δάραι, Θυμῷ ⟨v. 271⟩ 64 ταραγμοῦ — ἄλλων 66 ὑπὲρ Π. ⟨Δαρειάν?⟩ 68 ἐπὶ 70 δάρητες ⟨73 V. δράστην et τάρπη⟩ 75 λινόν ⟨δράστιν?⟩ 83 δασέως 96. 97 = 97. 96 301 δασπλῆτα· πολυμιγῆ 8. 9 = 9. 8 ⟨διαιρήσει⟩ ⟨11 δάτευ· λάβε Hemsterh. ΔΑΞΕΥ (Theocr. XV 21)⟩

HES. Ad 47: δριματόψυχος ⟨v. δρίμαι⟩. ἢ οἶκος, ἐρείπιοις 49 δάπτειν (Ψ 183?)· ἐσθίειν 52 δάπτουσιν (Π 159)· ἐσθίουσιν 55 δ' ἄρ· δή 57 Δαρδανίη (Υ 216)· χώρα 60 Δάρδανος ἀνήρ (Β 701)· ὁ πατὴρ τοῦ Δαρδάνου 62 Δαρδάνιαι πύλαι (Ε 789)· αἱ τῆς Ἰλίου, ἤτοι ἀπὸ Δαρδάνου κληθεῖσαι, (ἢ) διότι ἐπὶ τὴν Δαρδανίαν χώραν ἔφερον. τὰς δὲ αὐτὰς καὶ Σκαιὰς Ὅμηρος καλεῖ ⟨v. schol. l. l.⟩ 65 δαρδῶσαι. ῥίψαι ⟨ῥῆξαι?⟩ σπαράξαι. ταράξαι ⟨19. 57⟩ Ad 78: ἢ λαμπάδας. ἢ λαμπάς 79 δάσσαντο (Λ 368)· ἐμερίσαντο 80 δάσσασθαι (υ 216)· μερίσασθαι 81 δασσάμενοι (γ 66 al.)· μισθωσάμενοι (?) 82 δασάσκετο (Ι 333)· ἐμερίζετο 85 δασκάζει· ὑποφεύγει 312 δατεῦντο· ἐπορνεύοτο· κοσὶ δατεῦντο (Ψ 121)

δάτησις· διαίρεσις, μερισμός ⟨v. 67⟩
Δᾶτις (Ar. Pac. 289)· στρατηγὸς Περσῶν
Δάτος .....· ὁ τρυγητός, ἡ πόλεως ὄνομα, ἐπὶ λίαν εὐδαιμόνων
δατούμενοι· μεριζόμενοι
Δατύλλου ἡμέρα (Alcae. fr. 41)
δατύσσειν· λαφύσσειν. ἐσθίειν
δατῶναι· ζειαί ⟨דגן?⟩
δαύακες· θυμάλωπες ⟨243⟩
δαύειν (Sapph. fr. 82)· κοιμᾶσθαι
†δαυάς· μέλαινα. καὶ πονηρά
(δαυθμόν· ἐμπρησμόν; cf. 43)
δαῦκος· ὁ θρασύς. καὶ βοτάνη τις Κρητική ⟨schol. Nic. Th. 94⟩
Δαυλίανκορώνην (Aristoph. fr. CLVI)· ἀντὶ τοῦ ἀηδόνα. οὕτως δὲ ἀηδὼν ἐλέχθη (ἐπὶ ... Πανδίονός φησι)
Δαυλίς· ἑορτὴ ἐν Ἄργει, μίμημα τῆς Προίτου πρὸς Ἀκρίσιον μάχης [27]
δαῦλον· δασύ: ἡμίφλεκτον ξύλον ⟨δαυλόν⟩
δαῦσαι· ἐκκαῦσαι
δαῦτα· λάχανα. οἱ δὲ χλωραί ⟨303⟩
δαυχμόν· εὔκαυστον ξύλον δάφνης [32]
Δαφνίτης· Ἀπόλλων παρὰ Συρακουσίοις ⟨Σύροις?⟩ [34. 35]
δαφνοπώλην· τὸν Ἀπόλλωνα λέγουσιν, ὡς Ἀριστοφάνης (fr. CLIV)
δάψαι (Apoll. lex. 56, 4 e N 831)· σπαράξαι, καταφαγεῖν μετὰ σπαραγμοῦ. τὸ δὲ αὐτὸ καὶ δαρδάψαι. καὶ διακόψαι. καὶ ῥῆξαι
δαψιλέστατος· πολυ(τελέστατος). λέγεται δὲ καὶ ἐπὶ ῥευμάτων, καὶ μεγαλοψυχούντων
δαψιλή (Democritus?)· πολλή
δαψιλῶς· ἀφθόνως

δαῶμεν (B 299)· μάθωμεν
δέα· †δέα ὑπὸ τυρηνῷ. καὶ δείματα, φόβοι
δέαται· †φθείνεται, δοκεῖ (ζ 242?)
δεάμην· ἐδοκίμαζον. ἐδόξαζον
δέατος· δέους. Σοφοκλῆς Κηδαλίωνι (fr. 304) [46]
†δεγμόν· ὁδόν
†δεγμών· χρόνος ⟨v. δεμών⟩
δέδαεν· ἐδίδαξεν (ζ 233). ἐπίσταται [post 49] [50. 51]
†δέδαλοι· προμαχῶνες (E 681?)
†δεδάλας· δεσμάς
δεδάμωται· ἐπιτετήδευται
δέδαον (Callim. fr. CCCV)· ἔδειξαν. ἐδίδαξαν
δεδάρδαφε· καταβίβρωκε [57. 58]
δεδαυμένον (Callim. epigr. LIII 3)· περιπεφλεγμένον ⟨cf. 8⟩ [60—62]
δεδέηται (Proverb. XXVI 25?)· ἐν χρείᾳ καὶ ἐν ἐνδείᾳ γεγένηται [64—65]
† δεδειαί· δειλίαι (Aesch. Prom. 580?) [67—71]
δεδεκώς· δήσας [73]
δεδέξομαι (E 238)· δέξομαι
δεδήει (B 93)· ἐφλέγη [76. 77]
δεδῆσθε· δεδεμένοι εἴητε [79]
δεδήιωται· πεπόρθηται
δεδηνῶσθαι· ἐνεχυράσασθαι, ἐνδήσασθαι ἐνεχύροις (Ταραντῖνοι)
(δεδήχασι· κατέδακον. ἐλύπησαν)
δεδηχμένος· βεβλημένος [84—86]
†δεδείκελον· ἀεὶ φοβούμενον, δειλόν
δεδίνηται· εἴληται [89]
δεδίσκετο· δίδωσιν. ἐκφοβεῖν ⟨ἐφόβει ? Ar. Lys. 564⟩

COD. (13 Poll. VIII 136) 14 δάτις 15 ὄνομα ὑπὸ Λακεδαιμονίων ⟨v. Zenob. III 11⟩ Post 17 legebantur ἐπὶ Πανδίονός φησι δατύς, κτλ. ⟨v. 325 et 8b⟩ 22 Gl. α 994. 1024 26 δαῦλις 28 δαυλόν 31 ἔνκαυστον 38 πολύ 41 δάμωμεν 43 Cf. δ' οἱ δέατο 45 κιδαλίῳ ⟨47 Cf. δέμει δέρμη δεσμή ἑρμή ἐρίμη⟩ Post 70] 82 72 δείσας 75 δεδίη ⟨v. ἐδεδήει⟩ 78 δεδῆσθαι 80 δεδίωται 83 δεδη| — Ταραντῖνοι

HES. 27 Δαῦλις (B 520)· πόλις 32 δαῦγος· δασύς (Aeschyl. fr. 26?) 34 δαφοινοί (Λ 474)· λίαν φοίνιοι 35 δαφοινόν (K 23)· μέλαν. δεινόν. ποικίλον. ἐρυθρόν, πυρρόν 46 δέγμενος (B 794)· προσδεχόμενος, προσμένων Post 49: φαίνεται 50 δεδάηκας (θ 146)· ἔμαθες, ἔγνως 51 δεδάηκεν (θ 134)· ἔμαθεν, μεμάθηκεν, ἔγνω 57 δέδασται (Α 125)· διῄρηται, μεμέρισται (O 189) 58 δεδάμασται (Iacob. III 7)· ὑποτέτακται 60 δὲ· δέ ‚τί δέ‘ (cf. 52) 61 δέδεια· φοβοῦ ⟨v. 334⟩ 62 δεδεγμένος· διακεκομμένος (T 319). ἐπιτηρήσας (Δ 107). ἐκδεχόμενος (Λ 124) 64 δεδέημαι (III Regg. VIII 59)· δέομαι. ἐδεήθην 65 (δ)εδέξο(μαι) (E 238)· ἐνεδρεύσω 67 δεδεῖσαι (N 810)· φοβῆσαι ⟨φοβεῖς⟩ 68 δεδέεσθαι (B 190)· εὐλαβεῖσθαι, φοβεῖσθαι 69 δεδειττόμενος (Plat. Phaedr. p. 245 B)· ἐκφοβῶν ⟨Moer. p. 118⟩ 70 δέδειχα (Deuter. IV 5)· ἔδειξα 71 δεδιώς· φοβούμενος (gl. ms. Psalm.) 73 δέδεξο (E 228)· ὑπόμεινον 76 δέδηεν (P 253)· ἐκλάμπειν 77 δεδήσεται (Plat. Xen.)· δεθήσεται ⟨Moeris⟩ 79 δεδήϊ· ἐξεγήγερτο (M 35). διεκέχαυτο 84 δεδήμνατο (Γ 183)· δεδαμνασμένοι. κατασκευασμένοι 85 δεδηακόνικε (Archedic. Ath. 294 C)· διῴκηκε. διεκώνησε ⟨Moeris⟩ 86 δεδιαλμένον ⟨δεδαιδ—⟩· κεκοσμημένον. διατεταγμένον 89 δεδίξασθαι· ἐκφοβῆσαι. [τὰ παιδία ἀπὸ φρέατος εἰς δέος ἄξειν (Y 201. 432). διῶξαι (Σ 164)

δεδίσκηται· ἔρριπται [92]

δέδιχθι· εὐλαβοῦ. φοβοῦ (Nic. Alc. 443)

†**δεδμάων**· κριὸς ἡγεμών

δεδμήαται· κρατοῦνται

δεδμήατο (Γ 183)· ὑποτεταγμένοι †εἰσί [97. 98]

δεδμῆσθαι· κρατεῖσθαι. οἰκοδομεῖσθαι. ὑποτετάχθαι [400]

δεδοκημένος (Ο 730)· ἐπιτηρῶν

δεδόκητο· ἐπεθύμει. προσεδόκα. ἐσκοπεῖτο

δέδοκται (Tragici)· ἐφάνη. ἐψήφισται. διέγνωσται [404]

δεδορκότες· ὁρῶντες, ἰδόντες [6]

δέδουπε· τέθνηκεν, ὡς ἐπὶ τὸ πλεῖστον ἐν πολέμῳ [8. 9]

δέδρακας· ἐποίησας [11]

δεδυημένη· κεκακωμένη [13]

δέει (Alexid. vol. III p. 429)· φόβῳ. χρείαν (ἔχεις)

δέει (Eubulid. vol III p. 559)· χρῄζεις

δέειν· χρείαν ἔχειν

δέεις· ἀπέχεις [18]

δέελος· δεσμός. ἅμμα

†**δεήλαδες**· φύλακες

δέημα (Ar. Ach. 1059)· ἐρώτημα, ἀπὸ τοῦ δεῖσθαι [21]

δέησις· παράκλησις. ἢ χρεία

δεθέντα (cf. Xen. Hell. I 7, 2)· δεσμευθέντα

δεῖ· πρέπει. χρή (I 337). χρεία ἐστίν. δεσμεύει

δεία· ἔνδεια ⟨cf. δύη⟩

†**δείασθεν**· ἐδόκουν (h. e. δέασθεν)

Δεῖγμα (Demosth. 1214, 18. Xen. Hell. V 1, 18)· τόπος ἐν Ἀθήναις οὕτως καλούμενος [28]

δειδεγμένοι· δεξιούμενοι

δείδεκτο (I 224)· ἐδεξιοῦτο. διὰ φιλίας ἠσπάζετο καὶ λόγων

δειδέχαται (Callimach. fr. XXXII)· ἠσπασται. διαδέχεται

δειδήμονες (Γ 56)· φοβεροί. αἰσχυντηροί. εὐλαβεῖς. δειλοί [34—40]

δειελιήσας (ρ 599)· τὴν δειλινὴν ὥραν διατρίψας. ἢ τὸ δειλινὸν ἔμβρωμα λαβών. οἷον δειπνήσας

δειελιῆσαι· πληρωθῆναι τοῦ δειλινοῦ [43]

†**δείεμα**· βρῶμα (Callim. fr. CXC) [45. 46]

δεικανᾶσθαι (Apoll. 57, 21)· δεξιοῦσθαι [48]

δείκελον (Parthenius p. 284 M.)· φάσμα. ὁμοίωμα

δεικές· λαμπρόν. περιφανές. καὶ (**δείκανα**) τὰ ποικίλα ὑφάσματα καὶ μορφὰς ἔχοντα· καὶ γὰρ τὰ πρόσωπα (**δείκανα** καὶ **δείκηλα**) [51]

δείκηλα· εἰκόνες, ὁμοιώματα. ἢ κατ' εἶδος ὅμοια τοῖς πράγμασι (Herod. II 171). καὶ προσωπεῖα

δεικηλικταί· μιμηταὶ παρὰ Λάκωσι ⟨v. δικ—⟩ [54]

δεικνύμενος (I 196)· δεξιούμενος

δεικνῦσι· [ad 56] σημαίνουσιν. δεξιοῦνται [57]

δείλαιον· μάταιον, ἀχρεῖον ⟨v. 724⟩. δειλόν, ἄναλκες

COD. 93 δέδιθι 94 κρατεῖν 403 ἐψηφίσατο διέγνωστο 12 δεδυκμένη, κεκωμένη 14 χρεία 27 δίασθεν ⟨a δίαμαι Cretice = δέαμαι⟩ 39 δεδ| ⟨29. 31 Cf. Ath. I p. 14 A⟩ 41 ἔκρωμα 50 φόρβας ⟨v. 723, ἐνδευκές, πολυδευκέα⟩ 52 δείκελα (Mullach Democrit. p. 421) 53 δεικελισταί 55 διαξιούμενοι

HES. 92 δεδίσσεσθαι (B 190)· εὐλαβεῖσθαι. φοβεῖσθαι 97 δεδμημένοι· δεδοκιμασμένοι. δεδαμασμένοι (Ω 678). ᾠκοδομημένοι (Z 245) 98 δεδμήμεσθα (E 878)· δεδυημένοι ἐσμέν 400 δέδοικεν (Φ 198)· ἐφοβήθη 4 δέδορκε (X 95)· βλέπει 6 δεδορκώς (τ 446)· βλέπων, ὁρῶν 8 δεδουπότος (Ψ 679)· τεθνηκότος. πεπτωκότος 9 δεδρίομεν· ῥέξομεν 11 δεδροικώς· δοικώς 13 δέδυκεν (E 811)· ὑπεισῆλθε 18 δέελον (Aristarch. K 466)· δῆλον, φανερόν ⟨v. δάελον⟩ 21 δέημος· νόμος. ἢ δεσμός ⟨650. 705⟩ 28 δεδέχαντο (I 670)· ἐδεξιοῦντο, ἐφιλοφρονοῦντο (Δ 4) 34 δείδια· [φοβοῦ, δειλαίνου (Deuter. XXXI 8) ad δειλία] δέδοικα. φοβοῦμαι (K 93) 35 δειδίξεσθαι (Y 201)· φοβήσειεν ⟨v. 389⟩ 36 δείδιθι (E 827)· εὐλαβοῦ. φοβοῦ ⟨v. δείληθι⟩ 37 δειδίσσεσθαι (B 190)· εὐλαβεῖσθαι, φοβεῖσθαι. φεύγειν 38 δέδοικα (Λ 555)· φοβοῦμαι 39 δείδω (K 39)· φοβοῦμαι 40 δειδισύετο (υ 197)· ἐδεξιοῦτο 43 δείελος ὀψὲ δύων (Φ 232)· ὁ ἑσπέριος ἀστήρ. ἐπὶ τοῦ ὑστερεῖν καὶ δεῖσθαι αὐτὸν τοῦ ἡλίου ἀπολειπόμενον ἐν τῇ δύσει. οὕτω γὰρ καὶ ἡ ἑσπέρα δειλινὴ καὶ δείλη ὠνόμασται 45 δειήλαιοι· μάταιοι. ἄθλιοι 46 δεηβών (Iesai. XV 2)· ῥύσις ἑρμηνεύεται. ἔστι δὲ τόπος, ἔνθα ἵδρυται ἱερὸν Μωαβιτῶν (דִּיבֹן) 48 δεικεῖν· ἀφεῖναι. ῥῖψαι ⟨v. δικεῖν⟩ 51 δικανόωντο (O 86)· ἐδεξιοῦντο 54 δείκηλα· τὰ ὁμοιώματα Ad 56: δεικνύουσιν ⟨Moeris⟩ 57 δεικνύμενος· φωνῇ ἀσπαζόμενος. ἢ δωρούμενος. καὶ ἐπιδεικνύμενος. καὶ δεξιούμενος

δειλάκρα (Ar. Plut. 973)· δειλαία

δειλακρίων (Ar. Pac. 192)· ἐλεεινός, ταλαίπωρος

† δειλανθείς· κλεφθείς. ἀπατηθείς ⟨δελεασθείς?⟩

† δειλάσαι· δειλιάσαι [63. 64]

δειλήμονες (Apoll. lex. 57, 24)· εἰδήμονες. εὐλαβεῖς. ἢ δειλοί, καὶ ἄτολμοι

δείλη ὀψία· περὶ δύσιν ἡλίου

δειλίην· δειλότητα [68]

δειλοκοπήσας (Hermipp. fr. inc. X)· ἐξαπατήσας. ἐκφοβήσας

δειλός (ε 299)· δείλαιος

δειλόν· πονηρόν ⟨v. 724⟩ ἀναλκῆ. τὸν ἀσθενῆ. κακόν [72]

δεῖμα· δέος, φόβος (E 682?), φόβητρον

δεῖμαι· οἰκοδομῆσαι

† δειμαλέτα· τὰ λεπτὰ τῶν βοσκημάτων. οἱ δὲ Λάκωνες νεκρά

δειμαλέον· φοβερόν

δειμαίνει (Plat. Civ. I p. 330)· ἐκφοβεῖται

δειμαίνων (Herod. III 72)· φοβούμενος [79]

δειμάμενοι· οἱ [οἰκοδομοῦντες, ἢ] οἰκοδομήσαντες [81]

† δειμᾶσθαι· φοβεῖσθαι [83]

δειματοῦται· φοβερὰ λέγει, ἢ ἀκούει. ἢ φοβεῖται

δειματούτω· φοβείτω, ταραττέτω [86]

δειματώδει· φοβερῷ ⟨v. 513⟩ [88]

δειμάτων (Thuc. II 102, 5)· φόβων [90]

δεῖν· δεσμεύειν. καὶ δέον (Attici) [ ]. εὑρίσκειν (Alcae. fr. 103). καὶ στρέφειν ⟨στέφειν?⟩. Κύπριοι

δεῖν· χρή. ἀναγκαῖον. πρέπον, ἢ προσῆκον

δεινά· καταπληκτικά, φοβερά

δεῖναι (Eur. Alc. 245)· αἱ τῶν ὑδάτων συστροφαί

δείναις (Aesch. Prom. 1052)· συστροφαῖς

δείνας· [κινήσεις] τὰ κοιλώματα τῶν ὑδάτων (Eur. Or. 1310)

δεινεύει· κυκλεύει

δεινεύειν· βουλεύεσθαι κακά

δείνη· συστροφή [500]

δεινήεντα· περιστρεφόμενα [Post 501]

δείνησιν· κίνησιν. συστροφήν

Δεινιάδες· ὑποδημάτων εἶδος ἀνδρείων

δεινοί· σπουδαῖοι περὶ τὸ πρᾶγμα

δείνοις· κινήσεσι

δεινοπαθεῖ· δεινῶς ἔχει. χαλεπῶς ἔχει, ἢ καὶ πάσχει χαλεπῶς

δεῖνος· δίνησις [ad 7]. καὶ εἶδος ἐκπόματος (Dionys. com. fr. I p. 554). καὶ ὄρχησις (Apolloph. fr. I p. 859). ἢ δέους ἄξιος ⟨δεινός⟩

δεινός· κακός. φοβερός. † ἐστραμμένος. δυνατός. πανοῦργος. ἱκανός (Eur. Hec. 967). ἀκολάκευτος. (σκότωσις [Hippocr. III p. 366]. δεινότης)

δεινότατος· πάνυ φρόνιμος [10. 11]

δεῖν ᾠήθην· ἀναγκαῖον ἐλογισάμην, δέον εἶναι ὑπέλαβον

δεινωποί (Hesiod. scut. 250)· δειματώδεις. φοβεροί

δεινῶς· πάνυ

δείνωσιν (Hippocr. ?)· δύναμιν. δεινότητα. συστροφήν

δεινωτήν· πεποικιλμένην ἐν κύκλῳ, ἢ τετορνευμένην, ἢ τὴν ἱμᾶσι διειλημμένην. χρῆται γὰρ Ὅμηρος (τ 56 N 407). ἐπὶ τῆς κοίτης τῇ λέξει

δεινωτοῖς (Γ 391?)· κυκλοτερέσι [18]

† δειομένη· δεισομένη

Δειπάτυρος· θεὸς παρὰ Τυμφαίοις

δειπνήεντα· δειπνοφόρα. εὖ δυνάμενα φέρβειν ἡμᾶς

δειπνηστύν· τὴν τοῦ δείπνου ὥραν

COD. 60 δειλακρήων 61 κλεοθείς 66 δειλή, ὀψία π (ε supra π) (spuria? v. Moer. Att.) ⟨75 λιμαλέα?⟩ ⟨82 δειματοῦσθαι an δειλιάσαι?⟩ 503 δεινηάδες (ξ sub ς) (Poll. VII 89) 7 δείνησις Post 14] σκότωσις. δεινότης; cf. 508 16 δεινοτήν — τῆλε 17 |έσι πεποικιλμένην 20 στυμφαίοις 21 οὐ — φέρειν

HES. 63 δειλιῶν· φοβούμενος ⟨ἀποδειλιῶν⟩ 64 δείληθι (E 827)· φοβοῦ 68 δείλη πρωΐα (Philem. fr. CXVI)· ἡ ⟨ἢ cod.⟩ μετ' ἄριστον ὥρα ⟨Moer.⟩ 72 δειλώ (E 574)· δειλαίους, ἀθλίους. δυϊκῶς 79 δειμαλέος· ὁ εὐλαβής ⟨v. ὁ δειμαλέος⟩ 81 δείμασι (Eur. Hec. 70)· φόβοις 83 δείματα (Sapient. XVII 8)· φοβήματα 86 δειματουμένη (Eur. Andr. 42)· φοβουμένη, εὐλαβουμένη 88 Δεῖμος· Φόβος (Δ 440) 90 δείμομεν (H 337)· οἰκοδομήσωμεν Ad 91: [δίησιν καὶ τὸ πνεῖν ⟨ad ΔΕΙΝ⟩. φέρειν 500 δεινὰ δέ (Eur. El. 957 E 439)· φοβερὰ δέ Post 501: φοβερά. δεῖνος· τὸ περιστρεφόμενον Ad 7: εἶδος δέους ⟨δεῖμος⟩. φοβερά (O 626) 10 δεινοῦσι (K 254)· φοβεροῦσι (an ε 52?) 11 δεινώδεοι (Λ 200)· δεινῶς δὲ αὐτῷ 18 δεῖξαι· δηλῶσαι, φανερῶσαι ⟨ex onomastico, cf. δηλῶσαι⟩

δειπνολογία· οἱ περὶ δείπνου λόγοι

δεῖπνον· τὸ καθ' ἡμᾶς ἄριστον. ἢ τροφὴν ἑσπερινήν [25]

δειπνοφόροι· παρὰ Ἀθηναίοις καθίστανται ἐν τῇ τῶν ὀσχοφορίων ἑορτῇ αἱ δειπνοφόροι

† δεῖρα, δείμοιρα. τράχημος. διαίρεσις

δειράδας (Soph. Ant. 832)· ἐξοχάς, κορυφάς ⟨669⟩ (ἢ τὰς νάπας. ἢ τὰς φάραγγας)

δειράζειν· κλέπτειν ⟨λέπειν?⟩

δειράδες· αὐχένες καὶ τραχηλοειδεῖς τῶν ὀρῶν. καὶ ἐξέχοντα μέρη

δειράρ (Lacones)· κορυφή [32]

δείρειν· ἐκδείρειν

δειρή· τράχηλος, αὐχήν ⟨668⟩ [35]

δειριᾶν· λοιδυρεῖσθαι. Λάκωνες

δειρεῖοι· λοίδοροι. οἱ αὐτοί ⟨670⟩

† δειρός· λόφος. καὶ ἀνάντης τόπος [39]

δεῖσαι· εὐλαβηθῆναι, φοβηθῆναι. δέος γὰρ ὁ φόβος

† δεισιλός· δειλός

δεισιάδα· τὴν μοῖραν. οἱ δὲ διμοιρίαν

δεισιδαίμων (Xen. Cyr. III 3, 26. 58) [ad 43]· ὁ εὐσεβὴς καὶ δειλὸς περὶ θεούς [44]

δεῖται· δέεται, χρήζει

δειφήσαντες· ψηλαφήσαντες [47]

[48] δίκην τοῦ προσήκοντος [49]

δεκάβοιον· ἀριθμὸς ποσός. καὶ σταθμὸς ποσός, ἐφ' ᾧ τετύπωτο βοῦς. ἔνιοι δὲ Δηλίων τὸν βοῦν νόμισμα εἶναί φασι (Poll. IX 61)

δεκαδάρχαι (Xen. Cyr. VIII 1, 14)· οἱ τῶν δεκάδων ἡγεμόνες. οὓς καὶ δωδεκάρχους ἔλεγον. ἦσαν γὰρ σὺν τοῖν δεκάρχοιν δώδεκα

δεκάδαρχος· οἱ μὲν ἀπὸ τοῦ δεκαδαρχεῖν. οἱ δὲ ἀπὸ τοῦ δεκάζειν, ὅπερ ἐστὶ τοὺς δικαστὰς πείθειν δώροις. ἦν δὲ καὶ ὄνομα. καὶ ὁ τελώνης

δεκάδες· οἱ ἐκ τῆς τάξεως τῶν δέκα στρατιωτῶν συνεστῶτες

δεκάδρομοι· οἱ δέκα † ἐν τοῖς ἀνδράσι ἐσχηκότες, ὑπὸ Κρητῶν

δεκάζειν· διαφθείρειν, χρήματα ἢ δῶρα ..... (ἔλεγον δὲ οὕτω καὶ τὸ κατὰ δέκα διαφθείρειν τὸν δικαστήν, ἢ τοὺς κριτάς· καὶ ἁπλῶς τὸ διαφθείρειν δικαστήν)

δεκάζεσθαι· δωροδοκεῖσθαι

δεκάζων· ὁ εἰς † δέκατον ἀριθμὸν ἥκων

† δεκανᾶται· ἀσπάζεται ⟨δεικ—?⟩

δεκάπουν (τὸ) στοιχεῖον (Ar. Eccl. 652)· οἱ ἐπὶ δεῖπνον κληθέντες τὰς ὥρας οὕτως ἐξελάμβανον, πρὸς τὴν σκιὰν ἀναμετροῦντες

δεκασθείς· δωροδοκηθείς [ad 60]

δεκάτα· τάξις. ἄθροισμα. καὶ ἡ τῶν κ' † ἁρμάτων τάξις

δεκατεύειν· τελωνεῖν, δεκάτην εἰσπράττεσθαι. ἔλεγον δὲ καὶ τὸ ἀρκτεύειν δεκατεύειν, ἐπεὶ ἔπρασσον αὐτὸ αἱ παρθένοι περὶ τὸν δεκαετῆ χρόνον οὖσαι

δεκατευταί (Antipho Harp.)· τελῶναι, οἱ τὴν δεκάτην ἐκλέγοντες. ὡς τὸ δεκατεύειν δεκάζειν

δεκάτη· τὸ δέκατον μέρος τῆς οὐσίας

δεκατηλόγοι (Demosth. 679, 26)· τελῶναι

δεκάτην θύομεν (Ar. Av. 922 Eubul. III p. 203)· τῇ δεκάτῃ ἡμέρᾳ τὰ ὀνόματα τοῖς βρέφεσιν ἐτίθεσαν. ὁ δὲ Ἀριστοτέλης τῇ ἑβδόμῃ φησί

δεκάτη προτέρα· ἡ πρὸ εἰκάδος· ὡς ὑστέρα· ἡ μετ' εἰκάδα

δέκα τοῦ 'βολοῦ· (ἐπὶ) οὐδενὸς ἀξίου. βέλτιον δὲ εἰς μικρότητα τίθεσθαι αὐτό (Comic. V p. 77) [69]

δεκάφυια (Callim. fr. CLXII)· δεκαπλάσια, δίφυια δὲ διπλάσια

† δεκάχειλε· πρὸς ἀποδοχὴν ἐπιτήδειον [72]

δεκάχοια· δεκαπλαῖ [74]

δεκέτης· δεκαετής

COD. 26 ὠσχοφορίων — οἱ 30 μέρη. ἢ ... φάραγγας ⟨38 δεῖρος (Euphorio fr. XXXIV) an δειράς?⟩ 50 δειλιόντων βοῦν 51 σὺν τῷ δεκάρχῳ ⟨57 Ut πεμπάζειν?⟩ Post ἥκων] ἔλεγον ... δικαστήν 59 δεκαπουνστοίχιονοί 63 δεκάζειν δεκατεύειν 66 δεκάτη, θύομεν 68 δεκάτου, βόλου 69 δεκαδώρων. ο| 70 δεκαφυῖα |σία

HES. 25 δεῖπνον ἕλοντο (B 399)· ἐδείπνησαν 32 δείραντες (Actt. Ap. V 40)· ἐκδείραντες 35 δειρήν (Λ 26)· αὐχένα, τράχηλον 39 δειροτομῆσαι (χ 349)· διατεμεῖν, διατμῆσαι Ad 43: ὁ τὰ εἴδωλα σέβων, εἰδωλολάτρης 44 δεισιδαιμονία (Actt. Ap. XXV 19)· φοβοθεΐα 47 δειφόμενος (Ar. Pac. 290?)· ψηλαφήσας 48 δειφῶν (Π 747)· ζητῶν 49 δεκάδα· τάξιν τινά Ad 60: ἐπιτιμηθείς. ἐντραπείς 69 δεκαδώρῳ ἁμάξῃ (Hesiod. opp. 424)· (ἧς ἡ διάμετρος τῶν τροχῶν δέκα δώρων. Δῶρον δέ, ὡς μέν τινες, ἡ παλαιστή, ὡς δὲ ἕτεροι, ὅταν τοὺς τέσσαρας δακτύλους συστρέψας ἐγείρῃς τὸν ἀντίχειρα, ὡς Πλούταρχος 72 δεκάχειλοι (E 860 Ξ 148)· δεκασχίλιοι 74 δεκέτες (Moer. p. 123)· δεκαετές

δεκτή· χλαῖνα, χλανίς
δεκτῆρες· ὑποδοχεῖς
δέκτης (δ 248)· πτωχός, ἐπαίτης. ἀπὸ τοῦ δέχεσθαι [79. 80]
δέκων· ὁ δεκαζόμενος
δελεάζει· ἐξαπατᾷ [83]
δέλεαρ· ἀπάτη, δόλος
δελεασθείς· ἀπατηθείς ⟨v. 461⟩ [86]
δελεάστραι· παγίδες
δέλετρον· φανός, ὃν οἱ νυκτερεύοντες φαίνουσι (Timachidas)
Δελέφατ· ὁ τῆς Ἀφροδίτης ἀστὴρ ὑπὸ Χαλδαίων
δέλητι· δελέατι ⟨v. 629⟩
δελήτιον (Sophro fr. 20)· (ὡς) λεβήτιον, (τὸ δέλεαρ)
δελία· δάφνη ⟨Δηλία?⟩
†δέλιχρα· τὰ ἡμίχοιρα
δέλλει (Arcades)· βάλλει ⟨v. 995⟩
δέλλιθες· σφῆκες. ἢ ζῷον ὅμοιον μελίσσῃ
δελλίθια· ἀνθρήνια. οἱ δὲ κηρία
Δέλκος· λίμνη ἰχθυοφόρος περὶ τὴν Θρᾴκην
δελφάκιον· χοιρίδιον (Ar. Lys. 1061). οὕτως ἔλεγον καὶ τὸ γυναικεῖον (Ar. Thesm. 237)
δελφακοῦσθαι (cf. Ar. Ach. 786)· τελειοῦσθαι τὰς ὗς
Δελφικὸν τρίποδα· τὸν τοῦ Ἀπόλλωνος ἐν Δελφοῖς
Δελφικὴ μάχαιρα· ἀπὸ κατασκευῆς, (μὴ) λαμβάνουσα ἓν πρὸς ἓν μέρος σιδηροῦν, ὡς Ἀριστοτέλης (polit. I 2)
δελφῖνες (Ar. Eqq. 762)· πολεμιστήριον μηχάνημα ἐν ναυμαχίαις. καὶ ἡ ἔχουσα αὐτὸ δελφινοφόρος ναῦς (Thuc. VII 41, 2)· οἱ δὲ διὰ τὰ κρεμαννύμενα βάρη, δελφίνων σχῆμα ἔχοντα, ἃ ταῖς ληστρικαῖς ναυσὶν ἐμβάλλεται (Pherecr. fr. VI p. 258)
δελφίνιον· εἶδος βοτάνης
Δελφύς· μήτρα. καὶ ὁ ἐν Δελφοῖς δράκων
δελφύων· γαστέρων [6]
†δέμα· σχοινίον ⟨69⟩
δέμας· σῶμα. μορφή. ἰδέα. τρόπος
δέμας πυρὸς αἰθομένοιο (Ν 673)· τρόπον πυρὸς καιομένου
δέμει· οἰκοδομεῖ
†δέμει· ὁδός (cf. Herod. II 124)
†δεμβλεῖς· βδέλλαι (Philol. XIV p. 204)
δέμνια (δ 301 al)· στρώματα. κοῖται
δεμνίοις (Soph. Tr. 915)· κοίταις. στρωμναῖς
δεμνιοτήρην (Aesch. Ag. 1449)· ἔγκοιτον. τὰ δέμνια τηροῦντα
δεμνιοτήρη πόνον· Αἰσχύλος Ἀγαμέμνονι (53). καθόσον οἱ νεοσσοὶ ἔτι τοιοῦτοί εἰσιν, ὡς τὰ δέμνια τηρεῖν καὶ κατέχειν, μηδέπω πέτεσθαι δυνάμενοι· πόνον δὲ τὰ περὶ τὴν τροφὴν αὐτῶν
†δεμών· χρόνος ⟨v. 348⟩ [18]
δενδαλίδας (Com. II 2 p. 852)· οἱ μὲν ἄνθος τι, ἄλλοι τὰς λευκὰς κάχρυς, οἱ δὲ τὰς ἐπτισμένας κριθὰς πρὸ τοῦ φρυγῆναι (Eratosth. fr. VIII p. 140), οἱ δὲ τὰς ἐκ κριθῶν μάζας γενομένας ⟨v. δανδ—⟩
δενδίλλει· σκαρδαμύττει. διανεύει. σιλλαίνει. ἀτιμάζει. σκώπτει (ex onomastico?)
δενδίλλων (Ι 180)· τοῖς ὀφθαλμοῖς διανεύων
δενδρῖτις· γῆ τις πετρώδης εὔθρυπτος παρὰ Λάκωσιν
δενέμωρ· κροκόδειλος
δενδρυάζειν· ταπεινῶς ὑπὸ τὰς δρῦς παραφεύγειν. προστρέχειν σκέπῃ
Δένθις (Alcm. fr. 115)· οἶνος. Λάκωνες
(δεννάζων (Soph. Ai. 243)· λοιδορῶν)
(δενναστόν· καταγέλαστον. λοιδορούμενον μετὰ καταγέλωτος)
δεννόν· κακολόγον [29]
δεξαμεναί (Herod. III 9)· ὑδάτων δοχεῖα. καὶ ἐν τῷ σώματι φλέβες, Δημοκρίτου (p. 421 Mull.) καὶ ἐπισκίαι
δέξασθαι· λαβεῖν παρὰ τῷ ποιητῇ (Α 112)
Δεξιάδην (Π 15)· οἱ μὲν ὄνομα κύριον· οἱ δὲ Δεξιοῦ παῖδα. οἱ δὲ ἐπιρρηματικῶς ἐκ δεξιῶν, δεξιῶς

COD. 76 λόκκη Arcad. 122, 9. Cf. λέκκη et λακτή 77 ἀποδοχεῖς 81 δεκών 87 δέλεστραι, βατίδες 89 Cf. βελέβατος 91 βελήτιον 94 καλεῖ 96 δενθρίνια 600—3 = 603. 600—2 1 ἔμπροσθεν 3 δελφίνιος ⟨—ινιάς?⟩ 10 δεμεῖ 11 Cf. 347. 700 16 πέτασθαι Post 18] 626 19 κάχρυσοι δὲ — ἐπισταμένας 22 δενέμωρ, γῆ Post 22] 627 23 δενδρίτης, κρ. 24 δενδριάζειν 25 δενθείς ⟨26 Cf. ἐδένασεν, ἐλένναζεν, νεννάζει⟩ Post 32 ἐπεὶ ἐκδεξιῶν θεῶν βροτοὶ ἐπὶ δεξιμήλου

HES. 79 δεκτόν (Luc. IV 19)· εὐπρόσδεκτον 80 δεκτός (Luc. IV 24)· ἀρεστός 83 δελεαζόμενος (Iacob. I 14)· παγιδευόμενος 86 δελεδώνη (Aristot. HA. IV 1, 15)· ὁ μυλαῖος ἰχθύς ⟨v. ἐλεδώνη⟩ 606 δέλτος· πινακίδιον. ἢ πλάκες 18 δενδιέω (Γ 152)· τὰ δένδρα 29 †δεντή· δέλεαρ ⟨δέλητι· δελέατι⟩

δεξιάς· συνθήκας [34]

δεξιμήλοις· ἐπηκόοις καὶ ἱλαροῖς θεοῖς· ἀπὸ τοῦ δέχεσθαι τὰ θυόμενα μῆλα· καὶ δεξίμηλον ἐσχάραν, † (ἐπεὶ ἐκδεξιῶν θεῶν βροτοὶ ἐπὶ δεξιμήλου)

δεξιός· συνετός. ἀγαθός, καλός. ἐπιδέξιος. εὔθετος [37]

δεξιότοιχοι· ἐρέται οἱ κατὰ τὸ δεξιὸν μέρος. τίθεται δὲ καὶ ἐπὶ χορευτῶν [39]

δεξίς· τῶν ἐν τῷ ἥπατι μερῶν παρὰ τοῖς θύταις (ἡ) καλουμένη δοχή ⟨v. δοχεών⟩

δεξιώσασθαι· ἐγγυήσασθαι γυναικί

† δεξιόν· εἶδος μέρους

Δεξώ· ὁ Κρατῖνος (II 1 p. 58) ὠνοματοποίησεν. ἀπὸ τοῦ δέχεσθαι δῶρα [44]

δέοιμι (Θ 352)· δεσμεύοιμι

δέομαι· δοκῶ ⟨v. δέαμαι⟩

δεόμενοι· χρήζοντες (Xen. An. VII 1, 6). δεσμοῦντες [48]

δεομένων (Xen. Cyr. II 3, 2)· χρηζόντων

δέον· ἐς δέον ἢ εἰς δέον. οὕτω Περικλέα φασὶ λογιζόμενον εἰς τὸ δέον (Ar. Nubb. 859) προσγράφειν, ὃ σημαίνει εἰς προδοσίαν δεδομένον χρῆμα. πρέπον, ἀναγκαῖον

δέοντα· χρήζοντα. λείποντα. πρέποντα [53. 54]

δεόντως· προσηκόντως

δέος (Macedones)· [ad 56] θεός ⟨v. δέα⟩

δέουσι· δεσμούουσιν. ἀπέχουσι

δέπας (Hom.)· ποτήριον. παρὰ τὸ δέχεσθαι τὸ πόμα [59]

δέρα· ὑπερβολὴ ὄρους. οἱ δὲ τὰ σιμὰ τῶν ὀρῶν

Δέραι· αἱ συνάγκειαι. Λάκωνες

δέραια (Eur. Ion. 1431)· περιτραχήλια. παίγνια. τὸ αὐτὸ καὶ δεραιοί

δέρας· δέρμα προβάτου

δέργμα (Aesch. Pers. 81)· ὀφθαλμός. ὅρασις

δέργματα (Eur. Hec. 1265)· ὄμματα

δεργμάτων (Eur. Phoen. 660)· ὄψεων, ὀμμάτων. καὶ δεργμῶν

δέρεθρον (Arcades)· λίμνη ἀποχώρησιν ἔχουσα

δέρη· τράχηλος. αὐχήν (Xen. Hippocr.)

δέρης (Aesch. Ag. 329)· τραχήλου

δερίαι· λοιδορίαι ⟨536. 37⟩

δερίπιον· φλοιόν ⟨= τέρφος⟩

δέρκειν· βλέπειν, ὁρᾶν

δέρκεσθαι (P 675)· ὁρᾶσθαι

δερκομένου (Ξ 141)· ὁρῶντος

δερκομένῳ· ὁρῶντι, βλέποντι

δερκύλλειν· αἱμοποτεῖν. ἄλλοι δερμύλλειν διὰ τοῦ μ̄

δέρκων· βλέπων, ὁρῶν

δέρμα· πήρα. καὶ δέσμη (Elei ?)

δέρμα (Callim. fr. CCXI)· δορά

† δέρμη· ὁδός ⟨v. 347⟩

δέρμα Δικυκόν (Com. V p. 33)· ὡς κάλλιστον

† δέρμητες· οἱ ἐξ ἐφ' ἡμῶν περισσοί

δερμιστής (Soph. fr. 408)· ὁ σκώληξ, ἢ ὁ σὴς ὁ τὰ δέρματα ἐσθίων. Ἀρίσταρχος ὄφιν

δέρξιος· ὄψεως

δέρος (Nic. Ther. 821)· δέρμα

δερμύλλει· αἱμοποτεῖ. οἱ δὲ † ἐκπαίει [87]

δερριδόγομφοι πύλαι (Com. II 1 p. 418)· δέρρεις ἔχουσαι παραπετάσματα

δέρρις (comici)· δέρμα. βύρσα

δερριστήρ· περιδέραιον ἵππου

δερριστής· κυνάγχης περιαυχένιος [92]

δέρτρα· τύμπανα

δέρτρον· δέρμα. ὑμήν. λαπάρα. ἦτρον. ὑπογάστριον (Hippocr. III p. 560 K). Ἄμεινον δὲ τὸ περιτόναιον ἀκούειν. ἢ ὑμένα, ἐπίπλουν (λ 578)

δεσαύχενες (Aristoph. fr. inc. CCXIII)· ἀσκοί, διὰ τὸ ἐκ τῶν αὐχένων δεδέσθαι ⟨v. μεσ—⟩ [96]

COD. 35 δεξιμήλους — ἐπὶ τοῦ — δεξίμηλοι ἐσχάραι ⟨46 δέαται. δείασθεν. ἰδεάμην. δοάσσατο. δίαλος. δ' οἱ δέατο⟩ 51 δέοντες δέησις δέον 61 συνάσκιαι (cf Paus. IV 15, 4) 64 δέρμα ⟨68 cf. δηρή et ῥεδέρη⟩ 69 δέρις, τράχηλος, em. Cyr. 171 80 ὁδός. καὶ δεσμη? cf 700 82 ἐξ ἡμῶν Phavor. 470 ⟨ἐξήβων? ἐξ ἐφήβων?⟩ 86 Cf. 676; ἐκδέρει EM. 90 δερβιστήρ Siculi ap. EM. 94 τὸ πὲ τὸ νέον

HES. 34 δεξιαί (B 341)· αἱ γινόμεναι κατὰ συνθήκας ἐπαφαὶ τῶν δεξιῶν χειρῶν, εἰς σύμβολον τοῦ βέβαια ἔσεσθαι καὶ † ἣν μετὰ τὰ συντιθέμενα 37 δεξιοῦται· προσάγεται 39 δεξιότερον (E 393 K 373)· δεξιόν 44 δεξιωσάμενος (Xenoph. Cyr VI 3, 12?)· δεξάμενος 48 δεόμενος ⟨δαι—⟩· καιόμενος 50 δεόμενος· νόμος. δεσμός ⟨v. δέημος et δεσμός⟩ 53 δέοντο (Σ 553)· ἐδεσμεύοντο 54 δεόντων (μ 54), δεσμευέτωσαν ⟨v. διδόντων⟩ Ad 56: φόβος. ἢ (Hebr. XII 28 gl. ms.) 59 δεπάεσσι (Θ 162)· ποτηρίοις 87 δέρραις (LXX)· τὸ παχὺ ὕφασμα, ᾧ εἰς παραπέτασμα ἐχρῶντο. ἴσως δὲ καὶ δερματίνοις ἐχρήσαντο [Περὶ τῶν δήλων ⟨αὐλῶν cod.⟩] 92 δέρριον (Zachar. XIII 4)· τρίχινον σακίον 96 δεβρωτέν (T 205)· δεῖπνον

δεσμά· πέδαι [98]

δεσμεῖν ἀμάλας· δεσμεῖν τὰς δεσμὰς τῶν σταχύων

† δεσμή· ὁδός ⟨v. 680⟩

δεσμίης· μάστιγος ἄξιος

δεσμοί (ϑ 296)· ἧλοι

δεσμοὶ Τυρρηνικοί· (ἐπὶ δεσμῶν,) οἷς ἐχρήσαντο Ἀθηναῖοι ⟨v. Τυρρηνοὶ δ.⟩

δεσμόν· σημεῖον παρὰ τοῖς θύταις [ad 704]

(δεσμος [Macedones]· νόμος)

δεσμός· σῶμα. μορφή. ἧλος. † εἶλος

δεσπίνας· γυναῖκας. Θεσσαλοί

δεσπότην κεχαρμένοι· ἔνιοι μὲν ἵππου κουρᾶς εἶδος εἶναί φασιν. ἐκαλεῖτο δὲ ἀπὸ τοῦ κείρειν τοὺς αὐχένας, ἐπειδὰν ὁ δεσπότης τοῦ ἵππου τελευτήσῃ. βέλτιον δὲ δεσπότην πενθοῦντες· ἐπειδὴ καὶ τοὺς ἵππους ἀπέκειρον ἐπὶ τοῖς θανάτοις τῶν δεσποτῶν [9]

† δέτις· παλάνθη

δεταί· λαμπάδες (Λ 553). καὶ αἱ πέδαι. καὶ τὰ δράγματα, παρὰ τὸ συνδεῖν

δέτρον· δέρμα τοῦ ἥπατος (Et. Gud. 389, 27) [ad 12]

Δευάδαι· οἱ Σάιοι ὑπ' Ἰλλυρίων

Δεύας· τοὺς ἀκάκους θεοὺς Μάγοι

δευάσθαι (Arcades?)· γεύσασθαι ⟨v. ζεύσασθαι⟩

δεύειν· μάττειν (Arist. fr. IV p. 1057). τύπτειν [17]

δεύεσθαι· βρέχεσθαι. ἐπιδεῖσθαι (Ν 310) [19]

δευθέντα· βραχέντα

Δευκαλίδαι· οἱ Σάτυροι

δεύκει· φροντίζει

δευκές· λαμπρόν. ὅμοιον ⟨450⟩

δευλόν (Creles)· πονηρόν. ἀχρεῖον ⟨458. 471⟩ [25]

δεύοιντο (Callim. Apoll. 51)· ἐπιδεεῖς γένοιντο

δευόμενα· δεόμενα

δευομένα (Eur. Tro. 273)· δεομένη

δευόμενος· [ ] βρεχόμενος [ad 29]

δεύοντο· ἐδέοντο. ἔχρῃζον [ad 30]

δεῦρο· ἐνθάδε ἐλθέ, εἰς τοῦτον τὸν τόπον [ad 31] [32]

Δεύς (Ar. Acharn. 911)· Ζεύς

δεῦσαι· βρέξαι (Eur. Phoen. 224). βάψαι. μάξαι (Xen. Oec. X 11)

δευσ(ο)ποιόν (Plat. Civ. IV p. 429)· τὸ ἔμμονον, καὶ μὴ ἐκπλυνόμενον βάμμα. οἱ δὲ τὸ γνησίως βεβαμμένον, ἤτοι πορφύρα, ἢ ἄλλο τι (Comici)

δεύσω· βρέξω [37]

δεῦτ' ἄγετε (Π 350)· δεῦτε φέρετε [39]

δεύτερα ἄλφιτα· τὰ δευτερεῖα καὶ εὐτελῆ

δευτεραγωνιστής· δεύτερος ἀγωνιζόμενος

δευτέρα φθίνοντος· † ἀπὸ (α' πρὸ?) τῆς τριακάδος

δευτερίας· Κάλλιπ(π)ος (com. IV p. 561). οἶνος εὐτελής

δευτερίναρ (Lacones)· ὁ μετὰ τὸ ὕδωρ ἐπιχεθῆναι εἰς τὰ στέμφυλα οἶνος

† δευρόλας· ὁ ἐξ ἐφήβων Ἀθηναίων ⟨δεῦρο πᾶς?⟩

δευτερόποτμος· ὁ ὑπό τινων ὑστερόποτμος. οὕτω δὲ ἔλεγον, ὁπόταν τινὶ ὡς τεθνεῶτι τὰ νομιζόμενα ἐγίνετο, καὶ ὕστερον ἀνεφάνη ζῶν. ὁ δὲ Πολέμων (fr. L* p. 93) καὶ ἀπειρῆσθαι τοῖς τοιούτοις εἰσιέναι εἰς τὸ ἱερὸν τῶν Σεμνῶν φησι Θεῶν. ἢ ὁ φημισθεὶς ἐπὶ ξένης τετελευτηκώς, ἔπειτα ἐπανελθών. ἢ ὁ δεύτερον διὰ γυναικείου κόλπου διαδύς· ὡς ἔθος ἦν παρὰ Ἀθηναίοις ἐκ δευτέρου γεννᾶσθαι

δευτέρων ἀμεινόνων (Diogenian. IV 15)· παροιμία ἐπὶ τῶν θυομένων ἐκ δευτέρου, ὅταν αὐτοῖς τὰ πρότερα ἱερὰ μὴ καλὰ ὀφθῇ, καὶ ἐπὶ δεύτερα τραπῶσι λέγοντες ‚δευτέρων ἀμεινόνων.' Μνημονεύει Πλάτων (Legg. IV 723 D)

δέχεσθαι· λαμβάνειν. ἀσπάζεσθαι

COD. 97 πέδαις 99 δέσμειν 701—3 = 2. 3. 1 1 μάστιγας ἄξιος ἐστὶ δεσμῶν 5 Cf. 422. 650 6 εἶδος ⟨v. εἴλεα⟩ 8 χρεμμένοι — βελήντιον (ἐ) 11 δράμματα ⟨v. δαιτή⟩ 12 Cf. 1038. 39 13 σατοὶ π 15 δεύαται 16 μαλάττειν 26 δευοίαντο 28 δευομένη 29 βραχομενος 31 περιδώμεθα; νυνὶ 34 μαλάξαι 43 δευτερεῖα 46 οἱ δὲ πολέμοις — φασὶ

HES. 98 δέσματα (ϑ 278 al.)· ἐπιδέσμια Ad 704: οὐδετέρως Ἀττικοί. καὶ ⟨Moer.⟩ 9 δετρός· μάγειρος Ad 12: ἢ διάπυρον. διαφανές ⟨Hippocr. II p. 475 δίαιτρον⟩ 17 δεύει· μίσγει. βρέχει (Β 471). φύρει. ἐνδεῖ ⟨l. δεύεαι· ἐνδεὴς εἶ (Ψ 484)⟩ 19 δεύεται (ε 53)· βρέχεται 25 δευοίατο (Β 128)· ἐπιδέο(ι)ντο Ad 29: δεύμενος (Χ 492) — χρῄζων Ad 30: ἐβρέχοντο (Ι 570) Ad 31: ἢ ἐπὶ τοῦ παρόντος, ἢ νῦν. ἢ παρακελευστικῶς· δεῦρό νυν, ἢ τρίποδος περιδώμεθα (Ψ 485) 32 δεύρω (Γ 240)· δεῦρο 37 δευσοποιός· βαφεύς ⟨Moer.⟩ 39 δεύτατος (Τ 51)· ὕστατος, ἔσχατος, μεθ' ὃν οὐκ ἔστιν ἕτερος

δέχμα· νόμιμον [50. 51]
δέχομαι· ὁμολογῶ
δεψήσας (μ 48)· μαλάξας [54]
†δῆ· γῆ. καὶ σιωπῇ
†δηατάχα· καὶ φθορὰ δένδρων ⟨v. 893⟩
†δήβοιλοι· κιθαρῳδοί ⟨δήβυδύ Boeotice pro δὴ ἀοιδοί⟩ [58. 59]
†δηγοῖ· πληροῖ
δῆγμα· σπάραγμα ὀδόντων [62]
δήειν· πολεμεῖν. φονεύειν
δήεις (N 260 η 49)· εὑρήσεις. ὄψει. μαθήσῃ [65]
δηθαγόρον· ἐπιπολὺ λέγουσαν
δηθαίωνας· μακραίωνας. μακροβίους
δηθάκι (Nic. Al. 215)· πυκνῶς, πολλάκις [69. 70]
δῆθεν· ὡς δή ἤ φησίν (nempe). ἢ ἐντεῦθεν δῆθεν· ὡς μάλιστα. ὡς δή. ἐξεπίτηδες [72—74]
δηιάλωτοι· αἰχμάλωτοι
δήϊοι (I 76 Σ 208)· πολέμιοι [77]
δηιοτής· πολεμικὴ διάθεσις (Apoll. lex. 58, 6). μάχη παρὰ τὸ δήϊον
δηιοτῆτας· μάχας [80. 81]
δηιοῦσι· πολεμοῦσιν [83—86]
δηλαδή· φανερόν ἐστιν. ἢ δηλονότι
δ' ἠλαίνουσι· παίζουσι
δηλεομένη· βλαπτομένη [90. 91]
δηλαυγῶς (Democritus?)· ἄγαν φανερῶς ⟨cf. ἐμφανῶν⟩
δήλεσθαι (Dores)· θέλειν, βούλεσθαι
δήλη· βούλη [95]
†δηληθήσονται· θεωρηθήσονται
δηλήματα (μ 286 Soph. OT. 1495)· βλαπτικά
δηλήμονας (Apoll. lex. 58, 14)· βλαπτικούς. κλέπτας. κακούργους. λυμεῶνας
δηλήμων· κακοῦργος. λυμαντήρ, λυμεών [800]
δηλήσασθαι (Δ 67. 72)· βλάψαι. διακόψαι. φθεῖραι [2]
δηλησεις· στάσεις [4]
δήλησις· ὀργή. λώβησις. κακουργία. φθορά
δηλήσονται· ψεύσονται. βλάψουσι
δηλητήριον· φάρμακον. βοτάνη θανάσιμος
Δηλιασταί (Lycurgus)· οἱ εἰς Δῆλον πεμπόμενοι θεωροί [9]
Δῆλον· φανερόν, ὁρατόν. καὶ τὸ τοῦ Ἀπόλλωνος ἱερόν (Callim. Del. 2) [11]
δήλονται (Dores)· θέλουσι [13—15]
† Δηλκακὸς βωμός ⟨δηλιακὸς νόμος⟩· τὸ περιτρέχειν κύκλῳ τὸν ἐν Δήλῳ βωμὸν καὶ τύπτεσθαι· ἤρξατο τούτου Θησεύς, †χαριστητὴς ἀπάτης λαβύρινθος φυγῆς (schol. Callim. Del. 321)
δημαγωγεῖ· στρατηγεῖ [18]
δημαγωγός (Xen. Hell. V 2, 7)· ἄρχων, ἐκ τοῦ τὸν δῆμον ἄγειν καὶ διοικεῖν. δημόσιος
δημαγωγοῦνται· στρατηγοῦνται
Δημαρέτιον (Doric.)· νόμισμα ἐν Σικελίᾳ ὑπὸ Γέλωνος κοπέν, ἐπιδούσης αὐτῷ Δημαρέτης τῆς γυναικὸς εἰς αὐτὸ τὸν κόσμον
δημαρχία· ὅτε δῆμος ἄρχει
δήμαρχοι· οἱ πρότερον καλούμενοι ναύκραροι (Aristoteles Harp.)· ἄρχοντες δὲ ἦσαν καὶ ἠνεχύραζον οὗτοι τοὺς ὀφείλοντας (Aristoph. fr. XIX p. 1146)

COD. 49 δέγμα ⟨55 δηῶ· ἡ γῆ Cyr. Dr. — δῆ Io. Alex. 31, 13⟩ 58 δειρῆτες Ath. IX 392 A δήγορες Zonar. 492. Verum est δρῖγες a δρίξ 61 δῆγμα, παράδειγμα καὶ 63 δηεῖν 67 δηθαιῶνας 71 ὡς δῆλον 88 δηλαίνουσι 89 δηλαινομένη 94 δηλή, βουλή 99 post λυμεών] κακ. διαπρ. 808 θεωριον 16 τῶν ἐν Δ. βωμῶν 21 εἰς αὐτόν

HES. 50 δέχθαι (A 23. 377)· λαβεῖν 51 δέχμενος (I 191)· προσ[δια]δεχόμενος 54 δή· οὖν. σύνδεσμος 58 δὴ γάρ (ξ 282)· ἤδη γάρ 59 δηγῆρες (Elei ap. Nicand. fr. 123)· στρουθοί ⟨v. διγῆρες διφῆγες δρῆγες⟩ 62 δήεται (I 418)· εὑρήσεται 65 δηθά· πολὺν χρόνον (Φ 131). συνεχῶς 69 δηθὰ ματεύσωμεν (Ξ 110)· ἐπιπολὺ ζητήσωμεν 70 δηθά τε καὶ δόλιχον (K 52 sp.)· ἐπιπολύ, καὶ μακρὸν χρόνον 72 δηθύνειν (ρ 278)· ἐγχρονίζειν 73 δηθύνοντα· χρονίζοντα (A 27), βραδύνοντα 74 δηθυρεῖν· σχολάζειν, διατρίβειν 77 δηΐοιο· καυστικοῦ (B 415). πολεμικοῦ. φθαρτικοῦ 80 δηΐοισι (Δ 373)· τοῖς πολεμίοις 81 δηίουν (M 425)· ἐμάχοντο. ἐπορθοῦντο 83 δηίεσθαι (M 276)· διώξασθαι 84 δηιωθέντων (Δ 417)· αἰκισθέντων 85 δηίων (P 65)· διακόπτων 86 δηιώσας (Θ 534)· κατακόψας 90 δηλαϊστή (Ezech. V 14)· ἐλεεινή 91 δηλάτωρ· κατήγορος 95 δηληγατιῶν· ἀφορίζων 800 δηλήσας ⟨ἀηδήσας⟩· καμών. διαπραξάμενος (κακῶς διαπραττόμενος) ⟨cf. ληδήσας et δυηκῶτες⟩ 2 δηλήσατο (χ 278)· ἔβλαψεν. ἐφθείρετο. ἐκακοποίησε ⟨cf. ἐδηλήσατο⟩ 4 δηλήσηται (Γ 107)· βλάψῃ. φθείρῃ 9 δήλιοι ⟨αἰέλιοι⟩· οἱ ἀδελφὰς γεγαμηκότες 11 δηλονότι· φανερὸν ὅτι 13 δήλων (Sirac. XXXIII 3)· ὁράσεων. ἐνυπνίων 14 δήλως· ἀπερικαλύπτως 15 δηλῶσαι· φράσαι. δεῖξαι. σημᾶναι ⟨ex onomastico; cf. δεῖξαι⟩ 18 δημαγωγίας (III Esr. V 90)· ὀχλοποιήσεις

δήμαρχον· τὴν ἐνεχυραστήν [25]

δημεῖαι· αἱ τῶν δήμων συστάσεις

δημελέητος· ἐλεεινός

δημεύειν· τὸ οὐσίαν τινὸς δημοσιῶσαι. καὶ τὸ ἐνδημεῖν. ἔνιοι τὸ δημαγωγεῖν λέγουσι

δημεύσεις· ἁρπάσεις

δημεύσας· δημοσιεύσας

δημεχθηλός (Hipponax?)· μισούμενος ὑπὸ τοῦ δήμου [32. 33]

δήμητρα· τὸν σῖτον

δημητριάς· κριθὴ ἑξάστιχος (v. ξέστριξ)

Δημήτριος (Πέλεκυς)· τραγῳδ(ι)ῶν ὑποκριτής. καὶ ἴσως ὑπεκρίθη τὸν Ἀγαμέμνονος θάνατον, πελέκει κατὰ πολλοὺς γενόμενον. (Γλαῦκος)

δήμια· δημόσια. καὶ δημ(ι)όπρατα

Δημίαισι πύλαις· κοιναῖς, ἐπεὶ προεστήκεσαν ἐν ταῖς πύλαις αἱ πόρναι. ὁ δὲ Ἀντίπατρος τὸ γυναικεῖον μόριον δημόσιον ἔφη. οἱ δὲ τὰς Κεραμεικὰς πύλας· πρὸς γὰρ αὐτάς φασιν ἑστάναι τὰς πόρνας. μήποτε οὖν ἀντὶ τοῦ Διομῆσι πύλαις Δημίαισιν εἶπεν διὰ τὴν ἐγγύτητα τῶν ὀνομάτων [39]

δημίην· πόρνην. † Κύπριοι

δημιόπρατα (Ar. Vespp. 659)· τὰ δημευθέντα κτήματα, καὶ ὑπὸ δήμου πιπρασκόμενα

δήμιος· ὁ τοὺς καταγνωσθέντας ἀναιρῶν, ἢ ὁ ὑπηρέτης τῶν βασάνων

δημιουργεῖ· τὰ μὴ ὄντα ποιεῖ

δημιουργεῖον· χαλκεῖον. ἐργαστήριον

δημιουργός (Soph. Ai. 1035)· χειροτέχνης. κατασκευαστής

δημιουργός· ὁ ἥλιος· ὅτι πάντα πέσσει καὶ τελεῖ

δημιουργός· ἐπὶ μὲν τῶν ἀνδρῶν τὸ ἔθνος ἐκλήθη, ὅτι χειροτέχναι ἦσαν καὶ βάναυσοι· καὶ παρὰ τοῖς Δωριεῦσιν (Thuc. V 47 3) οἱ ἄρχοντες, τὰ δημόσια πράττοντες, ὥσπερ Ἀθήνησιν οἱ δήμαρχοι. Λέγονται καὶ οἱ τεχνῖται καταχρηστικώτερον. λέγεται δὲ καὶ γυνὴ δημιουργός, ἡ ἐν τοῖς γάμοις πέμματα πέσσει (Menand. fr. I p. 222)

δημιῶν· τὸν δῆμον διοικῶν

† δημοαλῆ (—κλῆ?)· περιβόητον

δημοβόρος (A 231)· ὁ τὰ κοινὰ τοῦ δήμου κατεσθίων, ἢ ὁ τὰ δημόσια [51]

δημοειδέος (Hippocr. III p. 262 K)· δημώδους, ὀχλικῆς [53]

† δημοθέσεση· ἐθεώρει

† δημοθεές· θεωρόν (v. δηληθήσονται)

δημοθοινία· ἡ τοῦ δήμου εὐωχία. [δημόθυσα] ἡ τοῦ δήμου θυσία

δημοκαλλίας (Com. fr. CXIV)· τοὺς περὶ τὰ δημόσια ἀναστρέφοντας

δημόκοινον (Isocr. trapez. § 15)· δημόσιον

δημόκοινος· δημόσιος βασανιστής. πόρνος. καὶ δήμιος (Soph. fr. 707)

δημόκομπος· δήμῳ ἐπαιρόμενος

δημοκόπος· δημηγόρος [61]

δημοκώκυτος· ἀθρήνητος· ἀνελεήμων .... [63—65]

Δημοκλεῖδαι (Com. fr. inc. CXV)· οἱ ξένοι καὶ μοιχοί, ἀπὸ Δημοκλείδου τοιούτου ὄντος, καθάπερ καὶ τοὺς ἡταιρηκότας Τιμάρχους ἔλεγον, τοὺς δὲ πονηροὺς Εὐρυβάτους, Κιλλίκωνας δὲ τοὺς προδότας

Δημονήσιος χαλκός (Aristot. ausc. mir. c. LIX)· δύο εἰσὶ πρὸς τῷ Βυζαντίῳ νῆσοι, κοινῇ μὲν Δημόνησοι λεγόμεναι, ἰδίᾳ δὲ διαλλάττουσαι· ἡ μὲν γὰρ Χαλκῖτις, ἡ δὲ Πιτυοῦσα

COD. 28 ἐνδημαγωγεῖν ⟨29 ἁρπαγὰς Cyr. 39. 171⟩ 34 σῖτον γλαῦκον 38 πελέκη γενόμενος 39 δημίεσι — διομῆσι πύλαις δημιάσιν 44 ἱερεῖ ⟨47 δημολάλητον EM. 265, 19 55 EM. 265, 36⟩ 56 |λικας 59 |ομπος 59. 60 δημοκόμπος· δημηγόρος. δήμῳ ἐπαιρόμενος 62 |τυτος 64 εὔκρατος — δαημόστις — ἑόντα ὀξυτόνως 66 ἡτερ.κότας — κιλλίκωνας (v. Comic. V p. CCCXXXVIII) 67 δημοννήσιος — νήσω — δημόννησοι ⟨Πιτυώδης St. Byz. 685, 10⟩

HES. 25 δηματρεύεσθαι (O 512)· ἐπιπολὺ ὑπερτίθεσθαι [mire Ῥωμαϊκὴ ἡ λέξις addit Cyr. 121; cf. θαστρεύεσθαι] 32 δημηγορῆσαι (Nehem. VIII 6)· ἐν δήμῳ λαλῆσαι 33 δημηγορῶν (Prov. XXX 31)· εἰς τὸν δῆμον λέγων 39 δήμιον· κοινόν. δημόσιον. πολιτικόν 51 δηλογέροντες (Γ 149)· οἱ τοῦ δήμου ἐντιμότεροι 53 Δημήτερος ἀκτή (N 322)· τὸ ἀκρότατον καὶ ἐξοχώτατον τῶν Δημητριακῶν καρπῶν, τῶν πυρῶν. μεταφορικῶς ἐπὶ τῶν ἀκρωτηρίων καὶ τῶν ἐξεχόντων τόπων τῶν παραθαλασσίων· ἢ ἄλευρον 61 δημον· λειπὸς. ἢ ὄχλον 63 δημονέστερον· ἀσχημονέστερον, διὰ τὸ ἐν ὄψει πάντων γινόμενον (δημωδέστερον) 64 δημός (Θ 240 al.)· ὁ ἐπίπλους τοῦ ἱερείου, ἀπὸ τοῦ εὐκέατος εἶναι, δαϊμός τις (ὤν), ὠνομασμένος. καὶ τὸ λίπος (ὀξυτόνως)· προπερισπωμ νως δὲ τὸ πολιτικὸν σύστημα (υ 266) .... δῆμον ἐόντα (M 213)· δημότην, καὶ ἕνα τῶν πολλῶν 65 δῆμον Ἐρεχθεῖον (B 547)· τὰς Ἀθήνας, περιφραστικῶς

δημοσιεύειν· τὸ δημοσίᾳ ὑπηρετεῖν ἐπὶ μισθῷ

δημόσιον (Thuc. V 18, 7)· δεσμωτήριον

Δῆμος καλός (Ar. Vespp. 97)· Πυριλάμπους υἱὸς ἦν οὗτος, Δῆμος ὄνομα καὶ τὴν ὥραν κάλλιστος· ἔθος δὲ ἦν τοῖς ἐρασταῖς ἐπιγράφειν πανταχοῦ τὰ τῶν παίδων ⟨παιδικῶν?⟩ ὀνόματα

δημοποίητον (Demosth. Neaer. § 88)· ὁ κατὰ ψήφισμα δήμου γεγονὼς πολίτης, ξένος ὢν φύσει

δημόσσ†ους· τὸν δῆμον σώζων. ἢ ὁ δημοδίωκτος

†δημοστροφεῖν· ἐν δήμῳ ἀναστρέφειν

δημοτελῆ ἱερά (Demosth. 1374, 1)· καὶ δημοτελῆ μέν, εἰς ἃ θύματα δίδωσιν ἡ πόλις· δημοτικὰ δὲ, εἰς ἃ οἱ δῆμοι (Dinarch.)

δημοτεύεσθαι (Antipho)· τὸ μετέχειν δήμου καὶ πολιτείας κατὰ νόμον

δημότης· ὁ ἐκ τοῦ δήμου. δηλοῖ δὲ καὶ ἰδιώτην

δημοτικά· τὰ τοῖς πολλοῖς ἐμπρέποντα [79]

δημοῦσθαι· εὐφραίνεσθαι, εὐθυμεῖσθαι δημοσίᾳ, παίζειν

δημοῦται· παίζει. θωπεύει [81—85]

δημόφαντον· δημόσιον

δημώδης· παιδιώδης

δημώ(δη Plat. Phaed. 61 A)· δημοσίαν

δημώματα (Ar. Pac. 797)· παίγνια

δημωφελῶν ⟨—λής?⟩· δῆμον ὠφελῶν [91]

δηναιόν· πολυχρόνιον, ἀρχαῖον [93—96]

δήνεα (Δ 361)· βουλεύματα

δῆνος· βούλευμα [99]

δήξεται (Eur. Med. 1370)· δάκνει

δήξομαι (Eur. Bacch. 351?)· λυπήσομαι, ἀνιάσομαι

†δῆος· βωβός. Κρῆτες

δῃουμένη· ἀπολλυμένη. ἠρημωμένη. καταστρεφομένη. πορθουμένη

δῃουμένων· ἀναιρουμένων

δῃοῦν (Thuc. I 81)· πορθεῖν [6]

δῃοῦντες (Xen. Cyr. III 3, 12 (23)· διακόπτοντες. καίοντες. ἐλαττοῦντες. πολεμοῦντες

δῃούντων· ἀνελόντων

δήποθεν· λέξις συναπτική, ὡς καὶ τὸ δήπου [10—12]

δηράδες (Cretes)· βουνοί

δή ῥα δή· ὡς δή ⟨v. 256⟩ [15]

δῆρις· μάχη [ad 16] [17]

δηρίττειν (Cretic.)· ἐρίζειν [ad 18] [19. 20]

δῆσαι· ῥῖψαι

δῆσαι πρὸς σανίδι, Ἀττικῶς (Ar. Thesm. 940)· βασανίσαι ἐν τῷ δεσμωτηρίῳ

δησάν(των μ 50)· δησάτωσαν

δήσαντι· ὁμοίως

δῆτα· οὕτως. ἢ τοίνυν

†δητός· ὕστερος

δητταί (Cretes)· αἱ ἐπτισμέναι κριθαί [28. 29]

Δηώ (Callim. Cer. 133)· Δημήτηρ [31]

δῄωσαν· κατέκοψαν. ἔπρησαν. ἠφάνισαν [33]

δῄωσε· κατέκοψεν. ἐφόνευσε [35. 36]

διάβαθρα (Alexid. III p. 423)· εἶδος ὑποδήματος γυναικείου

διαβάλλει· καταγινώσκει (Xen. An. I 1, 3). ὑβρίζει. ἐξαπατᾷ. παραλογίζεται (cf. Eur. fr. 438) [39]

COD. 68—73 = 72. 68. 71. 69. 73. 70, ut dubites de 72. 71. 73 68 δημοκοπεύειν 70 κάλλιστον 75 δίδω ⟨δημόται Bekk. 210, 28⟩ 88 δήμω 903 δησυμένη 16 δήρη 21 ῥίψαι 22 προσάνοδον 23 δήσαν 27 δηαὶ EM. 264, 12 38 $\overset{\varepsilon}{\pi}$ πετᾶ $\overset{\varepsilon}{\pi}$ λογίζεται

HES. 74 δημολάλητος· δημοβόητος ⟨v. δημοαλῆ⟩ 79 δήμου ἄνδρα (B 198)· δημότην ἄνδρα 82 δήμου τ' ἄνδρα (B 198)· δημότην ἄνθρωπον 83 δήμου· πόλεως 84 δήμω ἀρίστω (Λ 328)· δημότας ἀρίστους. δυϊκῶς 85 δημοφάλιον (Aesch. Prom. 555)· ἑτεροῖον, ἀλλοῖον 91 δήν (Hom.)· ἐπὶ πολὺν χρόνον 93 †δηναιά· ἀχρεῖα καὶ ἄφορα δένδρα ⟨v. 765. α 1306. 1524. 1847; l. ΑΪΝΑ. ΤΑ ἀχρ.⟩ 94 δηνάριον (Matth. XX 2)· τὸ νόμισμα, ἢ εἶδος ἀργυρίου 95 δηνάσας· διεξελθών. διεξῆλθες ⟨διήνυσας et διανύσας⟩ 96 δὴν δ' ἄνεω (Ι 30)· ἐπὶ πολὺ ἀχανής, ἥσυχος, ἄφωνος 99 δήναστο (Λ 512)· ἐπὶ πολὺ ἐκαθέζετο 906 δὴ οὖν· χρὴ δή, ἢ χρὴ οὖν ⟨δεῖ οὖν vel δή· οὖν: χρῆ. δέῃ (ad Ar. Ran. 265)⟩ 10 δήπουθεν· δηλονότι ⟨Moer. p. 130⟩ 11 δηπορτάτος· ἐξορισιμαῖος 12 δή ῥα· ἄρα δή. ἤδη 15 δηριγένια (Λ 477)· ἡμέρα Ad 16: δηρή· τράχηλος ⟨δειρή⟩ 17 δηρήσασθαι (P 734)· μαχήσασθαι Ad 18: δηρότης 19 δηρόν (Hom.)· ἐπὶ πολὺν καιρόν 20 δηρότη· κακουργία ⟨δηϊοτής⟩ 28 δὴ τότε (Λ 476)· καὶ τότε. τότε δή 29 δηφένσωρ· ἔκδικος 31 δηωθέντων (Greg. Naz. Carm. I 493)· ἀναιρεθέντων (Δ 417). καυθέντων 33 δηώσαντες· πραιδεύσαντες (Π 158). πορθήσαντες. καταπολεμήσαντες 35 δηώσωσι (Δ 416)· κατακόψωσι. φονεύσωσι. καταπολεμήσωσιν 36 διὰ τὸν δῖα: ἢ εὐγενής ⟨v. διαγενής⟩: καὶ πρόθεσις: ἐνδοξοτάτη, καὶ ἀγαθή 39 διάβασις· πορεία. γέφυρα. πέραμα ⟨ex onomastico; cf. γέφυρα⟩

διαβάτης (Aristoph. fr. CLV)· ὀργανόν τι τεκτονικόν. διαβατικός [41. 42]

διαβεβαιοῦται οὐδέν· ἀντὶ τοῦ ἀσύμφωνον [44]

διὰ βίου (Aesch. Cho. 602?)· διὰ παντός, ἀεί

διαβιῶσαι· ζῆσαι

διαβόητος· ἐπὶ καλῷ φήμην ἔχων, ἢ κακῷ

διαβολή· λοιδορία. ἢ διαβολὴ ὑπόπτευσις. ἢ ὑπόληψις

διαβολίαν· διαβολήν [50. 51]

†διαβουλευείρ· ὁ ἐν τοῖς ἱστοῖς πρόβολος. Λάκωνες

†διαβουνίν· τὸ ἐν τοῖς πότοις τράγημα μεταξὺ ἐσθιόμενον

διαβρίθει· βαρύνει

διαβριθοῦς· ἰσχυρᾶς

διαβρόχους (Attici)· βεβρεγμένους

†διαβύσσει· διακαμύσσει ⟨v. βύει⟩

διαγέγραπται (Ar. Nubb. 774)· διακέκοπται

διάγειν· παρέλκειν ⟨1400⟩. ἐξαπατᾶν [60—63]

†διάγγαρον· δικέφαλον ⟨v. COD.⟩

διαγλαίνειν· διαλυμαίνεσθαι ⟨col. 350, 33 et καταγληνῆσαι⟩

διαγλάψασ' (δ 438)· διαγλύψασα. διασκαλεύσασα

διάγματα· διασκευάσματα

διαγνούς· διακρίνας. δίκαιον αἰσθόμενος. ἐπιγνούς, συνιείς, νοήσας [69—71]

Διαγόρας (Ar. Ran. 320)· Διόδωρος ὁ Ταρσεὺς ἀναγινώσκει περισπῶν δι' ἀγορᾶς, διὰ τὸ τοὺς μύστας βακχάζειν, τουτέστιν ᾄδειν τὸν Ἴακχον δι' ἀγορῶν βαδίζοντας

διαγορεύει· θεσπίζει. διαγγέλλει

διάγραμμα· διάταγμα. ψήφισμα

διαγραμμισμός (Philem. fr. CXV p. 64)· παιδιά τις ἑξήκοντα ψήφων λευκῶν καὶ μελαινῶν ἐν χώραις ἑλκομένων. τὸ δὲ αὐτὸ καὶ γραμμὰς ἐκάλει

διάγραπτος δίκη· ἥτις καὶ ἐξεσμένη ἐλέγετο

διαγραφαί· αἱ συνθῆκαι

διαγράφειν· διαξύειν. [ad 78] ἀκυροῦν

διαγραφή· ἐπὶ ζωγραφικοῦ πίνακος εἴρηται [80]

διαγράφω (Ar. Lys. 676)· ἀποδοκιμάζω

διαγωγάν· [ad 82] διέλευσιν

διαγωγή· ἀναστροφή

δι' ἃ δή (Plato)· δι' ἅπερ [85. 86]

διάδημα· στέμμα βασιλέως, κεφαλῶν κόσμος [post 87]

διαδιδράσκει· διαφεύγει. †διαδιδράσκεται ⟨—τε?⟩

διαδικαιοῦν· φανερῶς ἀποφαίνεσθαι

διαδικασία· ἡ ἐπίκρισις τοῦ ἐπιτηδείου πρὸς λειτρυργίαν καὶ πρὸς τὰ ἄλλα. ἡ ἀμφισβήτησις (Plat. Legg. XI 937 C). κρίσις

†διάδικος· τὸ εἰς δίκην καλεῖν. Ἀττικοί

διαδοιδυκίζειν· ὀρχεῖσθαι ἀσχημόνως [Post 92]

διαδοκίς· οἱ μὲν [ad 93] ἡ τὰς ἄλλας δοκοὺς ἀναδεχομένη· οἱ δὲ δοκῶν πλάγιον ὑπόθεμα

†διαδέλλειν· διασπᾶν

διαδοῦναι δίκας· τὸ τοῖς ἀδικουμένοις ἀποδοθῆναι τὸ δίκαιον ὑπὸ τῶν ἀδικησάντων

διάδρα· διάφυγε [97. 98]

διαδρᾶναι· διαφυγεῖν [1000]

COD. 41 διαβατ(ὸς) ἦν· Thuc. II 5, 2? 43 διαβεβᾶται (Excidisse videtur gl. Hippocr. 808 E διαβεβῶτα) ⟨50 Cf. 1486⟩ 53 ἐσθίομεν ⟨64 δίκρανον? an δι' ἔγκαρον· δι' ἐν ἐγκέφαλον?⟩ 66 |ας ter 75 λαβὼν — ἐγχώραις 88 ἀποφέρεσθαι 92 διεδοιδακίζειν ⟨cf. διεδοιδύκισε 94 διαπατᾷν? δέλλω, ζέλλω Arcades pro βάλλω⟩

HES. 41 διαβάτειν· 42 διαβαίνει (Ios. III 11)· διαπερᾷ 44 διαβήματα (LXX)· πορείας. περιπατήματα 50 διάβουλοι· διπλοῖ. δίβουλοι ⟨δίβολοι· διπλαῖ⟩ 51 διαβουλία (LXX)· ἀμφιβολία: ἐνθυμήματα, διαλογισμοί (LXX; cf. τὰ διαβούλια) 60 διαγγέλλει (Exod. IX 17 Rom. IX 17)· ἀπαγγέλλει. διαδραμεῖ 61 διαγγέλλω· ἀπαγγέλλω, διέξειμι τῷ λόγῳ 62 διάγει (Sirac. XXXVIII 27)· διατρίβει 63 διαγενής· εὐγενής ⟨v. διά⟩ 69 διαγνῶναι (Η 424)· ἐπιγνῶναι 70 διάγνωθι (Deuter. II 7)· νόησον 71 διάγνωσις (Isae. p. 36, 27 St. ap. Moer.) Ad 78] ἀπαλείφειν ⟨Plato ap. Moer.⟩ 80 διαγραφάριος· ὁ ἀπαιτῶν δημόσια Ad 82: διαίρεσιν. διανομήν ⟨ad ΔΙΑΚΟΠΑΝ⟩ 85 διαδέχεται (Sapient. VII 30) 86 διάδηλοι (Genes. XLI 20)· φανεροί Post 87: ἤγουν στέφανος ἢ βασιλέως σύμβολον (I Macc. XIII 32) Post 92: διάδοχος ⟨διάδοκος· διάδοχος? an Sirac. XLVI 1?⟩ Ad 93: ὑπόθεμα τῶν δοκῶν, πλάγιον ὑπόθεμα 97 διὰ δουρός (Γ 61)· διὰ τοῦ ξύλου, καὶ δέρματος ⟨v. ὑπ' ἀνέρος⟩ 98 διαδράκοι (Ξ 344)· θεάσοιτο 1000 διὰ δρυμά (Δ 118)· δι' ὕλην

διαδύει· διαφθείρεται
διαδῦν· διαφυγεῖν [3—5]
διάζευξις· διαχώρισις
διαήσει· διαπνεῖ (ε 478?) [8. 9]
διαθέει· διαφεύγει. διατρέχει
διαθέντε· διαθέμενοι. δυϊκῶς
διάθεσις· σχῆμα. ἀγάπη. ἀπόδοσις (Isocr. 11, 14). προαίρεσις
διαθέσει (Phrynich. com. fr. VIII p. 601)· διακοσμήσει [14]
διαθήκη· συνωμοσία· ἑνικῶς, οὐ πληθυντικῶς τὰς διαθήκας ἔλεγον· δηλοῖ δὲ καὶ διάστασιν, διαίρεσιν, διάκρισιν, διάθεσιν [16]
διαθήσει· τιμωρήσεται, κολάσεται: πράσει ⟨ad διαθέσει (Isocr. Busir. § 14)⟩
διαθήσομαι· † συντελέσω
διαθλέοιμεν· διαγωνιζοίμεθα, κάμοιμεν, ἐργαζοίμεθα· ἆθλος δὲ τὸ ἔργον καὶ τὸ ἀγώνισμα καὶ τὸ ἔπαθλον [20]
διαθρήσαντα· διϊδόντα
διαθρυλλῶ· διαομιλῶ. διαψιθυρίζω [23]
διαίνεται· βρέχεται. δακρύει
διαίνεσθαι ⟨—ε Aesch. Pers. 258⟩
διαιολᾶν· ἐξαπατᾶν. ποικίλλειν
διαιρεῖν (Eur. fr. 103)· διακρίνειν. ἐξακριβοῦν. διαμερίζειν
διαιρῶσα (Dorice)· διαιροῦσα [29]
δίαιτα· θεσμός. διαγωγὴ τροφῆς [ad 30]
δίαιτα τοὐρανοῦ· τὸ φαγεῖν, τὸ πιεῖν
διαιτ(ε)ομένη (Hippocr. II p. 661)· τρεφομένη
διαιτηταί· Ἀθήνησιν ἕτεροί τινες τῶν δικαστῶν, οἷς ἐπέτρεπον οἱ ἀμφισβητοῦντες τὰ ἐγκλήματα, καὶ αὐτοὶ διῄτων· .... εἰ δὲ μή, ἀνέπεμπον ἐπὶ τοὺς δικαστάς. οἱ δὲ περὶ ἑξήκοντα ἔτη γεγονότες διῄτων [34]
διαιτητής (Menand. fr. V p. 182)· κριτής. βασανιστής
† διαιτητός· ὁ μὴ κατὰ κλῆρον δικαστής [37]
δίαιθρον· διαφανές. καθαρόν. δίυγρον ⟨v. 712 et διερόν⟩
δίαιτρον (Hippocr. II p. 475 K)· δίοπτρον. διαφανές ⟨v. 712⟩ [40]
† διακαλαμάσαρχες. παρὰ Ῥοδίοις ἔριφοι οὕτως εἴρηνται ἐν νόμῳ τινί, οἱ τὴν καλάμην τῶν σπερμάτων ἐπιβεβοσκημένοι
† διάκινον· δυσκίνητον. Κρῆτες ⟨v. 1061⟩
διακαυνιάσαι (Ar. Pac. 1081)· διακληρώσασθαι· καυνὸς γὰρ ὁ κλῆρος [44. 45]
† διακεισομένων· διακειμένων ⟨διακΕCΚομένων?⟩ [47]
διακεχρίσθω· ἀφοριζίσθω
διακέρσαι (Θ 8)· διακόψαι. παραβῆναι
† διακεχειρεῖσθαι· πορθεῖσθαι
διακεχλοιδώς (Comic. II 2 p. 728)· διαρρέων ὑπὸ τρυφῆς ⟨1075⟩
διακίγκλισον (Arist. fr. VIII p. 955)· διάσεισον. κίγκλος δὲ ὄρνεον ἢ σεισοπυγίς
διακλιμακίσας (Plat. com. II p. 656)· διαπαλαίσας. κλίμακες γὰρ καὶ κλιμακισμοὶ παλαισματος εἶδος [54]
διακλονῶν· διασείων. δονῶν
διακναιόμενον (Aesch. Prom. 539)· διαπονούμενον. φθειρόμενον
διακνᾶσθαι (Hippocr. II p. 781 K?)· διαφθαρεῖν [58]
διακομισθείς (Plat. Legg. X p. 905 B)· διελθών. βασταχθείς [60]
† διακόνιν· δυσκίνητον. Κρῆτες [62]
διακονῆσαι· κατεργάσασθαι. ἀπολέσαι. βλάψαι
διακόνιον (Pherecr. fr. VI p. 312)· μάζα ἢ

COD. 1001 διαδύνειν ⟨7 διάη· διαπνεῖ. διαήσει· διαπέμψει Cyr. 39 12 πρᾶσις Eudemus⟩ 13 |θέσειν Post 14] 19 διαθέλοιμεν 15 συμωσία 31 τοῦ οὐρανοῦ 32 ζ ἔτη 32 legebatur post 35 ⟨38. 39 Philol. II p. 217, 8 43 διακαυκανιάσαι 51 |δῶς· διαρέων 52 ἢ σεισοπύλης 53 καίμακες 59 διακοσμιθείς 61 Cf. 1042 62—65 legebantur post 71

HES. 3 διὰ δώματα (Λ 600)· διὰ τὰ οἰκήματα 4 διαείσεται (Θ 535)· διαγνώσεται 5 διαειπέμεν (δ 215)· διαλεχθῆναι 8 διαείδεται (Ν 277)· φαίνεται ⟨φαί—⟩ 9 διέζετο· διεσχίζετο ⟨v. δαΐζει⟩ 14 δῖα θεάων (Hom.)· ἀντὶ τοῦ διοτάτη 16 † διαθήσεις ⟨μαθήσεις⟩· νοήσεις 20 διάθονται (Herod. I 104 διαθέωνται) 23 διαθρύψεις (Levit. II 6)· συγκόψεις 29 διαίρεσις· τομή, μερισμός Ad 30: ἡ καθημερινὴ τροφή (Iudith. XII 15) 34 διαιτεῖν· διατρέχειν ⟨h. e. διάττειν⟩. διανύειν 37 διαιτός· κριτής (Moer. p. 133?) 40 διαίνεται· βρέχεται, ὑγραίνεται. διαχεῖται, ὑπὸ ὄμβρου βρέχεται 44 διὰ κενῆς (Ps. XXIV 3)· ματαίως 45 διακένῳ (Num. XXI 5)· κούφῳ 47 διακεκριμέναι (ι 220)· διακεχωρισμέναι (non Bacchyl. fr. 44) 54 διακλῶν (Thren. IV 4)· θρύπτων 58 διακοιρανέοντα (Δ 230)· βασιλικῶς ἐπερχόμενον, ἢ ὡς κοίραγγον διαπορευόμενον, διέποντα 60 διακομισθείημεν (Β 126) 62 διακοινώνησον (Ar. Vespp. 1169)· διασείσθητον ⟨—τι⟩ ἐν τῇ πορείᾳ. ἔνιοι πόνησον ⟨δαπάνησον⟩

ζωμός, καὶ ἡ κρηπὶς τοῦ πλακοῦντος. οἱ δὲ πέμματα ἐξαπτόμενα τῆς εἰρεσιώνης (Menecles)
διακονίς· ἐπὶ ὑφῆς ἱματίου † ἀνομάλου, ὅ φαμεν † κονίζειν. καὶ ἄνθρωπος ὁ μὴ πυκνὸς διακονίς
διακονουμένων. ὑπηρετούντων. ἡ ἀποκρίσεις τινὰς ἐκπληρούντων
(διακοπάν· διαίρεσιν, διανομήν) cf. 982 [68]
διακορεῖς Plat. Legg. VIII p. 810 E)· κεκορεσμένοι
διακορεύει· τὴν κόρην διαφθείρει
† διακόρισται· διαπαρθενεύεται [72]
διακοσμησαμένω· διακοσμησάμενοι, δυϊκῶς
† διακορίζεσθαι· βλέπειν, ἀτενίσαι ..... [75. 76]
διακραδαίνοιντο· κινοῖντο. κραδαίνειν γὰρ τὸ κινεῖν
Διακριεῖς· οὐ μόνον Εὐβοέων τινές, ἀλλὰ καὶ Ἀθηναίων· καὶ τόπος τῆς Ἀττικῆς καὶ ἡ χώρα Διακρία, ἡ ἀπὸ Πάρνηθος ἕως Βραυρῶνος
δι' ἄκριας (ι 400)· κατὰ τὰς ἀκρωρείας [80]
διακριδόν (Ο 108)· ἐν διακρίσει ἄριστον. διακριδόν
διακριθέντες (Herod. VIII 18)· χωρισθέντες. (διαστάντες. χωρὶς ὄντες) [83—85]
διακρινομένω· διακρινόμενοι, δυϊκῶς
διακρινομένων· μαχομένων
διακρίνουσιν· διαχωρίζουσιν. μεσιτεύουσι [89]
διακρότως· σκληρῶς. ἀποκρότως
διακρούεσθαι· ἐξωθεῖν. ἢ ὑπερτίθεσθαι, καὶ ἄλλοτε ἄλλως διαναβάλλεσθαι (Demosth. 351, 15)
διακρουόμενοι· διαφεύγοντες
διακρούσασθαι (Demosth. 711, 18)· ἀπορρῖψαι [94]
διάκτορος· ἄγγελος, ἀπὸ τοῦ διάγειν τὰς ἀγγελίας· ἢ οἷον διατόρως καὶ σαφῶς διαλεγόμενος [ad 95] [96]
διακυδόμεναι· διαχεόμεναι
διακυκῶσι· διαταράττουσιν
διακυνοφθαλμίζεται (Com. inc. fr. CXVI)· δυνοβλέπεται. διανεύει. ἢ ἀναιδῶς ἀνθίσταται (v. κυν—)
διακυρίττεσθαι· ἀντιμάχεσθαι· κυρίως δὲ κριῶν
διακωδωνίσαι· δοκιμάσαι
διακωδωνισθέντες (Lysias EM. 267, 30)· διαφημισθέντες. ὡς ἐπιτοπλεῖστον δὲ ἐπὶ τῶν διαπαιζομένων καὶ χλευαζομένων λαμβάνεται
διακωμῳδῶ· διατραγῳδῶ
διακωνῆσαι· διακλύσαι· ἀπὸ τοῦ κωνῆσαι, ὅπερ ἐστὶν πίσση χρῖσαι
διάλ· τὴν ἔλαφον Χαλδαῖοι (אַיָּל)
διαλαβεῖν (Ar. Eqq. 262)· παλαιστρικόν τι (σχῆμα)
διαλαβών· διαγινώσκων, [1108] διαχειρίσας, δεξάμενος [ad 1107] [1109] διελών
διαλάμπει· ὡραΐζεται [11]
δι' ἅλα πορφυροειδῆ (Eur. Tro. 124)· διὰ τῆς μελα(ί)νης θαλάσσης
διάλας (Cretice)· τὰς δήλας καὶ φανεράς
διάλαυρος· οἰκία μεγάλη πανταχόθεν λαύραις διειλημμένη, ἡ λεγομένη περιάμφοδος (v. διέλθυρις)
διαλεγδόν· διαφερόντως
διαλέγειν· ἀνακαθαίρειν (Xen. Oec. VIII 9). οἱ † δέον (δὲ ?) ἀπιέναι, ἢ ἐκπλεῖν· ἀπὸ δὲ τῶν πεσσῶν ἡ μετραφορά

HES. 33 εὐρεόντα (ω 10)· πλάτια. σκοτεινά 36 εὐρόως (Φ 130)· ἰσχυρῶς ῥέων 37 εὔροον (H 329 Eur. Hec. 650)· καλῶς ῥέοντα 38 εὐρύ· μεγάλως. πλατέως (E 545) 39 εὐρυάγυια (Δ 52)· μεγάλη καὶ πλατεῖα ῥύμη. πλατὺ ἄμφοδον Ad 41: καὶ ἡ πλατεῖα, καὶ ἡ μεγάλη ἐν τῷ πλανᾶσθαι ὁδός 46 εὐρυχακέει· κωλύειν (E 262 al.), κατέχειν 51 εὐρυκαήσσειν (γ 144)· κωλύειν, κατέχειν 52 εὐρυκρίων (A 102)· μεγάλως βασιλεύων 55 εὐρύμναν (ϑ 260)· εὐρύχωρον 57 εὐρύ· πλατύ. μέγα 61 εὐρυοδείης (Π 635)· ὁμοίως 62 εὐρυχακέω ⟨vox nihili⟩· κωλύω, ἐπέχω, κατέχω 63 εὐρυμέτωπον (K 292)· πλατυμέτωπον 66 εὐρυπελεύς (Ψ 74)· μεγαλόπυλον 70 εὐρυσθενές· μεγάλως ἰσχύον, μεγαλοδύναμον (H 455), μεγαλοσθενές 71 Εὐρυσθεύς (T 123)· Σθενέλου καὶ Νικήπτης ⟨ἵππης⟩ υἱός 74 εὐρύχωρον (Iesai. XXX 23)· μεγάλως πολύχωρον 87 εὐρωτιῶντες (Iosu. IX 11 [5])· σαπέντες 95 ἐϋσέλμοιο (B 170)· εὐκόπου. εὐκαθέδρου. εὐσανιδότου 96 ἐϋσέλμου (μ 358)· ὁμοίως 97 ἐϋσέλμων (H 419)· τὰ αὐτά 98 εὖσεν (ι 389)· ἐμάδισεν ⟨εὐδάμισεν cod.⟩ 99 εὔσημον (1 Cor. XIV 9)· εὔδηλον, φανερόν

εὐσθένεια· δύναμις

εὔ(σ)καιροι· ταχεῖς ⟨v. κοῦφον⟩

ἰὔσκαρθμοι (N 21)· εὔποδες, εὐκίνητοι, ταχεῖς· σκαρθμὸς γὰρ ἡ κίνησις, τὸ δὲ σκαίρειν τὸ κινεῖσθαι

εὔσκοπος· †ἄνετος

†εὔσμαλον· εὔχαρι

εὐσμερδής· εὔρωστος ⟨cf. εὐμερδής⟩

εὐσμίλευτα· εὖ κατεσκευασμένα· ἀπὸ τῆς λατυπικῆς σμίλης: δύναται δὲ καὶ τὰ σμιλάκινα ⟨ad εὐσμίλωτα⟩ †εὔβαφα

εὔσοια (Soph. O. C. 390)· εὐθηνία. σωτηρία

εὔσοοι· ἀσφαλῶς σωζόμενοι

εὔσοντας· ἐκδέροντας

Εὔσους· ὁ διευτυχῶν. καὶ ἥρως ἐγχώριος. καὶ εὐκίνητος. εὐφόρος [7211]

†εὐσπαλεύς· εὐτελές [13]

†εὐσπάρτεος ἱστός· οὐ μήτε ἀραιός, μήτε πυκνὸς ὁ στήμων τυγχάνει

εὔσπυλον (Aeoles)· εὐείμονα. εὐσταλέα [16]

εὐστάθεια· παγιότης ἐρηρεισμένων

εὐσταθειῶν· ἡδονῶν

ἐϋσταθέος· καλῶς βεβηκότος (non Hom.). εὐποιήτου (Σ 374)

εὐσταθής· βέβαιος

εὐσταθήσουσιν· ἡσυχάσουσιν

εὐσταθῶς· ἑδραίως. καλῶς ἑστώς

εὐσταλεῖς· καλῶς ἐσταλμένους

εὐσταλής· καλῶς ἐστολισμένος

†εὔστασιν· εὐσχήμονα †γὰρ εὐστολισμένα

εὐστείλεον· καλὴν λαβὴν ἔχουσαν

εὐστέφανος· εὐ(κέ)φαλος. εὔκοσμος (σ 192)· γυναικεῖος γὰρ κόσμος ἡ στεφάνη· καὶ ἐπὶ πόλεως μεταφορικῶς εὔπυργος, εὔτειχος. καλὸν στέφανον ἔχων

εὐστιβές· καλῶς πεπατημένον, τετριμμένον

εὐστόν· τὸ †σειόμενον ⟨cf. gl. ϑ 969⟩

εὔστομον· ἀπὸ μέρους, εὐπρόσωπον

εὔστρα· βόθρος, ἐν ᾧ τοὺς ὗς εὕουσι. καὶ ὁ στάχυς, ὅταν μήπω πέπειρος ὢν ἀποφλογισθῇ [32. 33]

εὐσύμβολον· εὐσυνάλλακτον [35]

εὐσύνοπτον (Arist. Poet.)· φανερόν, εὐθεώρητον, σαφές

εὔσφυρος· καλλίσφυρος. ἀπὸ μέρους, καλή

εὐσχήμονες· εὐσχημόνως καὶ εὖ σχήματα ἐν ὀρχήσει ποιοῦντες

εὐσχημόνως· εὐλαβῶς [40]

εὐσωπία (Dor.)· ἡσυχία

εὔσωτρον· εὐκύλιστον· σωὴ γὰρ ἡ ἐφορμὴ καὶ φορά, ἧς εἶδος ἡ κύλισις

εὐσώτρου (Hesiod. Scut. 273)· εὐδρόμου ⟨7211⟩

εὖτ' ἂν (A 242)· ὅταν. ὁπόταν [ad 44] [45]

εὐταξία· εὐκοσμία

εὖτε (Hom.)· ἡνίκα, ὅτε [ad 47]

εὖτέ κεν εἶο (epic. inc.)· ὁπότε αὐτοῦ

εὐτέκμαρτον· καλῶς τυπούμενον

εὐτελές· ὀλίγης δαπάνης. καὶ σύντομον

εὐτελής· σύντομος (ἀδάπανος)· πολυτελὴς †γὰρ ⟨δὲ?⟩ ὁ πολλὴν σκευωρίαν ἔχων χρόνου καὶ ἀναλωμάτων

εὐτέλεια· ταπείνωσις. πενιχρότης

εὖτ' ἐπυκάσθη (inc. epic.)· ὅτε ἐσκεπάσθη

εὖτέ τις (Empedocl. 4 Sz.)· ὁπότε τις

εὐτεχνία· σοφία, σύνεσις [56]

εὐτμήτοις· εὖ κατεσκευασμένοις

εὐτονία· ἀνεξικακία. καρτερία. ὑπομονή

εὔτονος· εὐμενής. γενναῖος

εὐτόνως· ἰσχυρῶς. ἐλαφρῶς ⟨λαβρῶς?⟩

εὐτραπελία· κουφότης [ad 61]

εὐτράπελος· γελοιώδης

εὐτρεπῆ· ἡτοιμασμένον

εὐτρεπής· ἕτοιμος. δίκαιος [65]

Εὐτρηΐους· τοὺς ἀπὸ Εὐτρήσεως, τῆς πόλεως τῆς Ἀρκαδίας. Δωρικῶς δὲ εἴρηκε Τηλεκλείδης (p. 378)· θέλει γὰρ εἰπεῖν Εὐτρησίους [67]

†εὐτρόσσεσθαι· ἐπιστρέφεσθαι. Πάφιοι

εὐτρόχαλον· εὔκυκλον. ταχινόν

εὐτυχάζου (Aesch. Sept. 149)· εὔτυκον ἔχε. ἕτοιμον

COD. 7206 εὐσμήλωτα, εὖ κατα| — λαπυπικῆς σμύλας 10 εὔφρονος ⟨12 εὐσπαλής = εὐπαλές Cyprii?⟩ 15 εὔειμον 16 cf. εὐκαλεῖ 17 ἐρερισμένον 23 εὐστ| 26 εὔστειλον 27 ἐπιπόλαιως 28 εὐστειβές 37 καλλή| 42 σωὴ — σφορμή — κύλησις 48 εὖ τέκεν οἶο 57 κατα| 59 cf. εὐρυκόας 66 εὐτρηίους, — εὔτρης — εὐστρίστους 68 ἐπάφιοι ⟨cf. ἐπιτρύσσειν⟩ Post 69] εὐτυχές, εὐεργές 70 εὐτύκαζον, εὔτυκτον

HES. 7211 εὐσότρου· εὐδρόμου ⟨εὐσω—⟩ 13 εὔσπλαγχνον· εὔηλον ⟨εὐίλεων?⟩ 16 εὐσταλεῖ· ἀτρεμεῖ ⟨v. εὐταλεῖ⟩ 32 ἐϋστρέπτοισιν ἱμᾶσι (β 426)· σειραῖς δερματίναισιν 33 ἐϋστρόφῳ (N 599)· καλῶς ἐστραμμένῳ 35 εὐσυναλλάκτως (Prov. XXV 10)· εὐμεταδότως 40 εὐσχολῶ· σχολὴν ἄγω ⟨Moer. p. 138⟩ Ad 44 εὖγε 45 εὐταλεῖ· ἀτρεμεῖ ⟨7216⟩ Ad 47 καὶ καλῶς 56 εὐτμαδιέων· εὐτυχημένων ⟨εὐγμαλέων⟩ Ad 61 μωρολογία, αἰσχρολογία (Ephes. V 4) 65 Εὔτρη· πόλις Ἀρκαδίας 67 ἐϋτρήτοισι (Ξ 182)· καλῶς τετριμμένοις

(εὐτυκές· εὐεργές.) εὐχερές. εὐποίητον. ῥάδιον
εὐτυκίσων· εὐτυχῆ ποιήσων
εὐτυκῶς· ῥαδίως καὶ τὰ ὅμοια
Εὔυπνος· ὁ Ζεύς [ad 74] παρὰ Δελφοῖς
εὐφάλαρα· λαμπρά [76]
Εὐφάμιος· ὁ Ζεύς
εὐφάρμακον· εὔχροον [79. 80]
εὐφεγγεῖς· λαμπρούς
εὖ φερόμενοι (sch. Thuc. III 15)· εὐδοκιμοῦντες
εὔφημα· καλά. ἐπαινετά
εὐφημεῖ (Call. Ap. 18)· καλὰ λαλεῖ, ἢ ἐπαινεῖ
εὐφημῆσαι· βοῆσαι μετ' εὐφημίας
Εὔφημος· ὁ Ζεὺς ἐν Λέσβῳ
εὐφημοῦσι· στένουσι. κωκύουσι, κατὰ ἀντίφρασιν
εὐφήμως· ἡδέως
εὐφήμοις γόοις· δυσφήμοις, κατὰ ἀντίφρασιν. Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ (fr. 38)
εὔφλεκτα (Xen. ΚΠ VII 5, 22)· εὐκαῆ ξύλα
εὐφορία· εὐθηνία. καλὸς ἐνιαυτός
εὐφορῶν· καλῶς φέρων
Εὐφράδης· Πάταικος ἐπιτραπέζιος
Εὐφράτης· ποταμός, παρὰ Ἰουδαίοις Ἐδδεκέλ. καὶ ἰχθῦς
εὐφρόνη· νύξ. καὶ εὐφροσύνη
εὐφρονίων (Dor.)· εὖ τὰς φρένας διακείμενος. φρόνιμος. χαίρων
εὐφροσύνη· εὐθυμία
εὔφρων (Ο 99)· ἡδύς. αἰδέσιμος. ἱλαρός. καλόφρων [99]
εὐφυΐα· ὀξύτης. γνῶσις
εὐφυής· ὁ ἐξ ἑτοίμου λέγων, καὶ σκώπτων. μέτριος. σπουδαῖος. ὡραῖος. ἐπιεικής
εὐχάς· † τάγματα
εὐχατῆσαι· ἐπικαυχήσασθαι
εὐχατότερον· πλουσιώτερον ⟨εὐχαϊώ—⟩
εὔχεαι· [7305] αὐχεῖς. λέγεις
εὔχειλον· εὔτροφον. εὔχορτον [7]
εὐχερής· εὔκολος. εὔτομος ⟨σύντ—⟩
εὐχέρεια· κουφότης
εὔχεσθαι· ἱκετεύειν. [10] αὔχειν. λέγειν [11. 12]
εὐχετίαζον· ηὔχοντο
εὐχήμονα· εὐχῆς ἄξιον
εὐχόμεθα· φαμέν [16]
εὖχος· [17] βούλησις. νίκη
εὖχους· χώνη. Σαλαμίνιοι
εὔχρηστος· χρήσιμος
εὐχωλή· εὐχή (Α 65). καύχησις (Δ 450). θυσία. νίκη. τέρψις. χαρά
†εὐχώλησεν· ἐχώλησεν ⟨Cyr. Dr.⟩
εὔψυχος· ἱλαρός
εὔω· καίω, φλογίζω [24]
εὐωδία (Xen. Symp. II 3)· εὐοσμία [26]
εὔωνον· εὔπρατον, εὐαγόραστον. ἢ ὃ μὴ ἄξιον λόγου
Εὐώνυμον· ἀριστερόν. καὶ δῆμος φυλῆς τῆς Ἐρεχθηΐδος
εὐώνῳ· εὐτελεῖ
εὐῶπα (Soph. OT. 189)· εὐόφθαλμον. φίλον
†εὐώπιον· πυρὰ παρθενική, ἐν Τροιζῆνι
εὐωρεῖ· παίζει
εὐωρεῖν· τὸ μηδενὸς ἔχειν λόγον, ἢ μηδενὸς φροντίζειν
εὐωρία· ὀλιγωρία, ἀμέλεια
εὐωριάζειν (Soph. fr. 514)· ὀλιγωρεῖν, μὴ ἔχειν φροντίδα. παρακούειν
εὐώροιο· δικαίας
εὔωρος· καταφρονητικός. ἢ φροντιστής
εὔωρος· γῆ ἡ τὰ ὡραῖα ἔχουσα [ad 38]
εὔωρος γάμου· Σοφοκλῆς Ἔριδι (fr. 191). ἤτοι ὥριος. ἢ ὀλίγωρος. οὕτω γὰρ λέγουσι κατὰ ἀντίφρασιν· ὡς ὁ αὐτὸς ἐν Σκυρίοις (fr. 514) χρῆται τῷ εὐωριάζειν
εὐωχηθέντα· εὐφρανθέντα (7426)
εὐωχία· εὐφροσύνη [42]
ἐφαιδύνθησαν (Allice)· ἱλαροὶ ἢ λαμπροὶ ἐγένοντο
ἐφαίνετο· ἔδοξεν [45]
ἐφαλῶν (Dor.)· προσηλῶν [47]
†ἐφαμεροφαρίῳ· ἀνεφημέρῳ. Ταραντῖνοι

COD. 72 εὐτυχήσων' εὐτυχῆ 75 |ραλα 78 ἔχριεν (Eustath. 1416, 2) 87 χολύουσι 89 γλαύκοποτνί.. 93 παταϊκὸς ἐπιτραπέζειος ⟨v. Γιγγρών⟩ 96 |ιῶν 7327 ἄξιος 31 cf. ὦπι ἄνασσα 39 γάμος ⟨ὡραῖος?⟩ 48 cf. ἐπ' ἀμεροφάντῳ

HES. Ad 74: ἢ καλὸς ὕπνος 76 εὔφαλον· ἐπιθαλάσσιον (Β 538)· βραχυθάλασσον (Β 584) 79 εὐφημίαν· σιωπήν. εὐλογίαν 80 εὔφαπτον· ὑπὸ θεοῦ κατεχόμενον ⟨v. ἐφαπτός⟩ 99 ἐϋφρονέων (Α 73)· καλῶς φρονῶν Ad 7305: καυχᾷ (Λ 388) 7 εὔχεο· ἐκαυχῶ (Π 844). ηὔχου (Δ 101) Ad 10: καυχᾶσθαι (Φ 501) 11 εὔχεται (Ε 173)· καυχᾶται 12 εὐχετάασθαι (Ζ 268)· εὔχεσθαι 16 εὐχομένης (Λ 397)· καυχωμένης Ad 17: καύχημα (Ε 654) 24 εὐώδεϊ (Γ 382)· εὐσέμῳ 26 εὔολον· συνετόν ⟨αἰόλον⟩ Ad 38: ἢ ὥριος. ἢ ὀλίγωρος 42 ἔφαιδον· διήρουν ἱερεῖον ⟨ἐφλίδων⟩ 45 ἔφαλον (Β 538. 584)· ἐπιθαλάσσιον. βραχυθαλάσσιον ⟨v. εὔφαλον⟩ 47 ἐφαλλόμενος· πηδήσας ⟨ἐφαλάμενος⟩

ἐφάμην· [ ] ἔλεγον. [ ] ἐδόκουν
ἐφάμιλλον (or. Att.)· ὅμοιον
Ἐφάμιος· Ζεύς ⟨v. Εὐφ—⟩ [52]
ἐφάπτεται· προσεγγίζει
ἔφανεν (Dor.)· ἔδειξεν, ἐφανέρωσεν
†ἐφαντίδας· πόρνας
†ἐφαπτός· ὑπὸ θεοῦ κεχαρισμένος
ἐφάργυυσαν (Cret. Sicul.?)· ἔφραξαν
ἐφαρδμόν· ἀρδευτὸν πεδίον ⟨4241⟩
†ἐφαρίξαντο· ἐψήσαντο
ἔφασαν· διηγοῦντο. ἔλεγον [61]
ἐφάτισαν (Herod. V 58)· εἶπον. διεφήμισαν [63]
ἐφαύλιζον· εὐτέλιζον [65. 66]
ἐφ' αὐτάς· πρὸς αὐτάς
ἐφάψαι· δῆσαι ἱμάντα (calcei)
ἐφέασθεν· ἐγέλασαν. διεχύθησαν
ἐφ' ἑαυτοῦ· καθ' ἑαυτόν [71]
ἐφεγρήσσων· ὁ ἀγρυπνῶν ⟨ἐπ—⟩
ἐφεδές· ἐπίπεδον, ταπεινόν, χαμαί
ἐφεδέτα(ι)· ἀρχή τις ἐν Σάμῳ
ἐφέδρα· πόα τις, ἣν καὶ ἵππουριν καλοῦσι
ἐφέδρανα· ἐφ' ὧν καθῆντο (οἱ) τὰς λύρας ἔχουσι. Φρύνιχος Ταντάλῳ (fr. 7). καὶ κίονος μέρος. καὶ οἱ γλουτοί (Aristot. HA. I 13). καὶ ὄργανα ἰατρικὰ εἰς καταρτι(σ)μούς
ἐφέδριζεν· ἐδίσκευεν. ἔπαιζεν
ἐφεδρίζειν· παίζειν τὴν λεγομένην ἐφεδριασμὸν παιδιάν, ὅταν περιαγαγὼν τὰς χεῖράς τις κατὰ νώτου, ἐκ τῶν κατόπιν βαστάζῃ τὸν νικήσαντα. ταύτην δὲ τὴν παιδιὰν Ἀττικοὶ ἐν κοτύλῃ λέγουσιν· ἄλλοι δὲ ..... τὴν συναφὴν τῶν χειρῶν, παρὰ τὸ†ν κρικίδον
ἐφεδρίσσων ⟨—ήσσων⟩· παρακαθήμενος
ἐφεδριστῆρας· τοὺς ἐπικαθημένους ἐν τῇ εἰρημένῃ παιδιᾷ
ἔφεδροι· ἐπιτηροῦντες
ἔφεδρόν τι (Hippocr. III p. 79 K)· ὀστοῦν τι ἐν ἡμῖν
ἔφεδρος· ταβλιστὴς τρίτος. ἐνεδρεύων (Callim. Del. 125). καὶ ὁ ὑφ' ἡμῶν ἐπίκληρος (Herod. V 41). καὶ δίφρος τις. καὶ ὁ ἐπιδίφριος [καὶ] χειροτέχνης
ἐφέζεται· ἐπικαθέζεται ⟨7400⟩ [85. 86]
ἐφεῖτο (Aesch. Prom. 4)· ἐνετείλατο [ad 87] [88]
ἐφέλης (Aeoles)· ἐπίαλτος ⟨4625⟩
†ἐφελγύνοντες· ἀλγύνοντες ⟨v. ἀφελγύνουσα⟩ [91]
ἐφέλκυσον· ἕλκυσον
ἐφέμεν· παρεῖναι
ἐφενάκιζον· ἐχλεύαζον
†ἐφενάπται· ἐπακολουθῆσαι. Λάκωνες
ἐφέξει· σταθῇ. ἀποκαθέξει. παύσει
ἔφεξιν (Ar. Vesp. 338)· χάριν. ἕνεκα. κώλυσιν. ἢ πρόφασιν
ἔφεξις· χάριν, ἕνεκα. ἐποχήν. πρόφασιν. Εὐριπίδης Πειρίθῳ (fr. 602). ἐπεξῆς ⟨ad ἐφεξῆς⟩ [99—7401]
ἔφεπεν· ἐφεῖπε. κατήπειγεν
ἐφέπεσκεν· εἶπε. περιέτρεχεν
ἐφέπεσχον (μ 330)· ἐπεπορεύοντο
ἐφεπόμενοι· ἐπακολουθοῦντες [6. 7]
ἐφέποντες (ι 121)· ἐπερχόμενοι. ἐπιδιώκοντες. ἐπιπορευόμενοι
ἔφερβεν· ἔτρεφεν
ἐφ' ἔργμασιν· ἔργοις
ἔφερσεν· ἐκύησεν
ἔφες· ἄφες. ἐπιβαλοῦ [ad 12]
ἐφέσει· ὀρέξει
ἐφέσεως· ἐπιθυμίας, ὀρέξεως
Ἐφέσια (Thuc. III 104, 3)· ἀγὼν ἐν Ἐφέσῳ ἐπιφανής
Ἐφέσια γράμματα (Anaxil. fr. I p. 345)· ἦν μὲν πάλαι (ϛʹ), ὕστερον δὲ προσέθεσάν τινες ἀπατεῶνες καὶ ἄλλα. Φασὶ δὲ τῶν πρώτων τὰ ὀνόματα τάδε· ἄσκιον, κατάσκιον, λίξ, τετράξ, δαμναμενεύς, αἴσιον. Δηλοῖ δὲ τὸ μὲν ἄσκιον σκότος, τὸ δὲ κατάσκιον φῶς, τὸ δὲ λίξ (γῆ, τετρὰξ

COD. 54 ἔφαμεν ⟨55 ἐφαπτίδας, πόρπας? 56 v. εὔφαπτος 58 εὔαρδμον?⟩ 62 |μησαν 69 cf. ἔασθεν Post 75] καὶ κίονος — καταρτιμούς 76 ἐφ' ἔδρανα 83 δίφρας τι ⟨95 cf. σουνεπτᾶσθαι⟩ 97 ἐφέξειν, χαίρειν, ἐν κακῷ ἢ λύσιν 98 ἐφέξις — ἐποχεῖν — ἔπεξις 7403 ἐφέσπεκεν 4 ἐφεπο| 8 |πτοντες 9 ἐφέρβει 10 ἐφέργμασιν 13 ἐφεεῖς 16 ἄσκι, κατάσκι, αἴξ — ὁ μὲν ἄσκι — αἴξ αὐτός

HES. Ad 49 φήθην (Ε 190). ὑπέλαβον (Ο 251) 52 ἔφαν (Γ 161)· εἶπον 61 ἔφασκεν (μ 275)· ἔλεγεν 63 ἔφατο (Π 548)· εἶπεν 65 ἐφαύλισα (Iob. XXXI 34)· ἀπέβαλον, φαῦλον ἡγησάμην 66 ἐφαύλισεν (Genes. XXV 34)· ἀπεδοκίμασεν 71 ἐφέβοντο (Ε 527)· ἔφευγον 85 ἐφηβία· νεότης 86 ἐφείλατο (Ε 61)· ἐφίλησεν Ad 87 ἐνετέλλετο 88 ἐφείω· ἐπενέγκω. ἐπιβάλω (Λ 567) 91 ἔφελλεν· ἐπεχείρησεν ⟨7486⟩ 99 ἐφέξω (Ω 117)· πέμψω 7400 ἐφέξεται· ἐπικαθέζεται (7384) 1 ἐφέπτειν (Υ 357)· ἐπακολουθεῖν. ἐπιπορεύεσθαι 6 ἐφ' ἑπταπόδην (Ο 729)· ζυγὸν ἕως, ἢ θρόνον, ἢ ὑποπόδιον ἑπτὰ πόδας ἐπὶ δώδεκα .... 7 ἔφεπτεν (Λ 177)· ἐπεδίωκεν Ad 12 ἐπίπεμψον (Ε 174)

δὲ ἐνι(αυτός, δαμναμενεὺς δὲ ἥλιος, αἴσιον δὲ ἀληθές. Ταῦτα οὖν ἱερά ἐστι καὶ ἅγια

ἐφέσασθαι· ἐπικαθῆσθαι (I 455?)

ἐφεσίαν· ἀντιποίησιν. ἐπιθυμίαν

ἐφέσι(μ)ον· ἐκκλητεύσιμον

ἔφεσις (Demosth.)· ἔκκλησις. ἐπιθυμία, ὄρεξις. καὶ ἡ ἐκ δικαστηρίου εἰς ἕτερον δικαστήριον μεταγωγή

ἐφεσπερεύεσθαι· ἑσπέρας ἐγρηγορέναι

ἐφε(σ)πόμεθα· ἀκολουθοῦμεν [23—25]

ἐφεστιασ(ά)μενος· εὐωχηθείς, εὐφρανθείς

ἐφέστιοι· [ad 27] ξένοι, ἐπίδημοι. οἰκέται ⟨ἰκ—?⟩. Σκυθῶν βασιλέως ἀποστάται

ἐφέστιος· αὐτόχθων. ἢ πολίτης [ad 28]

†ἐφέστα· τὸ ἑσπερινὸν δίκτυον

ἐφεστρίς· χλανίς

ἐφεστρίδες· τὰ ἐπιβλήματα

ἐφέται (Dem. Aristocr. § 37)· δικαστῶν εἶδος Ἀθήνησι, τῶν ἐφ' αἵματι δικαζόντων

ἐφέτας· τοὺς ἡγεμόνας τῶν Περσῶν καταχρηστικῶς (sch. Aesch. Pers. 79). κυρίως δὲ οἱ τὰς φονικὰς δίκας Ἀθήνησι δικάζοντες

ἐφέτην· καταληπτήν

ἐφετίνδα (Cratin. p. 184)· εἶδος παιδιᾶς, ὅταν σφαῖραν ἄλλῃ προτείναντες ἀλλαχῇ βάλλωσι, καὶ πεποίηται παρὰ τὸ φενακίζειν

ἐφετίς· παιδίσκη. διάκονος ⟨ἐπέτις?⟩

ἐφετμή (Ξ 249)· ἐντολή, ἐπιστολή, νουθεσία, πρόσταγμα

ἐφετμῶν· τὰ αὐτά

ἔφευξαν· ἔφυγον

ἐφέψει· καταλήψεται

ἐφεψιώμενοι· ἐπιπαίζοντες, ἐπισκώπτοντες

ἐφεψιόωνται (τ 330)· ἐπιπαίζουσιν. ἐπικαταλαμβάνουσιν. ἐφήδονται

ἐφέωται· ἐφεῖται

ἔφη· εἶπεν. ἔδοξεν. ἀπεκρίθη [45]

ἔφηβοι· οἱ ἡβῶντες. ἐλέγετο δὲ καὶ ἐπὶ παρθένων

ἔφηβος· παῖς μικρός, ἐν τῇ ἀκμῇ [48]

ἐφήδεσθαι· ἐπιχαίρειν, ἐπιτέρπεσθαι

ἐφήδοι(το)· τέρποιτο

ἐφηδόμενοι· χαίροντες

ἐφήθη (Cretic.)· συνεχωρήθη ⟨ἠφείθη⟩

ἐφήκατο· ἐνετείλατο

ἐφῆκε· ἐξεκαλέσατο. ἐφώρμησεν [ad 54]

ἐφήκει (Soph. Ant. 1257)· ἐφορμᾷ. ἐπέρχεται

ἐφήλιδες· περόναι. καὶ πάθος ἐπὶ προσώπου τραχύτητος (Hippocr. I p. 217). καὶ αἱ τοῦ ἡλίου ἐπικαύσεις, αἱ καὶ ἐφηλεῖς [57]

ἐφήλωσεν (Aesch. Ag. 492)· ἠπάτησεν

ἐφήμερα (Thuc. II 53, 2)· μετάβολα. φθαρτά

ἐφ' ἡμέρᾳ· ἐφ' ἑκάστης ἡμέρας [61]

ἐφημέριοι· ἄνθρωποι θνητοί, ἐπιθετικῶς

ἐφημερίων· ἀνθρώπων

ἐφήμερον· τὸ κώνειον (Nic. Al. 250). καὶ μύρον τι. καὶ ζῷον οὕτω καλούμενον, ὅπερ ζῇ μίαν ἡμέραν (Aristot. HA. I 53 V 231)

ἐφημίαι· ἀγροί. καὶ βέλτιον ἀφήμ†ης

ἐφημοσύνη (Apoll. 80, 3)· ἐντολή

ἐφ' ἡμῶν· ἐπὶ ἡμῶν. ἐν τοῖς χρόνοις ἡμῶν

†ἐφήμως· εὐφήμως [69. 70]

ἐφῆπται· περιῆπται. πρόσκειται [ad 71] [72]

ἐφησθεῖεν· ἐπιχαρεῖεν

(ἐφησθείς· ἐπιχαρείς)

ἐφήσθης· ἐχάρης

ἐφήσομαι· ἐπιθήσομαι. ἐντελοῦμαι (Ψ 82). ἐπισκήψω. ἐπισκέψομαι. πέμψω, ἀποστελῶ

ἐφθά· μαλακά, διὰ τὸ καίεσθαι

ἐφθαλέου· (ὀπτοῦ) [79]

†ἐφθιᾶ· ἀπέθανεν ⟨7483⟩

ἐφθίεται· ἔφθιται. τεθνᾶσιν ⟨ad ἔφθινται⟩ [82]

ἐφθίσθη· ἀπέθανεν [84]

ἐφθόν· τὸ ὠπτημένον

COD. 19 ἐγκλ| 21 ἐφεπορεύ| ⟨cf. ἐπιεσσάμενος⟩ 26 |ασμένος 32 διωκομένων 43 ἐφεῶται, ἐφῆπται 52 |ρίσθη Post 52] 7474 ἐφηθείς 56 περῶναι ⟨v. ἐφάντιδες⟩ ⟨57 L. εὔφαλος· ὑψηλολόφος⟩ 58 ἐπάτησεν 59 ἀμετ| ἀφθ| 65 βελτίοντα φήμης ⟨v. ἀφαμιῶται⟩ 74] post 52 77 ἔφθα ἐμάλασα 78 εφθαλες 83 cf. ἐψίσθη 85 ἔφθονον, τὸ ὀ|

HES. 23 ἐφέσσατο (Greg. Naz. Arc. VII 115 p. 16)· ἐπεβάλλετο 24 ἐφέσσαι (ν 274)· ἐπικαθίσαι τῇ νηΐ 25 ἐφέσσεσθαι (I 455)· ἐφέζεσθαι, καθέζεσθαι Ad 27 ἔνοικοι, ὅσοι ἑστίαν καὶ οἶκον ἔχουσι (B 125) Ad 28 ἢ ἔνοικος (γ 234) 45 ἐφηβίαν (II Macc. IV 9)· νεωτέραν ...... 48 ἐφήβων (II Macc. IV 12)· νεωτέρων Ad 54 ἔπεμψεν (Φ 524) 57 ἔφηλος· [ἔφυλος. ὑψηλοφόρος. ἢ] ἐφήλιδας ὡς ἥλους ἔχων εἰς τὴν ὄψιν (Levit. XXI 19) 61 ἐφημερία (LXX)· ἡ τῆς ἡμέρας λειτουργία 69 ἔφηνεν (B 318)· ἔδειξεν, ἐποίησε φανερόν ⟨v. ἔφανεν⟩ 70 ἐφήσεις (A 518)· ἀναπείσεις Ad 71 ἐπίκειται (B 15) 72 ἔφησθα (A 397)· εἶπας 79 ἔφθης (λ 58)· προέλαβες. ἔφθασας 82 ἐφθίατο (A 251)· ἐφθάρησαν 84 ἔφθιτο· ἐφθάρη (Σ 100), ἐτελεύτησεν

ἐφίαλεν· ἐπεχείρησεν
ἐφιάλτης· ὁ ἐπιπηδῶν
ἐφιγμένους· ἐπιτυχόντας
ἐφιδύειν· ὀκνεῖν [90]
ἐφιείς· ἐπιβάλλων, συγχωρῶν [ad 91]
ἐφίεμαι· ἐπιθυμῶ. καταλαμβάνω
ἐφιέμεναι· ἐνδιδόναι
ἐφιέμενοι· ἐπιθυμοῦντες
ἐφιέντα· ἐπιθυμοῦντα
ἐφιέμενος (υ 7)· ἐπιθυμῶν. ἐντελλόμενος
ἐφιέρεια· τὰ ἐπὶ τοῖς ἱερείοις ἀποθυόμενα
ἐφιζάνει· ἐπικαθέζεται
ἐφίημι· ἐφιέναι κελεύω, ἐπιτρέπω
ἐφίησι· ἐπιτρέπει
ἐφικέσθαι (Plat. Hipp. m. 432, 17)· καταλαβέσθαι ⟨—βεῖν⟩
ἐφικνεῖται· καταλαμβάνει
ἐφικνούμενος· νοῶν. φθάνων. ἐγγίζων. παραγενόμενος. ἢ γνούς
ἐφίκοιτο· παραγένοιτο. νοήσει(ε)
ἐφικτόν· δυνατόν. καταληπτόν
[ad 7506] φίλον ἐποιήσατο ⟨ad ἐφιλιώσατο?⟩ [7]
ἐφινίους· τὰς ἐπὶ τοῦ ἰνίου σάρκας
Ἔφιππος· Ζεὺς ἐν Χίῳ
ἔφιππος· ἀγὼν γυμναστικὸς παρὰ Λάκωσιν
ἐφ' ἵππων· ἐπὶ τῶν ἵππων [12]
ἐφιστάνουσιν· ἐκζητοῦσιν
ἐφιστορεῖν· ἐπερωτᾶν
ἐφίτυσεν (Aesch. Suppl. 47)· ἐγείνατο, ἐγέννησεν
ἔφλα (Ar. Plut. 718)· ἐμάλασσεν. συνεμίσγετο. συνῆν
ἔφλεγεν· ἔκαιε σφοδρῶς
ἔφλιβεν· ἔθλιβεν
ἔφλιδεν· διέρρεεν. ἐρρήγνυεν ⟨—γη⟩
(ἐφλίδων· διῄρουν ἱερεῖον) v. 7342
(ἔφλιψεν)· ἔθλιψεν

ἔφλυεν (Φ 361)· ἀνέβαλλεν. ἔστι δὲ τῶν πεποιημένων
ἐφλυάρει· ἐλήρει
ἐφλυήρει (Iones)· ἐλήρει, ἐμωρολόγει [23]
ἐφόβει· εἰς φόβον ἦγεν [25]
ἐφόβησαν· ἐδίωξαν [27]
ἐφόδια· ἁρμόδια εἰς ὁδόν [29]
ἐφοδεία· τὸ ἐπιέναι τὰς φυλακὰς τὸν ἄρχοντα
10 ἔφοδος (Xen. An. IV 2, 6)· ὁρμή. ἄφιξις. ἐπιδρομή. παρουσία. βλάβη
ἐφοίτησε· παρεγένετο
ἐφολκά (Thuc. IV 108)· τὰ ἀγαγεῖν δυνάμενα
ἐφόλκαιον (ξ 350)· ἐφολκίδα. πηδάλιον
ἐφόλκια· μικρὰ καράβια, παρὰ τὸ ἕλκεσθαι ὑπὸ τῶν κωπηλατῶν ἢ τῶν μεγάλων πλοίων
ἐφολκίδα (Eur. Andr. 200)· ἐπαχθείαν. σκάφος
20 ἐφόλκιον· διὰ τοῦ ῑ τὸ πηδάλιον, ἀπὸ τοῦ ἐφέλκεσθαι [38]
ἐφομαρτεῖτον· ὁμοζυγεῖτε
ἐφοπλίζει· παρασκευάζει, ἑτοιμάζει
ἐφόπτης· θεατής. αὐτόπτης
ἐφορεύειν (Aesch. Pers. 7)· ἐποπτεύειν, ἀπὸ τῶν ἐν Σπάρτῃ ἐφόρων
Ἐφόρκιος· Ζεὺς † ἐνκιτανωτάματι
ἐφορμήν· ὅθεν ἄν τις πολεμ(ί)ῳ ἐφορμήσειεν
30 ἐφορμήσαντα (Soph. Ai. 1143)· ἐπελθόντα
ἔφορος· ἐπίσκοπος, ἐπιστάτης, θεατής. θεός. ἐφόπτης
ἐφορμῷ· νεολκῷ
† ἐφοστρίδες· εἶδος ἱματίου
ἐφ' ὅτῳ· ἐφ' ᾧ τινι, ἐπί τινι [50. 51]
ἔφραδεν· ἐδήλωσεν ⟨πεφρ—⟩ [53]
ἐφράσθη (Eur. Hec. 546)· συνῆκεν, ἔγνω, ἐνόησεν, ἀνεγνώρισεν

COD. 86 cf. ἔφελλεν, ἠφίαλεν 89 cf. ὀφιδεύειν et Theognost. 7, 30 7500 ἐφιήσει 6 cf. ἐφείλατο 8 ἐφίνους — ἠνίου 18 ἔθλιψεν ἔθλιβεν; v. 7519b 30 ἐφόδια 34 ἐφόλκεον (40 cf. ἔφορος, ὀπτήρ) 42] post 47 47 ἐφόρῳ, νεόλκῳ (48 Et. Gud. 225, 16) 54 ἀνεγνωρίσθη post 55

HES. 90 ἐφίει (Ο 444)· ἐπιπέμπει Ad 91 ἐπιπέμπων (Α 51) Ad 7506 ἐφίλατο· ἐφίλησεν (Ε 61) 7 ἐφίληθεν (Β 668)· ἐφιλήθησαν 12 ἔφισεν· ὅρμησαι ⟨ἔφεσιν⟩ 23 ἐφνιδίως· ἀθρόως, ἄφνω 25 ἐφόβηθεν· ἐφοβήθησαν (Ε 498), ηὐλαβήθησαν 27 ἐφοδευσάτωσαν (Deuter. I 22)· κατασκοπησάτωσαν 29 Ἐφραΐμ ἀντίληψις τῆς κεφαλῆς καὶ Ἐφραΐμ (Ps. CVII 9) ὁ παράκλητος· κεφαλὴ δὲ ἡ διάνοια 38 ἐφομαρτεῖτον· ἐπιδιώκετε (Ψ 414)· ἐπισπεύδετε, ἐπακολουθεῖτε (Θ 191) 50 ἐφοὺδ βάρ (I Sam. II 18)· ἱερατικὸν ἔνδυμα. τὸ δὲ βὰρ μικρὸν λέγεται 51 ἐφοὺδ Ἑλληνικῇ ἐπωμίδι προσέοικε. γίνεται γὰρ τοῦτον τὸν τρόπον· ὑφανθὲν ἐπὶ βάθος πηχυαῖον, ἔκ τε χρωμάτων παντοίων, καὶ χρυσοῦ συμπεποικιλμένου, ἀπερίπτυκτον τὸ μέσον τοῦ στέρνου καταλιμπάνει, χειρῖσι τε ἠσκημένον, καὶ τῷ παντὶ σχήματι χιτὼν εἶναι πεποιημένον. τοῦτο τὸ ἐφοὺδ ἦν, τὸ ἔχον τοὺς δώδεκα λίθους· καὶ .... εἰς αὐτὸ ἐπηρώτων, ὅτε ἀπήρχοντο εἰς πρᾶγμα 53 ἐφρασάμην (ρ 161)· συνῆκα, ἔγνων

ἔφριxα· πεπλήρωτο (πέφριxε?)

ἔφριξεν· [ad 56] ἐδειματώθη. ἐπερρώσθη [57]

ἐφρύγη· ἡμιφλεxτος ἐγένετο

ἐφρυxτωρήθησαν (Thuc. III 80)· ἐπυρ†γάσαντο

ἔφυ· ἐγένετο

ἔφυγον xαxόν, εὗρον ἄμεινον (Demosth. cor. § 259)· [ad 61] [62. 63]

ἔφυδρος (ξ 458)· ὕδωρ ἄγων

ἐφ' ὕδωρ λαχεῖν· λαγχάνει τις ὕδωρ παρατηρήσων τὸ ἐν ταῖς δίxαις

ἐφυμνεῖς· ἐπᾴδεις. Σοφοxλῆς Ἀλεάδαις (fr. 88)

ἐφύμνια· ᾠδαί [68]

ἐφυπνῶσαι· xαθευδῆσαι

Ἐφύρη· ἡ νῦν Κόρινθος, xαὶ Κίχυρος xαλουμένη ἐν τῇ Ἠπείρῳ, xαὶ ἡ Οἰνόη

ἔφυρον· ἔβρεχον (Ω 162 non Aesch. Prom. 450). ἐμόλυνον. ἔπλυνον

Ἐφυρους (Ν 301)· τοὺς Ἀxαρνᾶνας

ἔφυς· ἐβλάστησας. ἐγένου

†ἔφυσαν· ἐπάτησαν

ἐφυσίασεν· ἀνέπνευσεν

ἐφυσίησεν· ἀνέπνευσεν

ἐφυσίησα· †ἐπυρρίησα. ἐπερρώσθην [78]

†ἐφώδει· ἐπέληγε. Λάxωνες [80. 81]

Ἐφωδίων (Ar. Vesp. 1186)· Ἐρατοσθένης διὰ τοῦ τ̄ Ἐφωτίωνα ἀναγράφει, Μαινάλιον περιοδονίxην παγxρατιαστήν· ὁ δὲ Πολέμων (p. 95) διὰ τοῦ δ̄ [83]

ἐφωπλίζοντο· παρεσxευάζοντο

ἐφωράθη· ἠλέγχθη. ἐθριαμβεύθη

ἐφώρμησεν· ἐνέσxηψεν

†ἐφώσια· τὰ νομιζόμενα [88—92]

ἐχάλασεν· ἐνέδωxεν. ἀφῆxεν

ἐχαλέφθη· ἐχαλέπηνεν

ἐχάλεψεν· ἐxάxωσεν

ἐχάνδανεν (cf. ρ 344)· ἐχώρει [97]

ἐχάνη· σxεῦός τι ὁδοιποριxόν [99. 7600]

ἐχάσατο· ἀνεχώρησεν. ἀπέστη

ἐχε· ἐγεγαμήxει

ἔχεαι (σ 122 υ 200)· συνέχῃ

ἐχέγγυος (Eur. fr. 646)· ὁ ἀσφαλὴς ἐγγυητής

ἐχεγγύῳ (Eur. Andr. 192)· πιστῷ. βεβαίῳ. ἐξ αὐτοῦ ἔχοντι τὴν ἐγγύην

ἐχέγγυοι· ἀξιόπιστοι

Ἐχεδημία· ἡ νῦν Ἀxαδημία xαλουμένη

Ἐχεδωρίδες· αἱ νύμφαι [9]

ἔχει· xατέχει, xρατεῖ. νέμεται. διείργει. τημελεῖ. ἀξιοῖ. βαστάζει, φέρει. ὑπομένει [11]

ἐχειμάσθη(ν Soph. Ant. 391)· ἐταράχθη(ν). τὴν ζάλην ὑπέμεινα

ἐχειμίων· ἐρρίγων. xαὶ ἐχείμων. (Λάxωνες)

ἔχει τέλος· τετελεύτηxε

ἐχειρούργει· ἔπραττεν

ἐχεxήλην· xηλήτην [17]

ἐχεμυθεῖ· ἔχει ἐν ἑαυτῷ τὸν λόγον σιωπῇ

ἐχεμυθεῖν· σιωπᾶν, λόγους στέγειν

ἐχέμυθος· ἔχων ἐν ἑαυτῷ τὸν λόγον, ἤτοι xρατῶν τὸν λόγον σιωπῇ

ἐχενηΐς· εἶδος ἰχθύος

ἐχεπευxές (Δ 51)· ἔχον πιxρίαν

ἐχέπωλοι· ἱππιxοί. ἱπποτρόφοι

ἐχεργμάζομεν· τὴν γῆν εἰργαζόμεθα

ἐχεσαμία· ὅτε θέρους ὄντος ψαxάζῃ, ἢ βροντήσῃ

ἐχέσxει (Aeoles?)· ἀνιᾶται [27]

ἔχεσφιν (Boeoti)· ἅρμασιν

ἔχεται· ἕπεται. ἀντιλαμβάνεται

COD. 72 ἀxάρνας (79 ἐλώφη?) 82 Ἐφώδιον — ἐφώτιον — μέναλον περιοδιxόν 97 cf. ἤχανεν 7602 ἐχεγεγαμέxει 4 ἐγχήτης 8 |ώριδες 13 ἐρρίγουν Post 14 Λάxωνες 21 ἐχενιΐς 19. 20. 21 = 21. 19. 20 ⟨24 cf. νεώχερμος⟩ 25 |ζει ἢ βροντῇ (σ)

HES. Ad 56 ὀρθὰ δόρατα ἔσχεν (Ν 339) 57 ἐφρύαξαν (Ps. II 1)· ἐxινήθησαν. ἐπά⟨ή⟩ρθησαν. συνή⟨χ⟩θησαν Ad 61 νόμος ἦν Ἀθήνησιν ἀμφιθαλῆ παῖδα ἀxάνθαις μετὰ δρυείων στεφάνων στέφεσθαι, xαὶ τὸ λίxνον ἄρτων ἀναλαμβάνειν πλῆρες, εἶτα ἐπιλέγειν· ἔφυγον xαxόν, εὗρον ἄμεινον· τὸ γὰρ ἐx τῶν δρυῶν xαὶ ἀxανθῶν xάμμα xαxὸν ἔλεγον 62 ἐφ' ὑγρὴν (α 97)· ἐπὶ τὴν θάλασσαν 63 ἐφύζα (Ι 2)· ἐφύσα ⟨7640⟩ 68 ἐφύπερθεν (ι 383)· ὑπεράνωθεν 78 Ἔφυροι· ἔθνος 80 ἐφώδευσεν (Iudith. VII 7)· ἐπέρασεν 81 ἐφωδιάσθημεν (Iosu. IX 12)· τὰς χρείας τῆς ὁδοῦ ἐλάβομεν 83 ἐφ' ᾧ πάρει (Matth. XXVI 50)· ἐπὶ ποίῳ σxοπῷ πάρει, xαὶ παραγέγονας ἐνταῦθα 88 ἐφώτισεν (IV Regg. XII 2)· ἐδίδαξεν 89 ἐφώτω, ἐφώνει. ἐπετίνει ⟨ἐφ' ὅτῳ· ἐφ' ᾧ, ἢ ἐπὶ τίνι⟩ 90 ἔχαδε (Θ 461)· xατέσχεν. ἐχώρησεν (Δ 24) 91 ἐχάζετο· ὑπεχώρει (Λ 585), ἀνεχώρει 92 ἐχάζετο xεραλεείνων (Γ 32)· ἀνεχώρει τὸν θάνατον ἐγxλίνων 97 ἔχανεν· ἤνοιξεν (Genes. IV 11). ἐxάλει. συνεῖχεν 99 ἐχαράxωσεν (Ierem. XXXII 2)· ἐxύxλωσεν. ἐπολιόρxησεν 7600 ἐχάραξαν (IV Regg. XVII 11)· ἤρξαντο ...... 9 ἔχεεν (Ζ 419)· ἔχωσε, χῶμα ἤγειρεν 11 ἔχεες· ἔχεις, ἢ εἶχες (Φ 441) 17 ἐχέμεν (Δ 302)· ἔχειν 27 ἔχεσxε (Β 126)· xατεῖχεν

ἐχέτλαις· ἀροτριάμασιν. αὔλαξιν

ἐχέτλη· ὃ κατέχει ὁ ἀροτὴρ τοῦ ἀρότρου. καὶ ἡ αὔλαξ. καὶ ἡ σπάθη τοῦ ἀρότρου

ἐχετλεύειν· ἀροτριᾶν [33—40]

ἐχεων (Plat. Euthyd. 290 A)· ἐχιδνῶν

ἔχῃ (ι 6)· κατέχῃ [43]

ἐχθαίρειν· μισεῖν

ἔχθεται (Aesch. Ag. 417)· μισεῖται

ἐχθειάσας (Cretic.)· μεγάλως θαυμάσας [47. 48]

ἔχθιμα· μισήματα. Σοφοκλῆς Τυροῖ α' (fr. 584) [50. 51]

ἐχθοδοπός (Ar. Ach. 226)· ὁ ἔχθραν ποιῶν

ἐχθοί (Cret.)· ἔξω

ἐχθραίνειν· μισεῖν

ἔχθος· πόνος (= ἄχθος). μῖσος

ἔχθρασμα· ἔχθρα

ἐχθῦσαι (Cret.)· ἐξεμέσαι

ἐχθύσῃ (Cret.)· ἐκφυσήσῃ. ἐκπνεύσῃ [59]

ἐχῖνος· μικρὸν τῆς θαλάσσης ζῶον, ἢ τὸ πετεινόν [61]

ἐχῖνοι· πέμμα νησιωτικόν, ὡς πλακοῦς. καὶ κοιλίας μέρος τῶν μηρυκαζομένων ζώων (Callim. fr. CCL). καὶ τῶν πτηνῶν ἡ κοιλία. καὶ σκεῦος μαγειρικόν (Callim.). καὶ τῶν δρυῶν οἱ κύτταροι. καὶ τῶν πλατάνων ὁ καρπός. καὶ τῶν κιονοκράνων μέρος. καὶ τοῦ χαλινοῦ μέρος (Xen. Eq. X 6). καὶ οἱ τῶν τειχῶν ἀγκῶνες. καὶ λοπάς. καὶ ζῶον θαλάσσιον ἐδώδιμον. καὶ εἶδος ῥοιῶν. καὶ μύες (Herod. IV 192). καὶ οἱ ἀκανθόχοιροι

ἔχλυσεν (Cret.)· ἔκλυσεν

ἐχμάζει· κωλύει. ἡσυχάζει. στηρίζει. κρατεῖ. δεσμεύει

ἔχμασον· ἐπίσχες, κατάσχες

ἔχματα (Μ 260)· κωλύματα, ἀπὸ τοῦ ἐπέχειν, ἐρείσματα ὑδάτων

† ἔχμενος· ὑποτεταγμένος (ἄτμενος?)

ἔχναυον· ἐπέκνιζον (περιέ—)

ἐχνόαζεν· πρῶτον ἤκμαζεν

ἔχοιτο· συνέχοιτο. ἀντέχοιτο [71]

ἐχόλωσεν (Soph. Tr. 1035)· εἰς ὀργὴν ἤγαγεν [73—75]

ἐχόμην (ι 435)· ἐξειχόμην. ἀπειχόμην [77]

ἔχον(σ)ι· ἔχουσι. Κρῆτες

ἔχου (Soph. fr. 25)· μεταποιοῦ. φρόντιζε [80—82]

ἔχραε· ἔφη

ἔχραυσεν· ἐπέτυχεν

ἐχραύτιζεν· ἴξευεν

ἔχρηζεν (Soph. OT. 1274)· ἐδεῖτο. ἱκέτευεν [87]

ἐχρῆν· ἔδει. ἔπρεπεν

ἔχρησεν· ἐμάντευσεν. ἠθέλησεν. ἔδω(κε) χρησμόν

ἔχριμψαν· ἐνέπεσαν. ἐπλησίασαν

ἔχρισεν· ἐκέντησεν [ad 91]

ἐχρωματίσθη· συνεχρώσθη. Σοφοκλῆς Ἀθάμαντι (fr. 9) [93]

ἐχρωτίσθη· ἐχρωματίσθη

ἐχύη· ἐχύθη

ἐχύμισαν (Ar. Thesm. 162)· ἤρτυσαν

ἐχυρά· πιστή, καὶ βέβαιος, ἀσφαλής, ἰσχυρά, ὀχυρά

ἐχυρίσαι· τῷ διὰ χειρὸς ὅρκῳ συνθέσθαι. καὶ κρατηθῆναι (—τῦναι?)

COD. 42 |ει bis 49 τυράννοις 53 ἔχθοι 58 ἐχθύσση — σῃ — σης 62 μυρικαζομένων 65 cf. κατέχμασον. κατέσχες 69 ἐγνόεζεν 71 ὤργισεν 83 ἔχρας, ἔφυ 90 ἔπεσαν 96 |ησαν bis 98 |ῆσαι (δι' ἐνεχύρου?)

HES. 33 ἔχετο (Ζ 398)· ἐγαμεῖτο 34 Ἔχετος (σ 84)· ὄνομα βασιλέως τυράννου. οὗτος βασιλεὺς Ἠπειρωτῶν ὠμότατος, Αὐχήνορος καὶ Φλογίας παῖς, γνοὺς τὴν θυγατέρα ἐφθάρθαι, ἐτύφλωσε, καὶ ἠνάγκασεν ἀλεῖν σίδηρον· τινὲς δὲ χαλκᾶς κριθάς· ἐκαλεῖτο δὲ Μετώπη. καὶ εἰς τοσοῦτον ὠμότατος ἦν, ὥστε καὶ τὰ ὦτα ἀφαιρεῖν καὶ τὰς ῥῖνας καὶ τὰ αἰδοῖα τῶν παριόντων. μέμνηται καὶ Ἀπολλώνιος (Arg. IV 1092) τῆς ἱστορίας 35 ἔχευαν· ἔχεαν (Ι 174), κατέχυσαν 36 ἐχεύατο (Η 63)· ἐξεχύθη, διεχύθη 37 ἔχευε (Ι 215)· κατέχυσεν 38 ἔχε φρεσί (Β 33)· μνημόνευε 39 ἐχέφρων (Ι 341)· συνετός, ἔχων φρένας, σώφρων 40 ἐχεφύζα (Ι 2)· ἐφύσα. εἶχε φυγεῖν (v. ἐφύζα) 43 ἔχθεα (Γ 416)· ἔχθρας, μίση 47 ἐχθιδοποιήσεις· ἐχθροποιήσεις 48 ἐχθίστων (Cantic. 3 puer. 8)· μεμισημένων, μυσαρῶν, ἐχθροτήτων 50 ἔχθματα (Μ 260)· στηρίγματα 51 ἐχθοδαπῆσαι (Λ 518)· διεχθρεῦσαι 59 ἔχιγγος· σκότωσις (εἴλιγγος) 61 Ἐχινάων (Β 625)· νήσων, αἳ καλοῦνται Ἐχινάδες 71 ἐχολώσατο (Ο 155)· ὠργίσθη 73 ἐχόμενα τρίβου (Ps. CXXXIX 5)· πλησίον, ἐγγυτάτω 74 ἐχόμενοι (Ps. XCIII 15)· ἐγγίζοντες 75 ἐχόμενος (Ezech. I 15)· ἀντεχόμενος. πλησίον 77 ἔχον· εἶχον (Λ 463). ἤλαυνον. ἐφύλασσον (Ι 467) 80 ἔχραεν (Ε 396)· ἐπεβάρησεν 81 ἔχραε κήδειν (Φ 369)· ἐπεβάρησε πρὸς τὸ βλάπτειν 82 ἔχραον (Β 50)· ἐπέκλυσαν. ἐπέθεντο. ἐβάρησαν κατὰ βίαν. ἀθρόοι προσῆλθον (v. ἐπέχραον) 87 ἐχρηματίσθη (Actt. Ap. X 22)· προεφυτεύθη Ad 91 ἐπήλειψεν (γ 466) 93 ἐχρόωντο· ἐλάμβανον. ἐξελάμβανον

ἐχυρόν· δυσαντίρρητον. ἀσφαλές
ἐχυρόφρονες· αἱ σπουδαῖα φρονοῦσαι. ἢ ἀσφαλεῖς ἐν φρονήσει
ἐχυρῶς (Thuc. V 26)· ἰσχυρῶς, ἀσφαλῶς [7702]
ἐχώμεθα (Ξ 129)· ἀπεχώμεθα. ἀντεχώμεθα. ἀντιλαμβανώμεθα [4. 5]
ἑψαθήλατο· ἐκνήσατο
ἐψάκασεν· ἔσταξεν
ἐψαλάσατο· ἔψαυσεν. † ἐκινήθη
ἑψάναι· αἱ τῶν λαχάνων δέσμαι
ἑψάνη· ἑψητήριον. λοπάς ⟨onom.⟩
ἕψατο· ἠκολούθησεν
ἕψεαι (Ω 733)· ἐπακολουθήσεις
ἕψεια· παίγνια
ἑψ[ε]ίη (Nic. Th. 880)· γέλως. παιδιά
ἕψειν· τὸ τὰς τρίχας βάπτειν
ἕψημα (Hippocr. I p. 685)· ὅπερ ἔνιοι σίραιον καλοῦσιν, ἄλλοι γλυκύ
ἕψεο· ἀκολούθει, ἕπου [18]
ἐψεύσθη· ἠπατήθη. ἀπέτυχεν
ἑψητήριον· ἑψάνη. ἡ λοπάς ⟨onom.⟩
⟨ἑψητοί Eupolis⟩· τὰ μικρὰ ἰχθύδια
ἑψητοῖς (Ar. Vesp. 677)
† ἑψήσεται· καταπαίξεται ⟨ἑψιη—⟩
ἑψία· γέλως, παιδιά, χλεύη. ἔφοδος· ἀπὸ τοῦ ἕπεσθαι. ὁμιλία. Σοφοκλῆς Ἀθάμαντι δευτέρῳ (fr. 3)
ἑψιαάσθων (ρ 530)· παιζέτωσαν. † ἀκολουθείτωσαν
ἑψιᾶται· γελᾷ. παίζει. γυμνάζεται
ἑψιατέον· παικτέον
ἑψιατικόν· γυμναστικόν. παιγνιῶδες
† ἑψιάωνται· ἀκολουθήσωσιν ⟨7730. 32⟩
ἕψιδεν· ἔκλαυσεν (Theognost. 13, 11)
ἐψιλωμένη· ἐὰν μὲν μακρῶς, ἔσται κεχαρμένη καὶ ψιλή, ὅπερ ἔνιοι ἑτερόμαλ(λον)· ἐὰν δὲ βραχέως, ἔσται δασεῖα, ἐπεὶ τὰ ψίλα τοὺς κροσσοὺς περὶ τὰ ἄκρα δηλοῖ

ἑψίονται (Cret.)· ἀκολουθήσουσιν
† ἑψίωνται· ἀκολουθήσουσιν ⟨7728. 31⟩
ἑψιόωντο (Callim. Cer. 39)· ἔπαιζον
ἔψισεν (Hippon. fr. 32)· ἐψώμισεν
ἐψίσθη· ἀπέθανεν ⟨v. ἐφθίσθη⟩
ἑψιωμένω· παίζοντες ⟨δυϊκῶς⟩
ἑψόμενον· ἀκολουθησόμενον
ἔψυθεν· ἐψεύσατο
ἔψυξεν· ἀπέπτυσεν. ἀπεδίωξεν
ἐψυχαγώγησας· παρεμυθήσω. ηὔφρανας;
† ἕψομαι· ἀκολουθήσω, ὀπαδήσω
ἕω· εἰ ψιλούμενον τὸ ὑπάρχω (Λ 119). ἀνατολήν [ad 42]
εω· [ad 43] παραχωρῶ, ἀφῶ
ἑώα· ἀνατολή. καὶ ἡ τοῖς προβάτοις περιτιθεμένη διφθέρα ⟨ὀέα, ὤα⟩. καὶ θυσία ἐν Κύπρῳ
ἕωθεν· ⟨ἅμ'⟩ ἡμέρᾳ, ὄρθρου. πρωΐμα
ἑωθινὴ δίκη· ὡς μέν τινες ἡ ἕως τινὸς τιμήματος· ὡς δέ τινες ἕως τόπου· ἔνιοι ἀπὸ τῆς ὥρας, τῆς ἕω, ὃ καὶ βέλτιον
ἑωθινός (Soph. fr. 459)· ὀρθινός [48. 49]
ἑωλοκρασία (Dem. 242, 12)· χθεσινὴ μέθη. ἕωλος κρᾶσις, ἣ παρ' Ἀθηναίοις κατεχεῖτο τοῖς παννυχίζουσι, διὰ τὸ μὴ δύνασθαι στέγειν τὸ παννυχίζειν
ἕωλον· χθιζόν, ἐχθεσινὸν [ad 51] ἀεὶ δασέως λέγεται ψυχρόν [52]
ἑῶμεν (Τ 402)· ἄδην ἔχωμεν, κορεσθῶμεν. ἀφῶμεν (Β 236) [54. 55]
ἐωνημένων (Plat. Civ. 563)· ἀγορασάντων, ἢ ἠγορασμένων
ἐῳνοχόει· διηκόνει [ad 57]
ἐών περ· καίπερ ὤν
ἐῶν χαίρειν· παραπεμπόμενος
ἔῳξεν· ἀνέῳξεν [61]
ἑῷος· ὀρθρινός, πρωϊνός [63]
ἐωρηθήτω· κρεμασθήτω
ἐωρίζεται· μετεωρίζεται. ἀναπατεῖ
ἑωρούμενος· κρεμάμενος. ὑψούμενος

COD. 14 ἑψείη 15 ἑψεῖν 16 σειραί 27 ἑψιάτιμον ⟨28 schol. Apoll. Rh. I 457⟩ 29 ἤκουσε; cf. ψιζομένη, ψίνδεσθαι 30. 31 = 31. 30 30 ἐψηλ — γεγραμμένη — περὶ — ψιλὰ — ἐπὶ 31 cf. 7728. 32 36] post 41 ἑψωμένω 38 ἀπόπτευσεν 42 ἐώει 43 ἔω 44 παρατ| 45 cf. ἠῶθεν 50 ἐ| — ἐ| κρᾶσις 51 διὰ δ. δὲ ψ. 57 διεκόνει 58 ὢν

HES. 7702 ἐχώλαναν (Ps. XVII [XVIII] 46)· ἔκλιναν 4 ἔχων· φέρων (Γ 17). οἰκῶν. κατέχων (Λ 14) 5 ἐχώσατο (Λ 64)· ὀργίσθη, ἐχολώθη 18 ἕψεται (Δ 415)· ἀκολουθήσει Ad 42 ἢ ἰδίῳ (Λ 47) Ad 43 τῷ ἑαυτῷ (Κ 204). συγχωρῶ (Θ 428) 48 ἐῴκει (Β 58)· ὡμοιῶτο 49 ἑῷ· τῷ ἑαυτῷ (Κ 204). τῷ ἰδίῳ (Λ 47) Ad 51 [ὅν. ἀνατολικόν, ὀρθρινόν] 52 ἐώλπει (Τ 328)· ἤλπιζεν 54 ἑωμοῦ ⟨ἑανοῦ⟩· ἱματίου γυναικείου 55 ἑῶν· ἰδίων αὐτοῦ δασέως (Ω 211)· ψιλῶς δὲ ὑπάρχων (Λ 131) Ad 57 ἐνέχει (Δ 3) 61 ἐώρα· νόσος ⟨ψώρα?⟩ 63 ἐώργεν (Β 273)· εἴργασται

ἔωρτο· ἐκρέματο
ἕως· ἡ πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς ὥρα
ἕως· ὄρθρος, ἡμέρα. ἀπὸ τοῦ ἕως ταύτης ἡμᾶς κατακεκλίσθαι, ἢ διὰ τὸ ἴεσθαι ἐν αὐτῇ [70]
† *ἐώσας·* τὸ χαλᾶν τὸ αἰδοῖον [72]

Ζ

Ζᾶ· μέγα. ἰσχυρόν. πολύ. ὅθεν καὶ *ζάπλουτος* ὁ μεγαλόπλουτος
† *ζάβατος·* πίναξ ἰχθυηρὸς παρὰ Παφίοις
ζαβάλλειν (Aeoles)· ἐξαπατᾶν
ζαβλεμέ[ν]ως· μεγάλως πεποιθώς
ζάβοτον· πολύφορβον. πολύκτηνον
ζαβρόν· πολυφάγον
Ζάγκλη· δρέπανον. καὶ ὄνομα πόλεως
(*ζάγκλον·* [Callim. fr. XXII. CLXXII] δρέπανον) cf. 25
ζάγρη· βόθρος. λάπαθον
Ζαγρεύς· Διόνυσος (Callim. fr. CLXXI)...... δοκεῖ γὰρ (ὁ Ζεὺς) μιγῆναι τῇ Περσεφόνῃ, ἐξ ἧς χθόνιος Διόνυσος [10]
ζάει· † βινεῖ. καὶ πνεῖ. Κύπριοι
ζαέντες· πνέοντες [13]
ζαές· μέγα, πολύ. λαμπρόν. ἰσχυρόν [15]
ζαής (M 157)· μεγάλως πνέων, πολύπνους [17]
ζάθεον· ἄγαν θεῖον. εὐῶδες
ζαθέου (cf. Eur. Bacch. 121)· ἄγαν θείου. θαυμαστοῦ
ζαθερές· μεσημβρινόν. ἰσχυρῶς θερμόν [21]
ζαιός· εἶδος ἰχθύος (*faber*)
ζακαλλές· περικαλλές
ζακελτίδες (Nicand. fr. 132)· κολοκύνται. ἢ γογγυλίδες [25]
ζακόρεια· θυσία Ἀφροδίτης
ζάκοροι· νεωκόροι. ἱερεῖς. παρὰ τὸ τὸν ναὸν σαροῦν (v. ὑποζ—)
ζακόρων· νεωκόρων. ἱερέων
ζάκοτον (Γ 220)· ἄγαν ὀργίλον
ζακυνθίδες (Lydi)· κολοκύνται [31. 32]
ζάκτι· κρίμνου ἐν ἔτνει ἑφθῷ
ζάλ· μέγα. ἰσχυρόν. πολύ (v. τάλα)
ζάλα· θόρυβος
ζάλαινε· μώραινε
ζάλακες· ἐχῖνοι
ζαλαύδα· κινοῦ [39]
ζαλεῦ (Dor.)· μιμοῦ
ζάλη· συστροφὴ ἀνέμων μεγάλων. ἔνιοι δὲ μετὰ ὄμβρου πνοή (Aesch. Ag. 656), ταραχὴ ὑδάτων, ἢ κλόνος
Ζάλμοξις· τοῦτον Ἡρόδοτος (IV 94) μέν φησι τοὺς περὶ τὸν Πόντον οἰκοῦντας Ἕλληνας λέγειν δοῦλον Πυθαγόρου γενέσθαι, εἶτα ἐλευθερωθέντα καὶ πλεύσαντα ἐπανελθεῖν, καὶ σωφρονεστέραν μαθόντα δίαιταν καὶ Ἑλληνικήν, τοὺς πρώτους τῶν Ἀστῶν συνάγειν καὶ εὐωχεῖν, λέγοντα, ὡς οὔτε αὐτός, οὔτε οἱ συμπόται τεθνήξονται. ἄλλοι δὲ (τὸν αὐτὸν) τῷ Κρόνῳ εἶναι λέγουσιν
ζάλον (Nic. Th. 568)· πηλόν
ζαμάτιον· τρύβλιον
ζάματος· πίναξ ἰχθυηρὸς παρὰ Παφίοις ⟨2⟩
ζαμβύκη· μουσικὸν ὄργανον
ζαμέλης (Aeoles)· [ad 47]. μέγα μέλος ἔχων
ζαμενές· [ad 48] σφοδρῶς πνέον (πνεῦμα)
ζαμενής (sch. Pind. P. IX 39)· ἄγαν ἰσχυρός
ζαμεν†οῖσιν· σφοδροῖς
ζαμῆται· μεγαλουργοί [51a]
ζαμία (Ar. Ach. 737)· βλάβη. ζημία
Ζάν (Ar. Av. 570)· Ζεύς

COD. ⟨68 ἄωρτο ἔορτο ἤωρτο⟩ 69 |κλεῖσθαι — οἴεσθαι (ἐ superscr.) Z 2 ἰθυηρὸς π παφίας ⟨v. ζάλματος 4 cf. ζαμελής et βλεμεαίνειν⟩ Panyas. XX 8? 11 κινεῖ? 22 ζαῖος Cyr. Voss. ζάξεος — οὕτως Ὀππιανός Cyr. Alb. 23 *ζακαλθές* 24 cf. θικέλιον 25 *ζακορία* 30 *ζακαύθιδες* 33 κριμνοῦ ἐν ἔθνει 43 *ζαλμάτιον*, cf. γάμβαθον, γάμβριον 44 *ζάλματος* — ἰθυηρὸς — παφίας Post 45] 42 *ζάλμόξης* — ἀπελθεῖν — ἀφρονεστέραν — ἀστῶν — τεθνήξαντο — τῷ Κρόνῳ 46 *ζαμβίκη* 51 μεγαλουρ (γ superscr.) 52 *ζαμίη* 53 *Ζᾶν*

HES. 70 *ἕως ῥά·* οὕτω δή ⟨ὥς ῥα⟩ 22 *ἑωσφόρος* (Ψ 226)· ἀνατολικὸς ἀστήρ, ὁ τὸν ὄρθρον φέρων. λέγει δὲ τὸν φωσφόρον Z 10 *ζαγῶσαι* ⟨ζατ—⟩· ὑποπτεῦσαι. Δωρικὴ ἡ λέξις: ἀντὶ τοῦ ἐπισχεῖν, κατασχεῖν ⟨ζυγῶσαι⟩ 13 *Ζαβουλών·* ῥύσις νυκτερινή, τουτέστι χύσις σκότους 15 *ζαῆν ἄνεμον* (μ 313)· σφοδρῶς, μεγάλως πνέοντα 17 *ζαθέην·* ἄγαν θείαν (Α 38). θαυμαστήν (Δ 452) 21 *ζάθροι·* θείαν 25 *ζάικλον·* δρέπανον 31 *Ζάκυνθος* (ι 24)· νῆσος. καὶ πόλις 32 *ζακρεεῖς·* εὔχρηστοι ⟨80⟩ 39 *Ζαλειῆς* (Δ 103)· πόλις. καὶ θάλασσα Ad 47: μεγάλως πεποιθώς. ἔμψυχος ⟨ad ζαβλεμής⟩ Ad 48: μεγάλως ἔμψυχος 51a *Ζάμολξις·* .....

ζανίδες· ἡγεμονίδες

†ζαροῦν· καθεύδειν

ζάπεδον (Xenophanes)· μέγα ἔδαφος

ζαπιμελόν· μεγάλως πῖον, λιπαρόν

ζάπλουτος (Eur. fr. 287, 6)· πλούσιος πάνυ

ζαπότην· ἰσχυροπότην

†ζαρικές· ἐπίθετον πελαγῶν

Ζαρῆτις· Ἄρτεμις. Πέρσαι

ζαρτός· ζωμὸς τριπτός

ζατές (Cyprii)· ζητεῖς

ζατήσασθαι· αἰσθέσθαι

ζατράπης· ὁ βασιλεύς

ζατρεφές· ε(ὐ)τραφές

ζατρεφέων (Π 223)· [ad 67] μεγάλως τεθραμμένων

ζατῶσαι· ὑφορῶσαι. [ad 68] ὑπονοῆσαι (ὑποπτεῦσαι. Δωρικὴ ἡ λέξις)

Ζαυάνας· θεός τις ἐν Σιδῶνι [70]

ζαφεγγεῖς· λαμπροὶ καὶ ἐπιφανεῖς πάνυ

ζαφελές· ἄγαν σκληρόν. ἢ μεγάλως ηὐξημένον. [ad 72] ἄγριον. θυμῶδες. ἰσχυρόν

ζαφελῶς (Ι 516)· μεγαλοκότως

ζαφλεγέες (Φ 465)· σφόδρα λάμποντες. εὐθαλεῖς. μεγάλως πνέοντες [ἢ μεγαλοφεγγεῖς

ζαφλεγής· σφοδρῶς, ἰσχυρῶς .....

†ζαφορῆσαι· μεγάλως φορτῆσαι

ζαφόρος· πολυφόρος

†ζαγμά· ἡνία

ζαχραεῖς· ἐξαπιναίους

ζαχρεές· ἰσχυρόν ⟨ad ζαχρηές⟩. εὔχρηστον ⟨32⟩

ζαχρηῶν· ἰσχυρῶν ἐν ταῖς μάχαις. ἰσχυρῶς πνεόντων (Ε 525). μεγάλως ἐμπελαζόντων [82. 83]

ζβίχ (Thespis)· λευκόν

Ζέα· ἢ †ἑκάτε παρὰ Ἀθηναίοις. καὶ εἷς τῶν ἐν Πειραεῖ λιμένων, οὕτω καλούμενος ἀπὸ τοῦ καρποῦ τῆς ζειᾶς· ἔχει δὲ ὁ Πειραεὺς λιμένας τρεῖς κλειστούς

ζέβυται· σέσακται

ζεγερίαι (Herod. IV 192)· μυῶν γένος [88]

ζέει· φλέγει

ζειά· οἱ μὲν σίτου εἶδος, οἱ δὲ τὰς ὀλύρας

ζειγαρά· ὁ τέττιξ παρὰ Σιδήταις

ζείδωρος (Β 548)· βιόδωρος, ἢ (τὰ) πρὸς τὸ ζῆν δωρουμένη γῆ. ἄρουρα

ζείνυμεν· σβέννυμεν ⟨col. 197, 7⟩

†ζειπίτις· ὁ περιχύτης

ζείουσαν· ἀφρίζουσαν

ζειρά· οἱ μὲν εἶδος χιτῶνος, οἱ δὲ ζώνην· βέλτιον δὲ ἄλλο τι ἐπιβόλαιον κατὰ τῶν ὤμων φορούμενον, ἐοικὸς ἐφαπτίδι· καὶ Ἡρόδοτος μαρτυρεῖ ἐν ζ^ω (c. 69) καὶ Θεόπομπος ὁ Χῖος

†ζειρατεῖς· ἱμάτιόν τι Σύρων

ζειρεῖν (Arist. fr. CCXXVII)· ἀρωματοποιεῖν ⟨ἄρωμά τι ποιόν⟩

ζείρη· μίτρα. ταινία. διάδημα. †πέρα, ἤγουν ποδεᾶ

Ζειρήν· ἡ Ἀφροδίτη ἐν Μακεδονίᾳ

ζειρόν· ποικίλον

ζεῖρος· εἶδος σταφυλῆς

Ζειροφόρος· ὁ Ἀίδης παρὰ Ἀντιμάχῳ (fr. XCIII)

ζειροφόρους· ζωνοφόρους

ζέλλειν (Arcades)· βάλλειν [106]

ζέλκια· λάχανα. Φρύγες

ζέμελεν· βάρβαρον ἀνδράποδον. Φρύγες

?ζέσις· θερμότης

ζέρεθρα (Arcad. Maced.)· βάραθρα, κοῖλοι τόποι

ζέσεν· ἐθυμώθη. ὑπερεπόλασεν [12]

ζεύγελα· διάβροχα ξύλα. καὶ τῶν βοῶν ἢ ἡμιόνων ζευκτά. καὶ τέμαχος ἐκ πλευρᾶς ἡλισμένης

ζευγελάτης· γηπόνος

ζεύγη· βρόχοι ὀρνίθων

ζευγηλάτης (Soph. fr. 554 ?)· μεταβάτης. ἡνίοχος

COD. 55 ζαω (sic) καθεύδω Cyr. Voss. (ζαροῦν = πνεῖν Apoll. lex. 81, 1) 63 ζητεῖ 64 ζαττίσασθαι ἔσεσθαι ⟨v. ἐζατάθη⟩ 65 ζα.άπης 67 μεγάλων 68 φορῶσαι, cf. 10 Post 70] 75 ζαφαεγής — ἰσχυρῶς 71 ζαφλεγεῖς Cyr. 39. 63. 171 79 ζαχράσεις 81 ζαχρειῶν — πνέοντος 84 ζαβίχ 88 ταράσσει (an βράζει Φ 362?) 91 ζειγάρη (h. e. σιγηρά) 93 ζείναμεν 94 ζειποῖτης Cyr. Dr. ζειπήτης, ζειποίτης, ζεποίτης Zonar. c. 953 96 ἐφάπτιδι — ἐνζα 98 ζειρίς Cyr. 171, ξειρίς Phot. Hes. 100 ζειρήνη, Α. 2 ἐνδύματος Phot. 3 αἰδής 4 χων| 5 cf. ἐγκαζελεῖν ἔζελε καζέλῃ δέλλει 7 B. e. helus, zelije 15 ζεῦγοι 16 ζευγηλάτος

HES. Ad 67 εὐτραφῶν (paraphr. Π 223) Ad 68 φράσαι. ζημιῶσαι ⟨ad ζαμιῶσαι⟩ 70 ζακκίτροφον (Byzant.)· τὸ σεμνόν Ad 72 [πολύφλογον ⟨ad ζαφλεγές⟩] 82 ζαχρηεῖς (Ν 684)· πάνυ χρειώδεις ⟨ζαχρειεῖς⟩ 83 ζαχρειῶν (Ε 525)· μεγάλως ἐπικειμένων ⟨ζαχρηῶν⟩ 88 ζεῖ (Φ 362)· ταράσσε(τα)ι. ἰσχυρῶς καίεται 106 Ζέλεα (Β 824)· πόλις Τροίας 12 Ζεῦ ἄνα (Γ 351)· ὦ ἄναξ. κατ' ἀποκοπήν

†ζευγήτης· μεταβάτης

ζευγύας· βοηλάτας ⟨ζευκτάς novic.⟩

ζευγίσιον· τῆς ἐν Ἀθήναις πολιτείας τίμημα οὕτω καλούμενον. ἦν δὲ διῃρημένη ἡ πολιτεία εἰς τέσσαρα τιμήματα

ζεύγλας· ζυγοί, ἢ μέρη τοῦ ζυγοῦ. καὶ ζευκτῆρες ἱμαντόδεσμοι. καὶ τροπωτῆρες μεταφορικῶς. Εὐριπίδη(ς) Σκυρίαις (fr. 686)

ζεύγλη· ζυγός. ἢ τὸ ἄκρον τοῦ ζυγοῦ, καθ' ὃ ἐντίθησι τοὺς τραχήλους τὰ ζῷα (Τ 405)

ζευγλόδεσμον· ὁ ἱμὰς τοῦ ζυγοῦ

ζεῦγος· πᾶν τὸ ἐζευγμένον. καὶ ὄχημα. καὶ ἐπὶ τριῶν, καὶ τεσσάρων ἔτασ(σ)ον

ζεῦγος τριπάρθενον· Εὐριπίδης Ἐρεχθεῖ (fr. 359). καὶ Σοφοκλῆς Σισύφῳ (fr. 500)· Χαρίτων †ζυγῶν. Ἀριστοφάνης Ὥραις (fr. XI) καταχρηστικῶς ἐπὶ τῶν τριῶν τὸ ζεῦγος ἔθηκε· ‚ζεῦγος τρίδουλον.' παραδέδοται δέ, ὅτι καὶ τριζύγοις ἅρμασί τινες ἐχρήσαντο· καὶ ὅτι τάσσουσι τὸ ζεῦγος ἐπὶ γ' καὶ δ'

Ζευξαντίδαι· γένος ἰθαγενῶν παρὰ Ἀθηναίοις

ζευξίλεως· ζευκτὴς λαοῦ. ἢ ᾧ ὑπεζευγμένοι εἰσὶ λαοί. Σοφοκλῆς Ἀνδρομέδᾳ (fr. 129)

ζεῦμαν· τὴν πηγήν. Φρύγες [28]

ζεύσασθαι· γεύσασθαι

ζεφύρια (Aristot. HA. VI 2)· ὑπηνέμια ᾠά [31]

ζέφυρος· ἄνεμος, ὁ καλούμενος λίψ

ζηβύνη· ὁλοσίδηρον ἀκόντιον ⟨ζιβύνη?⟩

ζηλήμων· φθονερός. ζηλότυπος

ζηλοῖ· φθονεῖ. ἐρίζει. μισεῖ. μιμεῖται

ζηλοτυποῖ· ζηλοῖ

ζηλοτυπία· ἐπὶ γυναικὸς ἀντιζήλου

ζηλότυπος· ὁ ἀντι(φι)λῶν

ζῆλου· μιμοῦ. μεταδίωκε

ζηλῶ· μακαρίζω. Σοφοκλῆς Φιλοκτήτῃ ἐν Τροίᾳ (fr. 635)

ζηλῶ σε (Ar. Ach. 1008 al.)· μακαρίζω σε. μιμοῦμαί σε

ζηλωτής· ἐρεθιστής. μιμητής

ζηλωτός (Aesch. Pers. 710 al.)· μακαριστός

ζημία· θυσία τις ἀποδιδομένη ὑπὲρ τῶν γινομένων ἐν Θεσμοφορίοις [45]

ζητεῖν· βούλεσθαι. Ἀττικοί

Ζητήρ· Ζεύ(ς) ἐν Κύπρῳ

ζητόρων· ζητούντων· γράφουσι δὲ ἔνιοι ζητητόρων

ζητρ(εῖον Eupol. fr. XLVI p. 563)· τὸ τῶν δούλων κολαστήριον

ζητρόν· τὸν δημόκοινον

ζία· κριθή, ἢ σίτου γένος

ζιβύνη· ὁλοσίδηρον ἀκόντιον ἢ λόγχη ἢ σπάθη ἢ μάχαιρα

ζιβύνια· λογχίδια μικρά

Ζιβυ.θίδες· αἱ Θρᾶσσαι, ἢ Θρᾶκες γνήσιοι

ζίγγος· ὁ τῶν μελισσῶν ἦχος, ἢ τῶν ὁμοίων

†ζίγλας· κῶλα

ζίγνις (Arist. HA. VIII 23, 3)· ἢ χαλκίς, σαύρα

ζίεται· ζητεῖ(ται)

ζικνῶσαι· σκυθρωπάσαι

ζίλαι (Eupol. V p. LXXXVII)· ὁ οἶνος παρὰ Θρ(ᾳ)ξί

ζιραί· χιτῶνες ἀνάκωλοι

ζιτᾶνα· καταπύγονα

†ζοᾶς· σεβέσεις

†ζόες· ζῇ

ζόασον· σβέσον

ζοάσω· ζήσω

ζόη· τὸ ἐπάνω τοῦ μέλιτος ⟨222⟩

†ζόης· ἰσχυρός. ἢ σφοδρῶς πνέων [69]

ζόρ(ξ)· ἡλικία ἐλάφου, ἢ δορκάς

ζορωτέρα· ἀκρατεστέρα

ζούγωνερ· βόες ἐργάται. Λάκωνες ⟨198⟩

ζουῖον ἢ ζοῦον (Thessali, Cyprii)· θηρίον. ἢ ἐρυσίπελας

ζοῦσαι· δραχμαί ⟨זוזי⟩

ζούσθω (Cyprii)· ζωννύσθω

ζόφεον· μέλαν. σκοτεινόν

ζοφερή (Apoll. lex. 81, 4)· σκοτεινή

ζοφοδορπίας (Alcae. fr. 38)· σκοτόδειπνος, λαθροφάγος

ζοφοειδές (Hippocr. II p. 658)· σκοτοειδές

ζοφομηνία· ὅταν κρυβῇ τι ἡ σελήνη

COD. 13 ζευγήσιον 24 ἐπὶ τὸ γ̄ — τριδούλων 26 ζευκτός λαός — σοφῶς 27 ζευμαντήν 33 |ος ἀκοντίς (ζιβύνη) 36 ζῆλον 47 Ζεῦ 48 ζητητόραον 53 ζιφύνια 57 χαλκή 59 ζιγνῶσαι EM. CDr. 60 ζειλά Phot. ζελᾶς Choerob. 61 ἀνάκολλοι 62 καταπυ..α ⟨68 ζαής?⟩ 70 δορκός 71 ζορωτέρα· ἀκροτερεστέρα 72 ζουΐωνερ 74 δραγμαί 78 ζοφοδερκίας 80 κρύβητι ἡ ☾

HES. 28 Ζεὺς καταχθόνιος (Ι 457)· ὁ Ἀίδων, ἤγουν ὁ Ἅιδης 31 ζεφυρίη (η 119)· ἡ πνοὴ τοῦ ζεφύρου 45 ζηνίφορον ἐρέουσα (Β 49)· σημαίνουσα τῷ Διὶ τὸ τοῦ ἡλίου φῶς. Τρεῖς δέ εἰσι σημασίαι τοῦ φωτός· ἑωσφόρου, ἡμέρας, ἡλίου 69 ζοπαδασπίδας (Alc. fr. 38)· λαθροφάγους ⟨178⟩

ζόφον ἠερόεντα (Ο 191)· τὸν ᾍδου τόπον ὁμιχλώδη. λέγει δὲ ὁ ποιητὴς καὶ τὸ σκότος, καὶ τὴν δύσιν, ζόφον

ζόφος· σκότος, ἀχλύς, ὁμίχλη. δυσθυμία. δυσμή

ζυγά· τὰ ἐπιτιθέμενα τοῖς αὐχέσι τῶν ζώων. καὶ οἱ πήχεις τῶν κιθαρῳδικῶν ὀργάνων, εἰς οὓς οἱ κόλλοπες ἐνίενται. ἔστι δὲ ἐν τῇ (ι) τῆς Ἰλιάδος (187). καὶ τὸ κατὰ † μετώπους τοῖς χοροῖς τοῖς τραγικοῖς τάγμασι

ζύγαινα (Arist. HA. II 16)· βοῦς θήλεια. ἰχθῦς ποιός

ζυγάστρ(ι)ον· κιβώτιον

ζύγαστρος (Eur. fr. 1110)· κιβωτός. σορὸς ξυλίνη

ζυγεὶς· γαμήσας (monost. 197)

Ζυγία (Panyas. fr. XXXIII)· ἡ Ἥρα. καὶ εἶδος κώπης

Ζύγιος· Ζευς. καὶ ὁ ὑπὸ ζυγὸν ἵππος (Ar. Nub. 122). καὶ ὁ τρίτος ἐρέτης

(ζυγίς cf. ζώγη)

ζυγκλεῖ· μύει. ὁρμᾷ. σκυθρωπάζει

ζυγόδεσμον (Ω 270)· ὁ ἱμὰς τοῦ ζυγοῦ, ὃν ἔνιοι ζυγοδέτην

ζυγομαχεῖν (Menand. fr. CXXVII)· τὸ τοῖς οἰκείοις διαφέρεσθαι. ἢ ἀπληστεύεσθαι

† ζυγοήσεις· βότρυς

ζυγός· τρυτάνη τοῦ ζυγοῦ. καὶ ὁ περικείμενος ἱμὰς τοῖς δακτύλοις ἐπὶ τῶν σανδαλίων (Ar. Lys. 418)

ζυγούμενον· ἐξισούμενον

ζυγοφορούμενον· ἐν ζυγῷ σταθμιζόμενον

ζυγώθρισον (Ar. Nub. 745)· ζύγωσον. ἢ κινήσας διάστησον [98]

ζυγώσω· δαμάσω. κλείσω. καθέξω. Αἰσχύλος Κίρκῃ σατυρικῷ (fr. 110)

ζύθιον· ἀλφίτου πόσις

ζῦθος· οἶνος ἀπὸ κριθῆς γινόμενος

? ζυγητή· ἡ κλεὶς (iugulum?)

ζύμη· φύραμα

ζυμίης· ἄρτος. Ἀθήνησι ζυμίτης ἄρτος οὕτως καλεῖται

ζωάγρια (Σ 407)· λύτρα θανάτου ζωῆς ἀγρεύματα, καὶ οἷς ζωὴ ἀγρεύεται. ὅθεν καὶ (ὀδοντάγρα καὶ) κρεάγρα καὶ πυράγρα, οἷς λαμβάνεται πῦρ, ὀδούς, κρέα

ζωάγρια τίνεεν (Σ 407 Callim. fr. CLXII)· τὰ ὑπὲρ ζωῆς παρεχόμενα δῶρα παρέχειν

ζωαρκές· ἀρκοῦν πρὸς ζωήν

ζωᾶς (Pind. N. IX 68)· ζωῆς

ζώγη· εἶδος βοτάνης ⟨ζυγίς⟩

ζωορίτης· ὁ ὀπὸς τοῦ [ὀπο]βαλσάμου

ζώγρει (Ζ 46)· ζῶντα λάμβανε, ἄγρευε

ζωγρεῖ· ζῶντας λαμβάνει

ζωγρεῖται· ζῶν βιάζεται, λαμβάνεται

ζωγρήσεται· ζωογονήσεται

ζωγρίαι· θῆκαι νεκρῶν

ζωγρίαν· ζῶντας (II Macc. XII 35?) [17. 18]

ζῶγρος· τόπος ἐν ᾧ θηρία ἐμβάλλεται

ζωγὺς ἢ ζωτύς· θώραξ

ζωδιωτός· χιτών

ζωη· τὸ μέλιτι ἐφιστάμενον καὶ τῷ γάλακτι ⟨167⟩, ὃ καλεῖται γραῦς. καὶ ἡ πρὸς τὸ ζῆν χορηγία (§ 96). ἢ χρόνος τοῦ εἶναι [23]

ζωθάλμιον· ζώσιμον. βιώσιμον. † ζώπαρ.τ. θάλλειν ποιεῖν [25]

ζῶμα (Δ 187)· θώραξ, χιτών [27]

ζωμεύματα (Ar. Eqq. 279)· ὑποζώματα, σχοινία κατὰ μέσην τὴν ναῦν δεσμευόμενα

ζωμήρυσις (Philem. fr. I p. 68)· ζωμάρυστρις

ζωμίλη· ἄνηθος

ζώνας τε συλλαβὰς πέπλων (Aesch. Suppl. 466)· ἀντὶ τοῦ αἷς ζώννυμαι καὶ τοὺς πέπλους συλλαμβάνω

ζώνη (Ξ 181 Λ 234)· ὁ ὑπὸ τὴν γαστέρα τόπος. καὶ ὁ τόπος, ὃν ζωννύμεθα. καὶ τοῦ θώρακος ἡ λεγομένη θωρακοζώνη [33. 34]

ζώννυσθαι (Λ 15)· καθοπλίζεσθαι [36]

ζωνογάστριες· οἱ τὰς γαστέρας ζωννύμενοι

ζώντιον (Aristoph. fr. XXXI p. 983)· τὸν

COD. 81 ζοφονη αἰροντα 84 καὶ ὀχθῶν 86 ορος ζυγός 90 ζυγηλεὶ ⟨cf. ε 4789. 90⟩ 91 |δεσμος — δέτιν 93 ζυγόεις· βούτυρος Cyr. 171 Post 93] 97 ζυγό(x)θρισον 95 παρακ| 96 ζηλ| 99 κιρκησατυρι 204 ζυμήεις 5 ζ. θ. ἀγράμματα — ὄδοις — κρεῶν 6 τονεῖν 7 ζωανηρές, ἀνήρ 13 πιάζεται 20 ζωεύς 22 μέλι 24 βρώσιμον 29 ζῶμα ῥυστρί 31 αἴσζώννυμαι 34 γυναίκιον 37 |ιαι

HES. 98 ζυγόνερ· τοὺς ἐργάτας βοῦς. Λάκωνες ⟨172⟩ 17 ζωή (Apoll. lex.)· ἡ πρὸς τὸ ζῆν χορηγία 18 ζῶγρον· ἐγρήγορον ⟨ζώπυρον⟩ 23 ζωήν (π 429)· οὐσίαν 25 ζώιλλος· στρόφη ⟨ad ζώνιον⟩ 27 ζῶμα φαεινόν (ξ 482)· τὸν χιτῶνα. ἀπὸ τοῦ ζώννυσθαι. ἄλλοι τὸν θώρακα, οἷον τὸ ζῶμα 33 Ζωΐλλος· ὄνομα κύριον 34 ζώνιον· γυναικεῖον ζῶμα ⟨Moer.⟩ 36 ζωννυσχέτω μίτρην (Ε 857)· ζωννυσχέτω τὴν χαλκῆν λεπίδα

μύλωνα, οἷον ζεώντειον, ὅπου τὰς ζειὰς ἔκοπτον
ζωογόνος· ζωοποιός
ζωοδότειρα· ζωὴν παρέχουσα [41. 42]
ζωοπώλας· ὁ τὰ ἱερὰ ζῷα πιπράσκων. καὶ ὁ τόπος ζωοπώλιον
ζωοτρόφος· ζωοποιοῦσα
ζωοφθόρος· καὶ σαλαμάνδρα. καὶ ἀγγεῖον νεκροῦ ⟨ad ζωοφόρος⟩
ζώπισσαν· τὴν ξηρὰν ῥητίνην
ζωπύρα· βοτάνη, ὑπὸ ἐνίων κλινοπόδιον: ἢ ἀνθρακιά. φυσητῆρας
ζώπυρα· φυσητῆρας, [ζωτικάς] ὅθεν οἱ χαλκευταὶ τὸ πῦρ ἐκφυσῶσι
ζωπύρει (Menand. fr. VII p. 90)· ἀναζῆν ποίει
ζωπυρήσεις (Ar. Lys. 682)· ἐκκαύσεις [51]
Ζωπύρου τάλαντα· Κρατῖνος ἐν Πυλαίᾳ (fr. XII). Ζώπυρος ὁ Πέρσης, βασιλεῖ χαριζόμενος, μαστιγώσας ἑαυτόν, τῆς ῥινὸς καὶ τῶν ὤτων ἀφελόμενος, εἰσελθὼν εἰς Βαβυλῶνα, προὔδωκε τὴν πόλιν
ζωρόν· ἄκρατον (cf. Empedocl. 148)
ζωρός· ἐνεργής. ταχύς
ζωρότερον (Ι 203)· ἀκρατότερον. ἔνιοι δὲ τάχιον, καὶ ἄμεινον ἐπιστεφέστερον νοεῖν [57. 58]
ζῶς· ζῶντας
Ζώστειρα· Ἀθηνᾶς ἐπίθετον ἐν Βοιωτίᾳ
Ζωστήρ· ᾧ ἐπάνω τοῦ θώρακος ἐχρῶντο (Δ 186). ζώνη, ζῶμα. περίζωμα, τὸ ἀπὸ τῶν μηρῶν καὶ μέχρι τῶν βουβώνων συζευγνύμενον τῷ θώρακι. καὶ Ἀπόλλων παρὰ Ἀθηναίοις. καὶ τόπος, ἔνθα Λητὼ ἐλύσατο τὴν ζώνην (Euphorio fr. LXXXIX). καὶ τὸ φῦκος (Theophr. IV 6, 1)
ζῶστρα (ζ 38)· τὰ ζώματα, καὶ ζώνας. ἢ χιτῶνας ζωστούς, ἢ χλαίνας ἀνδρείους. τινὲς δὲ τὰ ἐνδύματα
†Ζωτεάτας· Ἀπόλλων ἐν Ἄργει, ἀπὸ τόπου
†Ζωτελιστής· Ἀπόλλων ἐν Κορίνθῳ
ζωτικός· οἷός τε ζῆν
ζωυφίοις· μικροῖς ζῴοις. ἢ κνωδάλοις. ἢ πτηνοῖς. ἢ σφηξίν [67]
ζωώσας· ζωοποιήσας

Η

Ἠ· ψιλούμενον καὶ περισπώμενον σύνδεσμον δηλοῖ παραπληρωματικὸν ἴσον τῷ δή (Α 169). καὶ ἀντὶ ἀπορηματικοῦ τοῦ ἄρα (Ι 339). καὶ ῥῆμα ἴσον (τῷ) ἔφη (Α 528)· ἦ .... Ὅμηρος μὲν ἐπὶ προειρημένοις λόγοις ἐπιφέρει τὸ ἦ δηλοῦν τὸ ἔφη
ἤ· ψιλούμενον καὶ βαρυνόμενον δηλοῖ σύνδεσμον διαζευκτικόν (Β 253), καὶ συναπτικὸν (ἴσον) τῷ εἰ (Γ 215)
ἡ· δασυνόμενον καὶ βαρυνόμενον ἄρθρον θηλυκὸν προτακτικόν (Χ 151)· καὶ ἀντωνυμίαν ἀναφορικήν· καὶ σύναρθρον τρίτου προσώπου ἀπὸ συζυγίας τῆς ἐμή, σή, δηλοῖ
ᾗ· δασυνόμενον καὶ περισπώμενον ἄρθρον θηλυκὸν ὑποτακτικὸν δοτικῆς πτώσεως σημαντικόν (Α 162)· ἢ καὶ ἀντωνυμίαν σύναρθρον τρίτου προσώπου ἀντὶ τοῦ ἑῇ (Ξ 163)
ἥ· (Α 2)· ἥτις
ἦ· εἶπεν. ἀληθῶς, ὄντως. ἢ γένηται. ἢ ἔφη. ἤμην
ἦα· ἤμην καὶ ἐγενόμην (Callim. fr. CCCXLII): ἢ ἦλθον. ἢ ὑπῆρχον ⟨ad ᾖα⟩
ἦαρ (Dor. cf. 198)· αἷμα. ψυχή [9]
ἡβᾷ (Eur. Or. 696 al.)· ἀκμάζει
ἠβαιόν (c. c. Β 380)· μικρόν, οἷον ἄβαιον, (οὗ) οὐκ ἔστιν ἐπιβῆναι διὰ σμικρότητα. ἢ ὀλιγοχρόνιον. τὸ δὲ αὐτὸ δηλοῖ καὶ τὸ βαιόν
ἡβᾶν (Scol. 8)· [ad 12] νεάζειν. εὐωχεῖσθαι, μεθύσκεσθαι

COD. 43 ζωοπύλας — ζωόπωλις 45 |φόρος 46 ῥητήνην 47 καινοποδίων — φυσιτῆρα ⟨ad ζωπύρα⟩ 48 ζωπύρας, φυσιτῆρας — ἐκφύσουσι 49 |υρεῖ — ποιεῖ 52 ζωπύρου — πύλαια — Ζωόπυρος 56 ἐπιστρε| ⟨63. 64 Τενεάτης⟩ 65 οἰοστερεῖν 66 κνωδάλοια Η 1 ἴσον τὸ δὴ — ἀπορρ| 3 ἐμῆ σῆ 4 τοῦ ἦν 6 ἢ γένηται ἢ ἐφήημεν 7 ἦλθεν ἢ ὑπῆρχεν ⟨8 cf. ἔαρ εἶαρ ἶαρ⟩ 11 τὸ βέβαιον

HES. 41 ζωόν (Ε 515)· ζῶντα 42 ζώοντες (Ζ 138)· ζῶντες 51 ζωπυρροῦν· ἐξάπτειν ποιεῖ ⟨Moer.⟩ 57 ζώσατο· τὴν ζώνην (Ξ 181 σ 66) περὶ τὴν ὀσφὺν ἔσφιγξε. κατὰ γὰρ τοὺς Ὁμήρου χρόνους οὐδέποτε γυμνοὶ ἠγωνίζοντο, ἀλλ' ἀπὸ τῆς ιε' Ὀλυμπιάδος 58 †ζωστάς· ζώνας ⟨ζῶντας Cyr.⟩ 67 ζωροπόται (Greg. Naz. Arc. VI 77 p. 206)· μεθυσταί. ἀκρατοπόται Η 9 ἧιατο (Ω 89)· ἐκάθετο Ad 12 ἀκμάζειν (Moer.)

ἡβάσκοντες· ἐκ δευτέρου νεάζοντες, ἢ αὐξάνοντες

ἥβη· νεότης, ἀκμή·

καὶ δ' ἔχει ἥβης ἄνθος (N 484)

καὶ ἡ θεός·

μετὰ δέ σφισι πότνια Ἥβη (Δ 2)

ἔστι δὲ Διὸς καὶ Ἥρας θυγάτηρ, γυνὴ Ἡρακλέους. καὶ ἀκολασία. καὶ ἄμπελος (Theocr. V 109)

ἡβήσας· τριχώσας

ἡβητής· ἀκμάζων, νεανίας, ἧλιξ

ἡβολεῖν· ἀργεῖν

†ἡβητήρια· ἑστιατήρια. καταλύσεις

ἥβολον ἦμαρ· καθὸ ἀπα(ν)τῶσιν εἰς ταὐτόν. ἢ εὔκαιρον. ἱερόν [20]

ἢ βρέτας· ἀνδρὸς ἄγαλμα, ξόανον [22. 23]

ἠγάζοντο· ἐθαύμαζον

ἠγαθέοισι· τοῖς πάνυ θείοις

ἠγάθεον (Z 132)· ἄγαν θεῖον. εὔδαιμον, μακάριον

ἠγαλέον· κολοβόν. κατεαγός. κοῖλον. εὔθλαστον

ἠγάλλοντο (Herod. I 143)· ἐγαυρίων

ἠγάμαν (Xen. Symp. VIII 8)· ἀπεδεξάμην

ἠγάνεα (Iones)· πέμματα τὰ ἀπὸ τηγάνου

ἠγανές· καθαρόν. νέον ⟨v. διη—⟩

ἠγάν(ε)ος· νεανίσκος [33—39]

ἠγάσθη· ἐθαύμασεν. [ad 40] δυσηρέστησεν

ἤγαστο· ἐνεμέσησεν, ἐφθόνησεν, ὠργίσθη. ἐθαύμασεν. ἐνετράπη

ἠγ(γ)υᾶτο· ὁ λαμβάνων [43. 44]

ἡγεῖ· ἄρχεις

ἤγειρεν· ἀνέδειξεν. ἀνέστησεν

ἡγεῖσθαι· δοκιμάζειν. δοκεῖν [48. 49]

ἡγεμάχος· πολέμαρχος

ἦγέ μιν· ἤγαγεν αὐτόν

ἡγεμονεύεσθαι (Thuc. III 61)· ἄρχεσθαι

Ἡγεμόνη· Ἄρτεμις (Callim. Dian. 227 Nicand. fr. 38). καὶ Ἀφροδίτη. καὶ ναῦς τις οὕτω καλεῖται

ἡγεμονικόν· ὁ νοῦς

ἡγεμών· ἄρχων. ὁδηγός [56—60]

ἡγεσίης· ὁδηγίας

ἥγεσθ' ἀεί· ἐφέρεσθ' ἀεί

ἥγετο· ἦρχεν. ἤρξατο

ἡγήλασαν· συνήγαγον

ἡγηλάζει (ρ 217)· ἄγεται. ἐλαύνει. ἐπιμελεῖται. θεραπεύει. ἄγ[χ]ει

ἡγηλάζειν· ἄγειν. ἐλαύνειν

ἡγήσατο· ἦρξεν. ὁδηγὸς ἐγένετο

ἡγητηρία· παλάθη σύκων· ἐν γὰρ τῇ ἑορτῇ Πλυντηρίων φέρουσι παλάθην συγκειμένην ἐξ ἰσχάδων διὰ τὸ τοὺς αὐτόχθονας ἥμερον καρπὸν φαγεῖν πρῶτον τῶν σύκων· παρὰ τὸ ἡγήσασθαι οὖν τῆς ..... τροφῆς κέκληται ἡγητηρία

ἡγητήρ· ἡγεμών. ἄριστος

ἡγήτορες· ἡγεμόνες. βασιλεῖς. ὁδηγοί. ἄρχοντες [71. 72]

ἡγίνεον (Σ 493)· ἦγον

ἠγκάζοντο· ἐλάμβανον ⟨v. ἀγκ—⟩

ἡγλαϊσμένον· φωτεινόν, λαμπρόν

ἡγμένος· τεθηρευμένος. πειθήνιος

ἡγμένους· ἀγομένους [78]

ἠγνόει ⟨—οίει⟩· ἠπείθει. ἠγανάκτει

ἠγνοίεις· ἠπείθεις

ἠγνοίησεν (B 807)· ἠπείθησεν. ἠγνόησεν. ὡς (τό·)

Ἕκτωρ δ' οὔτι θεᾶς ἔπος ἠγνοίησεν

†ἤγνωσεν· ὠδυνήθη

ἤγομεν· ηὔξομεν ⟨v. ἀνηγμένον⟩

ἠγόν ⟨—ός⟩· κατεαγός

ἠγωνίασεν· ἐφοβήθη

ἤγοντο· ἐλαύνοντο

ἠγόμην· διῆγον. Σοφοκλῆς Θυέστῃ δευτέρῳ (fr. 234 et OT. 775)

COD. ⟨13 ἀνηβάσκοντες?⟩ 16 ἡβήτης — ἧληξ 18 ἱστηατήρια κατάλυσις 21 ἠβρήτας ⟨cf. ἰοβρέτας⟩ 30 ἠγανέα Post 42] ἥγετο; cf. 43 51 ἠγέμην ⟨λ 324?⟩ 61 ἡγεσκίης ὁδηγησίας 68 ἑορτῇ παραπλ| 73 ἠγύρον, ηὗχον 76 πειθηνίης 80 ἠπείθης 81 οὗτοι

HES. 20 ἡβόωντα (I 446)· ἀκμάζοντα 22 ἡβώοιμι (Π 157)· ἀκμάζοιμι. ἀκμάσειεν 23 ἡβόωσα (ε 69)· ἀκμάζουσα, θάλλουσα 33 ἡ γάρ· τί δέ ⟨ad τί γάρ⟩. αὕτη γάρ. ὄντως γάρ 34 ἢ γάρ (B 242)· ἐπεὶ ἄν 35 ἦ γάρ κεν δειλός (A 293)· ὄντως (γὰρ ἂν) δειλός 36 ἦ γάρ με (A 355)· ὄντως γάρ με 37 ἡ γὰρ ὀΐομαι (A 78)· ὑπολαμβάνω γάρ 38 ἠγάσ(σ)ατο (Γ 181)· ἐξεπλάγη 39 ἠγαλλιάσατο (Ioann. VIII 56)· ...... Ad 40 [ἐχάρη] 43 ἥ γε· αὕτη (Z 373). ἥτις. ἥγετο ⟨l. ἠγάγετο B 631⟩ 44 ἠγειρέθοντο (B 304 al.)· συνηθροίζοντο. ἀνήγοντο 48 ἡγείσθη(ν B 731)· εἶχεν ⟨l. ἦρχον⟩ 49 ἡγεῖτο (Sapient. VII 12)· ηὐθέντει. ἦρχεν 56 ἦγεν (Φ 36)· ἔφερεν 57 ἡγεόμην (E 211)· ἡγούμην. ἠρχόμην 58 ἠγέρθεντο (B 304 al.)· ἠγείροντο. συνηθροίζοντο 59 ἠγέρεσθαι (K 127)· συναθροίζεσθαι 60 ἤγερθεν (A 57)· συνηθροίσθησαν 71 ἠγιᾶτο· ἐνεκάλει ⟨ᾐτιᾶτο⟩ 72 ἡγιλάζει· διάγει 78 ἡγνικότες (1 Petr. I 22)· καθαρίσαντες

ἠγόρευεν· ἐδημηγόρει [89]
ἡγοῦ· παρακελευ(σ)τικῶς (Ar. Lys. 254)· ἄρχε, ἡγεμόνευε, διάκρινε
ἡγοῦμαι· ἡγεμονεύω. νομίζω, ὑπολαμβάνω, λογίζομαι. προκρίνομαι [92]
ἤγρετο· ἠγέρθη
ἠγροικισάμην· ἀγροίκως ἔπραξα [95—97]
ἠδ' ἄκρας· καὶ τὰς ἐξοχάς
ᾗ δ' ἄν· ᾗτινι δὲ ἄν
ἠδαξήσατο· ἐκνήσατο
ἠδάφωται· κατῴκισται
ἠδέ (Δ 258)· ἀντὶ τοῦ καί·
ἠδ' ἀλλοίῳ ἐπὶ ἔργῳ [ad 102]
ᾔδεα (Callim. fr. CCXCVII)· ᾔδειν, ἐπιστάμην [4. 5]
ᾔδεες· ᾔδεις
ἥδει· τέρπει
ἢ δεῖ χελώνης κρέα φαγεῖν, ἢ μὴ φαγεῖν· [post 8] [9]
ᾔδεσαν· ἠπίσταντο, ἐγίνωσκον
†ἡδέσθη· ἐπεθύμησεν
ἥδεται· εὐφραίνεται, τέρπεται [13]
ἤδη· ἐπὶ μὲν παρῳχημένου χρόνου ἀορίστου·
ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ἠέπερ ὑμῖν (Α 260)
ἐπὶ δὲ ἐνεστῶτος·
ἤδη γὰρ νῦν ἔλπομ' Ἀρηΐ γε πῆμα τετύχθαι (Ο 110) [15—17]
ἠδημόνησεν· ἐξεκάκησεν
ἠδημόνως (Boeoti)· αἰδεσίμως [20]
ἡδέα· γλυκέα ⟨ἡδία cf. 127⟩
ἠδίκησεν· ἔβλαψεν
ἠδικηκότες· ἀδικήσαντες [24]
ἡδίονας· ἡδυτέρας
ἥδιστα· ἡδέα

ἡδέως· εὐθύμως. γλυκέως. ἢ καταθύμιον ⟨ἡδίως cf. 121⟩ [28. 29]
ἥδομαι (Ar. Pac. 291)· τέρπομαι. ἐσθίω
ἡδονή· ἐπιθυμία
ἥδονται· τέρπονται
ηδος· ἡδονή. καὶ ὄφελος (Aeginetae, Α 576). καὶ ἔφη ἐκεῖνος. καὶ ὄξος (Chalcidenses, Attici) [34]
ἥδρασα· ἐθεμελίωσα, ἐστήριξα, ἔπηξα [36]
ἡδύγεως· ὁ σικυός [38]
ἡδυεποῦς· τοῦ γλυκεροὺς λόγους ἔχοντος
ἡδύκωμος· εἶδός τι ᾠδῆς
ἡδυλίσαι· συνουσιάσαι
ἡδυλισμός· συνουσία
ἥδυμον (Simonid.)· ἡδύ. εὐῶδες. τερπνόν [44]
ἡδυντῆρες· οἱ ἅλες. Ἐρατοσθένης
ἡδύοσμος· ὁ ἀρωματίτης κάλαμος
ἡδὺ πῆμα· ὁ θάνατος
ἡδυπαθεῖ· μιαίνεται ἡδονῇ
ἡδυπαθής· φιλήδονος. πάθει χαίρων, καὶ ἡδόμενος τῷ πάθει
ἡδυπαθῶν· ἐν ἡδονῇ ὤν
ἡδυπνοΐδης· πόα. καὶ ἡ λιβανωτίς
ἡδύπνουν· νεογνὸν καὶ ἁπαλὸν πρόβατον γαλαθηνόν, τὸ μήπω πόας γευσάμενον, Πολέμων (p. 148) φησὶν ὑπὸ τοῦ Πυθίου κληθῆναι
ἡδυπότις (Epigen. fr. II p. 539)· ἔκπωμα ποιόν. καὶ τὸ κρόμμυον
ἡδύραβδον· κινάμωμον
ἡδύς· γλυκύς
ἡδύσματα (Hippocr. II p. 866, 1)· ἀρτύματα
ἡδυσμός· ἡδισμός ⟨ἡδυλισμός?⟩
†ἡδύτεραι· αἱ τρυγόνες [59. 60]

COD. 94 ἠγροκησάμην, ἠγρ| ⟨96. 97 ἠδήμουν· ἠδημόνουν?⟩ 99 ἔντινι 108 ἤδει 14 ἀρειοσύνη περ ⟨121. 127 Cretice?⟩ 33 ἔφ' ⟨ad ἦδος, ἦ δ' ὅς, ἦδος⟩ 39 ἡδυκῶμος 42 ἡδύμων Post 43] 37 ἡδυνέον (Ath. III 74 D) 47 ἡδύπημα 52 ἢ ὁ ῥέμων

θαμίζῃ· συνεχῶς διατρίβῃ καὶ παραμένῃ (τὴν) ἑαυτοῦ ναῦν φυλάσσων

θαμινά· πυκνά, πολλά

θαμινῶς· συνεχῶς, πυκνῶς

†θάμιξ· ἀλώπηξ

θάμν†ας· δενδρώδεις τόπους, δασεῖς (ε 476?)

θάμνισον· ἀποκάλυψον ⟨ἐπικ—?⟩

θάμνοι (Λ 156)· δασέα καὶ πυκνὰ δένδρα. καὶ οἱ σύνδενδροι τόποι

θάμνος (ψ 190)· πυθμὴν δένδρου. ἢ ῥίζα πολλοὺς κλάδους ἐκπέμπουσα. ἡ καθ' ἕνα τόπον τῆς ὕλης συ(σ)τροφὴ καὶ ἡ συνεχὴς φυτεία ⟨cf. 9⟩. καὶ ἡ περιοχὴ τῆς ἐλαίας. καὶ ὅρμενοι. καὶ οἱ σύμφυτοι ἢ δενδρώδεις (τόποι): ἢ βάτος. ἢ ξύλον ἀκανθῶδες ⟨ῥάμνος?⟩

θαμύντεραι· πυκνότεραι

Θάμυρις· πανήγυρις, σύνοδος, ἡ πυκνότης τινῶν. καὶ ὁδοὺς θαμυρὰς τὰς λεωφόρους. ἔστι †τὸ καὶ κύριον ὄνομα (B 595)

θαμυρίζει· ἀθροίζει, συνάγει

Θάμυρις μαίνεται· [ad 92] [93]

θάνατος· ὅ τε θεός· καὶ ὃ πάσχομεν, τέλος ὂν †τοῦ ἐκ τοῦ βίου. ὁ χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος. καὶ ὁ σωματοειδὴς θεός. καὶ ἡ δυσωδία

θανατῶν· θανάτου ἐπιθυμῶν

θανεῖσθαι· ἀποθανεῖσθαι (Δ 12?) [96]

θᾶξαι· μεθύσαι

θάοντα· διδάσκοντα. θεωροῦντα

θαοῦνται· ὁμοίως

θάπαν· φόβον ⟨cf. φάβα⟩

θάπτα· μυῖα. Κρῆτες [103]

θαργήλια· Ἀπόλλωνος ἑορτή. καὶ ὅλος ὁ μὴν ἱερὸς τοῦ θεοῦ. ἐν δὲ τοῖς (θ)αργηλίοις τὰς ἀπαρχὰς τῶν φυομένων ποιοῦνται, καὶ περικομίζουσι· ταῦτα δὲ θαργήλιά φασι· καὶ μὴν θαργηλιών. καὶ τὴν εὐετηρίαν ἐκάλουν θάργηλον. καὶ Ἀρχίλοχός φησιν·

†ὡς φαίε νῦν ἄγει †τὰ θαργήλια ⟨φατε — ταργήλια⟩

καὶ ὁ θάργηλος (Timocl. III p. 594) χύτρα ἐστὶν ἀνάπλεως σπερμάτων. [καὶ παρὰ Μιλησίοις ᾀδομένη ἐπὶ φρονήσει (Com. IV p. 720)

Θαργηλία· ἔστιν ἡ Θαργηλία Μιλησία μὲν τὸ γένος, εὐπρεπὴς δὲ τὴν ὄψιν, καὶ τἆλλα σοφή, ὥστε στρατηγεῖν πόλεις καὶ δυνάστας. διὸ καὶ πλείστοις ἐγήματο τῶν διασημοτάτων

θάργηλος (Timocles l. c.)· χύτρα ἱεροῦ ἑψήματος

θαρνεύει· ὀχεύει. σπείρει. φυτεύει

θαρρία· τρασιά

?θάρνυσθαι· ὀχεύειν ⟨θόρν—⟩

?θάρνυται· περὶ συνουσίαν ὁμιλεῖ· θάρνυσθαι γὰρ τὸ κυΐσκεσθαι. τοῦτο δὲ νῦν δηλοῖ τὴν διὰ λόγων ἔντευξιν καὶ ὁμιλίαν. σημαίνει δὲ καὶ ὀχεύει

θαρσύνεται· μετεωρίζεται ⟨θαρρ—⟩ [12—15]

COD. 65 θαλύσιαι ⟨68 v. ἀκροθάλυπτα, ὠμοθάλυπτα⟩ 71 |κεις 81 |ζει — |βει — |νει 85 θάμνας est lora 88 ἡ ῥίζα — ὅρμοι (θάμνος· ξ. ἀ. βάτος Cyr. 171) 90 θαμύρας ⟨v. ἀμύκαρις⟩ ⟨99 θαόντα = δαόντα Cretice pro διδάσκοντα⟩ 104 φαινομένων — βυετηρίαν — ἀγομένη ἐπιφρώνησις 5 πλείστην 7 ὀχλεύει. ὀχεύει 8 τρασία 9 ὀχλεύειν ⟨possis μαχλεύειν⟩ 10 θάρνυται· μεταιωρίζεται, θ. — διαλόγων ἔντευριν 11 θαρσύνεται, περὶ συνουσίαν ὁμιλεῖ

HES. 70 θαμά (O 470)· θαμινά, συνεχῆ 72 θαμά (ficlic.)· τὰ πυκνά. καὶ θαμέα τὰ αὐτά Ad 92 παροιμία, ἐπὶ τῶν κατὰ σύνεσιν παράλογόν τι πραττόντων 93 θανάτοιο μέλαν νέφος (δ 180)· περιφραστικῶς αὐτὸς ὁ θάνατος 96 θάνοιεν (χ 472)· ἀποθάνοιεν 103 θαρραλέως· εὐθαρσῶς. ἀνδρείως 12 θάρρος· θάρσος ⟨Moeris⟩ 13 θαρσαλέον (E 602)· ῥᾴδιον 14 θαρσαλέως (c. c. α 283)· ῥᾳδίως 15 θάρσος ἢ θάργυς· τὸ θράσος. ἀνδρεία. δυναστεία

ϑαρσύς· ϑρασύς (?) [17. 18]
ϑαρρῶ· ϑρασύνομαι ⟨ϑαρσῶ ordo⟩
Θασία· ἅλμη (Cratin. fr. III p. 17), εἰς ἣν ὄψα ὠπτήμενα ἔβαπτον. καὶ ῥαφάνου εἶδος. οἱ δὲ βάμμα τι [21]
Θάσιος παῖς Ἀγλαοφῶντος (cf. Simon. epigr. 162)· ἔστι δὲ σεμίδαλις, † ἐπὶ τοῖς ἔργοις γενομένη, ἀπὸ Ἀγλαοῦ, τοῦ ἐξ ἀρχῆς ποιήσαντος, Θασίου ὀνομασθεῖσα
ϑᾶσσε· κάϑισον ⟨καϑῆσο?⟩ [24. 25]
ϑάσσοντας· καϑημένους
ϑάσσουσα· σπεύδουσα ⟨ϑᾶσσον ἰοῦσα?⟩
ϑάσσω· παρακαϑέζομαι
ϑάσσων· [ad 29] καϑεζόμενος [30]
ϑάτας· ϑῆτας, τοὺς δούλους. Κύπριοι
ϑάτερα· τὰ ἄλλα, ἑκάτερα, ἕτερα μέρη
ϑατέρου (Eur. fr. 656)· ἑνός
ϑατῆρας (Dor.)· ϑεατάς
ϑᾶττον· εὐϑύς, τάχιον, ταχέως
ϑᾶττον ἢ Βούτης [ad 36]·
(ϑατύς· ἰκρίον. ϑεωρεῖον) [38]
Θαύλια· ἑορτὴ [ad 39] ἀχϑεῖσα ὑπὸ Κεάτου· παρ' ὃ καὶ ϑαυλίζειν † λέγειν τοὺς Δωριεῖς
Θαυλωνίδαι· γένος ἰϑαγενῶν Ἀϑήνησι [40]
ϑαῦμα· ἔκπληξις. ξένισμα
ϑαυμαίνει· ϑεωρεῖ. ϑαυμάζει
ϑαυμαλέον· φοβερόν. ϑαυμαστόν ⟨v.74⟩ [44]
ϑαυμανέοντες· ϑεώμενοι, ὀψόμενοι·
ἀέϑλια ϑαυμανέοντες (ϑ 108)
τὸ δὲ καϑ' ἡμᾶς ϑαυμάζειν ϑηεῖσϑαι λέγει·
ϑηεῖτο δὲ κούρη (ζ 237)
καὶ ϑηητὸς (Hes. Th. 31) ὁ ϑαυμαστός
ϑαυμάσιος· ϑαυμαστός
ϑαύματα (Plat. Legg. 658 B Xen. Conv. II 1)· ἃ οἱ ϑαυματοποιοὶ ἐπιδείκνυνται
ϑαυματίζομαι· ἐκπλήττομαι
Θαῦμος ἢ Θαῦλος· Ἄρης Μακεδόνιος
ϑαῦνον· ϑηρίον
? ϑαυλέα· οὐρά, κέρκος
ϑαχϑῆμεν· ϑωριχϑῆναι. Δωριεῖς
ϑάψαι· κατορύξαι. † κάψαι, ἀπὸ τοῦ ϑάλπεσϑαι
ϑάψινον (Sapph. fr. 167)· τὸ ξανϑόν, ἀπὸ τοῦ ξύλου τῆς ϑάψου, [ad 55] ᾧ ξανϑίζουσι τὰ ἔρια καὶ τὰς κεφαλάς. τοῦτό τινες Σκυϑικὸν λέγουσι. καὶ ὁ ποταμός, παρ' ᾧ φύεται τὸ ξύλον, Θάψος καλεῖται. ἔστι δὲ καὶ ῥίζα ϑαψία καλουμένη [56]
ϑέα· σκόπει, ϑεώρει, ὅρα
ϑεάμονας· ϑεατάς
ϑέαν (Plat. Phaedr. 250 B)· ὄψιν. ϑεωρίαν. ὄμματα
ϑεαγγελεῖς· οἱ τὰς πανηγύρεις ἐπαγγέλλοντες
ϑεαγενής· ὅσιος, ϑεοσεβής
ϑέαγον ⟨ϑεάϊον⟩· τὸ ϑεῖον, ᾧ καϑαίρουσι. Σαλαμίνιοι
ϑέαμα (Aesch. Prom. 69)· ϑεώρημα
† ϑεανὴ νῆσος ⟨ϑεία νόσος?⟩· ἡ ἐκ ϑεοῦ, ϑεία. Σοφοκλῆς Τυροῖ ά (fr. 585)
ϑεανῶσται· οἱ ξυστῆρες ὑπὸ Θετταλῶν
ϑέα παρ' αἰγείρῳ (Cratin. fr. XXXVIII)· τόπος αἴγειρον ἔχων, ὅϑεν ἐϑεώρουν. εὐτελὴς δὲ ἐδόκει ἡ ἐντεῦϑεν ϑεωρία· μακρόϑεν γὰρ ἦν καὶ εὐώνου ὁ τόπος ἐπωλεῖτο
ϑεατόν· τὸ ἐκλεκτόν. ὁρατόν, καὶ ϑεωρητόν
ϑέατρον· ϑέαμα. ἢ σύναγμα [69]
ϑεείου (μ 417)· ϑείου
(ϑεειώσω [χ 482]· καϑάρω) [72. 73]
ϑεηγόρων· ϑείων: ἢ ἐκ ϑεοῦ λαμβάνων ....
ϑεήλατον (Soph. OT. 249)· ὑπὸ ϑεοῦ πεπ(λ)ηγμένον, ἢ πεμφϑέν [76]
ϑειαζόντων· μαινομένων [78]
ϑ(ε)ιασμοῦ· εὐωχίας. ἐνϑουσιασμοῦ
ϑειασμῷ· εὐωχίαις. μαντείαις [81]
† ϑεῖα· ἴγδια. καὶ ϑεοῖς ἐοικότα. Κύπριοι
† ϑείειν δρομαῖς· ...... [84]

COD. 20 ϑαστία — ὀπτωμένα — βαμμάτιον 22 παῖς 31 ϑύτας 37 legebatur ante 153 ϑαυσήκρι, cf. ἐς ϑατύν 39 ϑαυλία 40 |ίδες 46 |νώντες ϑεαώμενοι — καὶ ῥηιστός ὁ ⟨52 Latet Creticum αὐκαία = ἀλκαία⟩ 53 ϑαχμῆναι 64 τυροία ῥοιτοῦ 66 παρειγείρω 74 alterum ϑεηγορῶν 81 ϑιασῶσαι 82 H. e. ϑοείδια· ἴγδια Κύπριοι (= ϑυείδια) et ϑεοειδέα· ϑεοῖς ἐοικότα

HES. 17 ϑαρσὺν (N 823 Π 70)· τεϑαρρηκώς 18 ϑάρσει (Θ 39)· ϑάρρει. ϑράσει (Z 126) 21 ϑασσώομεν· καϑήμεϑα 24 ϑᾶσσον· ϑᾶττον, τάχιον, ταχύτερον 25 ϑάσσονας (N 819 Call. D. 94)· ταχίονας Ad 29 ταχύτερος (O 570) 30 ϑαστρεύεσϑαι (O 512)· ἀναβάλλεσϑαι ⟨cf. gl. δ 824⟩ Ad 36 παροιμία ἐπὶ τῶν .... ἐν τῇ στοᾷ μαχομένων τις ἦν, ᾧ ἐπεγέγραπτο Βούτης. ......: Τάσσεται οὖν ἡ παροιμία ἐπὶ τῶν ῥᾳδίως συντελουμένων· καὶ γὰρ ὁ Βούτης ῥᾳδίως κατεσκεύαστο, ἅτε οὐχ ὁλοκλήρου τοῦ στόματος ⟨σώ—⟩ γεγραμμένου 38 ϑαυλακίζειν· μετὰ βοῆς ἀπαιτεῖν τι (l. ϑυλακίσσειν q. v.) Ad 39 Ταραντῖνοι 40 ϑαυμάζειν (π 203)· ϑεάσασϑαι καὶ μανϑάνειν ⟨ἐκμ—⟩ 44 Θαυμακίη (B 716)· πόλις 56 ϑεά (α 1)· ὦ Μοῦσα 69 ϑέει (N 141)· τρέχει 72 ϑέειν (B 183)· τρέχειν, δραμεῖν 73 ϑέεν (Z 118)· ἔτρεχεν 76 ϑέησει (X 23)· τρέχει 78 ϑίασος· χορός 81 ϑιασῶται· χορευταί (gl. ms. in Dionys. Areop.) 84 ϑείης (Z 432)· ποιήσεις

Θειητόν (f. l. Hes. Th. 31)· θαυμαστόν

Θειλόπεδα (η 123)· ὁ τόπος, ἐν ᾧ ξηραίνεται ἡ σταφυλή. εἴρηται δὲ ἀπὸ τοῦ θέρεσθαι ἐν τῷ ἡλίῳ καὶ τῷ πέδῳ

Θεῖν· δραμεῖν. ἢ ὁ αἰγιαλός

Θειμωνιαί (Boeoli?)· οἱ σωροὶ τῶν δραγμάτων [89. 90]

Θείνει· [ad 91] κτείνει. παίει

Θεῖνες (Apoll. 86, 24)· οἱ σωροί, ἤτοι βουνοὶ τῆς ψάμμου [93]

Θεινῶν· αἰγιαλῶν [95]

Θεῖον ἄπυρον· θεάφιον ἄκαυστον [97]

Θεῖος νόος μευ· ἐκ θεοῦ μοι νοῦς [99–203]

Θεῖται· [5. 6]

Θέλγει· ἀπατᾷ. θάλπει, ἀπὸ τοῦ εἰς τὸ θέλειν ἄγειν. μαλάσσει. κηλεῖ. τέρπει. ᾄδει (Plat. Sympos. 197 E). κοιμίζει (Ω 343)

Θέλγητρα· εἰς ἡδονὴν ἄγοντα

Θέλγμα· θαῦμα

Θελγῖνες· οἱ Τελχῖνες. γόητες, πανοῦργοι, φαρμακευταί

Θελγόμενον· ἀπατώμενον. λέγεται δὲ ἐπὶ τῶν ἡδυνομένων τοῖς ᾄσμασι

Θέλειν (Apoll. lex. 86, 33)· δύνασθαι

Θέλεμον (Aesch. Suppl. 1026)· † οἰκτρόν. ἥσυχον

Θελέμως· ἡσύχως. † οἰκτρῶς

Θέλεμνον· ὅλον ἐκ ῥιζῶν

† Θελερόν· θελεκτόν [16]

Θέλκαρ· θέλγμα ⟨356⟩

Θέλκτρον· φίλτρον. χαρά. θαυμαστόν. καὶ τὸ ἐφηδῦνον μετά τινος ἀνάγκης (καὶ τὸ θέλ(γον) τὰ ὄμματα ἐπὶ κακώσει)

Θελκτήριοι (Eur. Hipp. 478)· θεραπευτικοί, ἄγοντες εἰς ἀπάτην

Θέλξας· καταπονήσας

Θελξινία· (ἡ) Ἥρα τιμᾶται παρὰ Ἀθηναίοις ⟨Θελχινία? Θελξινόη?⟩

Θέλω· χρῄζω. βούλομαι. εὐδοκῶ ⟨onomast.⟩

Θέμα· ἕξις. τόπος. στάσις. μνῆμα [25]

Θεματίζει· ἀποτίθεται. κυβερνᾷ

Θέμεθλα (non Hom.)· ἕδραι. βάθρα ⟨254⟩

Θεμείλια (Callim. Del. 260)· θέσεις. ῥίζαι

Θέμ(ε)ιλα· θεμέλιοι

Θεμελιωθέντα· ἐκ ῥιζῶν ἀρθέντα

Θέμεναι· καταβαλοῦσαι

Θέμενος· ἐνθείς. καταβαλών

Θεμέρη· βεβαία. σεμνή. εὐσταθής

Θέμερον· σεμνόν. ἀφ' οὗ καὶ τὸ σεμνύνεσθαι θεμερύνεσθαι

Θεμερόφρονας· συνετούς, σώφρονας

Θεμερῶπις (Empedocl. 12)· ἐρασμία. † ἀγχόνη

Θέμις· δίκαιον. ἄξιον. πρέπον. καὶ δίκη, ἢ προσήκει. καὶ ἡ τιμή. καὶ τὸ ἀξίωμα. καὶ τὸ ἁρμόζον·

ἢ θέμις ἐστί (Α 73)

καὶ νόμος

Θεμιζέτω· μαστιγούτω, νομοθετείτω. Κρῆτες

? Θέμησις· δικαιοσύνη, παρὰ Πυτίᾳ

Θέμιστα· ἔννομα, νόμιμα

Θέμιστας (Α 238)· νόμους. δίκας

Θέμιστες· μαντεῖα, χρησμοί. δίκαια. νόμοι (ι 112) [43]

Θεμιστευτόν· νομοθετητόν [45–47]

Θεμίστε(ι)ον· δίκαιον (Pind. Ol. I 18?)

Θεμιστοπόλος· δίκαιος. βασιλεὺς ὅσιος

? Θεμινήσασα· πρακτική, ἀνυσίμη, ἀποτελεσίμη [51]

Θεμιστοπόλοι (Hesiod. schol. Lyc. 284, 3)· ἄρχοντες. δίκαιοι

Θεμιστόρων συνετῶν [54]

Θέναρ· τὸ κοῖλον τῆς χειρός, καὶ τοῦ ποδός

? Θεμούς· διαθέσεις. παραινέσεις

? Θεμῶν· θελήμων ⟨θ. θεσμῶν⟩ [58]

COD. 86 θηλ| 87 .εῖνιν 88 θειμωνεῖαι ⟨—ιῇ?⟩ 91 παίει 96 θεάφιον ἄπυρον Post 204 ᾄδεται κομίζει 7 Addidi ᾄδει. κοιμίζει. Cf. 204 13 θελεμόν ⟨16 θέλεον, θεληματικόν⟩ 18 θέρκαλ 19 θέλητρον; (καὶ ... κακώσει) legebantur post 216 28 θέμεμα 30 θεμειλωθέντα 34 θεμαρύνεσθαι 36 θεμερόπις 49 θεμιστός

HES. 89 θεῖναι (Δ 26)· ποιῆσαι 90 θεῖναν (gl. Sapient. XII 5)· βρῶσιν, ἀνάλωμα Ad 91 ποιεῖ. τρέχει 93 θεινομένην (Α 588)· τυπτομένην 95 θείωμεν (Α 143)· ποιήσωμεν 97 θεῖός μοι (Β 56)· ἐκ θεοῦ μοι 99 θεῖος ὄνειρος (Β 22)· θεόπεμπτος 200 θεῖον δύσονται ἀγῶνα (Η 298)· τὸ τῶν θεῶν ἄθροισμα, ἐν ᾧ αὐτῶν τὰ ἱερά 1 θειοῦται (ψ 50)· θείῳ καθαίρε[τα]ι 2 θεῖον· τὸ ἐκ θεοῦ ἀφιγμένον. καὶ τὸ ἄξιον λόγου, ὥστε θαυμάζεσθαι. καὶ τὸ θεάφιον 3 θείου πλῆτο (μ 417)· τοῦ κεραυνίου πυρὸς λέγει. ὀδμὴν γὰρ ἔχει ὁ κεραυνὸς θῦ ⟨θείου⟩ 5 θειάσω (χ 482)· καθάρω 6 θέκλεον (Ψ 107)· θαυμαστόν 16 θελητής (Mich. VII 18)· προαιρετικός 25 θεμάν (Habac. III 3)· ἄνεμος νότος. ἡ ἀνατολή 43 θεμιστεύει (ι 114)· ἄρχει, κελεύει ἃ βούλεται, δικάζει 45 θεμιστεύοντα (λ 568)· δικάζοντα 46 Θεμιστῇ (Υ 4)· τῇ Δίκῃ 47 Θε[μι]στιάδες· Νύμφαι 51 θεμιστισία· ὁσία 54 θέμηλα· θεμέλαι ἕδραι, βάθρα, θεμέλια 58 θέμωσεν (ι 486)· ἤγγισεν. ἐγγίσαι ἐποίησεν, ἠνάγκασεν

θεναρίζει· τύπτει ⟨v. ἔνθεν—⟩
θένει (cf. Aesch. Sept. 382)· κόπτει, τύπτει
!θένιοι· οἱ προσήκοντες
θεοβλάβειαν· οὕτως Αἰσχίνης (p. 72, 32) εἶπεν [63]
θεοδαίσιος· Διόνυσος (Cretice) [65. 66]
Θεόδωρος (Com. an. CXXXI a)· Θεοδώρους ἔλεγον οἱ κωμικοὶ τοὺς πρωκτούς, ἀπὸ Θεοδώρου τινὸς οὐκ εὖ τῆς ἑαυτοῦ χρησαμένου
θεοειδὲς τέρας· θεῖον εἶδος ἢ ὁμοίωμα
θεοειδής (Homer.?)· καλός, θεοῦ εἶδος ἔχων
θεοείκελα· θεῖα, θαυμαστά, θεοῖς ὅμοια [71. 72]
θεόθυτα· ἱερόθυτα (Cratin. fr. CXXXII)
θεοὶ Μολοττικοί [ad 74]
θεοίνια (Lycurgus)· θυσία Διονύσου Ἀθήνησι. καὶ θεὸς Θέοινος Διόνυσος (Aesch. fr. 397)
θεοὶ ξενικοί· παρὰ Ἀθηναίοις τιμῶνται, οὓς καταλέγει Ἀπολλοφάνης ἐν Κρησί (fr. III) [77]
θεοκήρυκες· γένος τὸ ἀπὸ Ταλθυβίου, παρὰ Ἐλευθερίοις
θεοκλυτεῖτε· παρὰ θεοῦ ἀκούετε
θεοκλυτήσαντες· θεοῦ ἀκούσαντες. θεὸν ἐπικαλεσάμενοι
θεοκλυτοῦσαι· θεὸν ἐπικαλούμεναι
θεοκόλος· ἱέρεια
θεοκυδῆ· δόξαν θείαν ἔχουσαν
θεομήτι· θεόφρονι
θεόμορος [ad 85] [86]
θεοξένια· κοινὴ ἑορτὴ πᾶσι τοῖς θεοῖς ....

θεόπαιστος· ὑπὸ θεοῦ παιόμενος. ἡ κιθάρα ὑπὸ θεοῦ διδομένη ⟨ad θεόπαστος⟩ [89]
θεοπλάκτως (Dor.)· δεισιδαίμονας
θεοπομπεῖν· ἐνθουσιᾶν
θεοπρεπεῖς· θεῷ ἁρμόζοντας
θεοπρόπιον (Λ 85)· μαντεῖον ἐκ θεοῦ
θεόπροποι· προφῆται, μάντεις, ἐκ θεο προλέγοντες
θεοπτίαν· θεοφανίαν
θεοπτίας· θείας θεωρίας
θέορτος (cf. Aesch. Prom. 764)· ὁ ὑπὸ θεοῦ παρορμώμενος
θεόρυτον· ἐκ θεοῦ προϊόν, ἐρχόμενον
θεός· σημεῖον (ἐν θυτικῇ) [ad 99]
θεόσδοτος· ἐκ θεοῦ δεδομένος [301]
θεόσεπτον· εἰς σεβασμόν ....
θεοσέπτωρ (Eur. Hipp. 1364)· θεοσεβής
θεοσκνεῖ· θεοὺς τιμᾷ ⟨918⟩
θεοστυγεῖς· μισούμενοι ὑπὸ θεοῦ
θεοταρπές (Dor.)· θεὸν τέρποντες
θεότευκτον· θεοκατασκεύαστον [8]
θεουδής (ζ 121)· δίκαιος. εὐσεβής. εὐγνώμων. θεοῖς ἀρέσκων
? θεο.ίσσωτον (Aesch. Prom. 643)· θεοτίμητον ⟨θεόπεμπτον?⟩ [11—13]
θεουργική· θεοὺς ποιοῦσα [15—19]
θεόφιν μήστωρ ἀτάλαντος (Η 366)· θεοῖς ἴσος ἐν τῷ βουλεύεσθαι
θεόφιν· θεοῖς. ἐκ θεοῦ. τὸ γὰρ σχῆμα τοῦτο πληθύει· πασσαλόφιν, ζυγόφιν (Θ 67 Τ 404)
θεόφοβος· θεοσεβής
θεοφραδία· θεοῦ γνώμη, ἡ φράσις

COD. 60 Imo θείνει 64 θεοδέσιος Post 66] 73 θεόδυτα 67 οἰκονομικοί 68 θεοειδεστέρας 70 θαύματα 74 ψυχοπόμπιον 75 θεοίνιος διόνης ⟨ὁ Διώνης?⟩ 78 |υθες ἐ — ἀποταλουβίου π 79 |εῖται — ἀκούει 82 θεόχολος 83 θεοχυνεῖ 84 θεομητεῖ, θεοφορεῖται, θεῖα φρονεῖ 90 |κτας 91 θεοπεμπεῖν 93 θεοπρέπειον 98 θεόρρ| προχεόμενον bene Cyr. 171 ⟨99 Stat. Theb. V 176⟩ 301 θεὸν λέγειν ἐπευφ| 6 θεοτάρτεσοι ⟨θεοτερπέος — |τος Cyr. 171⟩ 23 θεόφρα

HES. 63 θεοδέκτορα· θεὸν δεδεγμένην 65 θεοδμήτων· ὑπὸ θεοῦ δεδομημένων, θεοκτίστων (Θ 519), ᾠκοδομημένων 66 θεοδόσια· ὑπὸ θεοῦ δεδομένα (non Hes. opp. 318) 71 θεόθεν (π 447)· ἐκ θεοῦ 72 θεοεπεῖς· ἐκ θεοῦ ἑπόμενοι, ἢ λεγόμενοι ⟨l. θεσπέσιοι⟩ Ad 74 ἤτοι διάφοροι οἱ κύνες οἱ Μολοττικοί· ἢ (οἱ χθόνιοι) ὅτι ψυχοπομπεῖόν ἐστιν ἐν Μολοσσοῖς 77 θεοῖο (Λ 28)· τοῦ θεοῦ Ad 85 σώφρων ad θέμερος 86 θέοντες (Ψ 38)· τρέχοντες 89 θεοπίς ⟨θέσπις⟩· ἀληθής. ἡδεῖα. ἀγαθή. ἰσχυρά Ad 99 ἡ ἀρχή 301 θεὸς θεός· ἔθος ἦν, ὅτε κατάρχοιντό τινος, λέγειν θεὸν ἐπιφημιζομένοις ⟨e Pausan. Eustath. 258, 28⟩ 8 θεουδέα (τ 364 Greg. Naz. Arc. VII 60 p. 9)· θειώδη 11 θεουδιής· θεῷ ἀρέσκων 12 θῡδέσι· ὑπὸ θεοῦ δεδομένοις ⟨Soph. OT. 1518?⟩ 13 θέουσα (Ζ 394)· τρέχουσα 15 θεοφάντορας (Nicet. David)· ὑπὸ θεοῦ πεφημισμένους, θεολόγους 16 θεώμενα· ἐκ θεοῦ μένοντα ⟨θεομανῆ — μανέντα⟩ 17 θεόφατα· ἐκ θεοῦ σημαινόμενα ⟨θέσφ—⟩ 18 θεόφατα· λόγια, πεπρωμένα. πολλά. ἄφατα. ὑπὸ θεοῦ πεφημισμένα 19 θεοφατίζει· μαντεύεται. περιττολογεῖ

ϑεοφραδίαις· θεοῦ γνώμαις, λόγοις, φράσεσι

ϑεόφρονος (Thebais cycl.)· θείου

ϑεοφροσύνη· αἱ περὶ τὸ θεῖον διατριβαί· καὶ † οὐ μαντεῖαι

† ϑέπτανος· ἀπτόμενος

ϑεραπαινίς· δούλη

ϑέραπες (Eur. Io. 94)· ὁμιλητῆρες

ϑεραπευτής· ἰατρός

ϑεραπίς (Plat. Menex. 244 E)· θεραπεύουσα

ϑεραπηΐας· τὰς βωμολοχίας

ϑεράπναι (Eur Herc. 370)· αὐλῶνες. σταθμοί

ϑεραπνίδες· ἔριθοι

ϑεραπνίδια· ἑορτὴ παρὰ Λάκωσι

? ϑεράπνη (sch. Nic. Th. 486)· θεραπαινίς, δούλη

ϑεράπνιον· θεραπαινίδιον, δουλίδιον [37]

ϑεράποντες (Apoll. lex.)· οἱ ἐν δευτέρᾳ τάξει φίλοι· ἀπὸ τοῦ θεραπεύειν· δοῦλοί τε καὶ ὑπηρέται

ϑεραπουσία· θεραπεία, ἱκετεία

ϑέραψ (Cret.)· θεράπων, οἰκέτης, δοῦλος, ἀκόλουθος

ϑέρει· † πρωΐ. θερμαίνει

Θερελίμιον· τόπου ὄνομα. καὶ Ἀπόλλων. καὶ Ζεύς

ϑέρεσθαι (τ 64)· θερμαίνεσθαι, καίεσθαι, θάλπεσθαι, πρὸς ἥλιον χλιαίνεσθαι

ϑερέσιμον· θερεστικόν (ϑέρσ— θερι—?)

ϑερήγανον· μέρος τῆς ἁμάξης· οἱ δὲ τὴν ἅμαξαν τὴν ἄγουσαν τὰ θέρη

ϑέρηγνον· τὸ ἐπὶ τῶν ἁμαξῶν παράπλεγμα, τὸ ἐπὶ τῇ ἀσταχύων παρακομιδῇ γινόμενον [46]

ϑερίζει· ἐνδιατρίβει τῷ θέρει, καὶ ἀλοᾷ [48]

ϑερινή (ὥρα)· θέρος

ϑερίσας (cf. Soph. Ai. 239)· τὸ θέρος ἀγαγών [51. 52]

ϑερσίχθων· θερμαίνων, γῆν καίων

ϑέρμα (Menand. fr. VII p. 98)· πυρετός: ἄδεια (Elei). καὶ ἐκεχειρία (pro θεσμά)

ϑερμαστ(ρ)ῆθεν· ἐκ καμίνων [56]

ϑερμάστραι (Callim. Del. 144)· κάμινοι

ϑέρμαστρις· σκεῦος παραπλήσιον καρκίνῳ, ᾧ χρῶνται οἱ χρυσοχοῖ. καὶ (ϑερμαυστρίς) ὄρχησις ἔντονος καὶ διάπυρος τάχους ἕνεκα

ϑέρμει· θερμαίνει

ϑέρμεσθαι· θερμαίνεσθαι

ϑέρμης (—ίης?)· ὁ θέρους πνέων

ϑερμόν· τὸ θέρος. Βυζάντιοι

ϑερμόπλα· ἵππου νόσημα περὶ τοὺς πόδας [63]

ϑέρονται· καίονται. χλιαίνονται, θερμαίνονται

ϑέρος· σῖτος. τοῦ θερίζειν ἡ ὥρα [66]

† ϑερουρότερος· ὁ χλωρὸς σῖτος † ἀμηθής

ϑερτήρια· ἑορτή τις (ἀνθεστήρια?)

ϑέσαι· θησαυρίσαι [71]

ϑέσθαι (υ 207)· ὑποθέσθαι. θησαυρίζεσθαι [73]

ϑέσκελα· [ad 74] θεοείκελα. ἢ θεοκέλευστα. θεῖα. θαυμάσια

ϑέσεις· πράξεις. καὶ ϑεῖναι ποιῆσαι

ϑέσμιον (Aesch. Ag. 1564)· δίκαιον

ϑεσμοθέται· ἄρχοντες. νομοθέται. νομοφύλακες, οἱ τῶν νόμων ἐπιμεληταί [78]

ϑεσμοῖς· νόμοις

ϑεσμοποιεῖς (Eur. Phoen. 1645)· νομοθετεῖς

ϑεσμούς (Aesch Eum. 751)· νόμου(ς) θείους. ἢ τὰς συνθέσεις τῶν ξύλων

ϑεσμοφόρια· τὰ μυστήρια τῆς Δημήτρας. ἢ ὄνομα ἑορτῆς

ϑεσμοφόρος· ὁ θεσμοὺς φέρων, ἤτοι νόμους [84]

ϑεσπέσιον· θεῖον, παραγώγως. ὅταν δὲ λέγῃ (Β 367)·

γνώσεαι εἰ καὶ θεσπεσίῃ πόλιν οὐκ ἀλαπάξεις·

τῇ θεότητι λέγει, εἰ μὴ κατὰ συνεκδοχὴν ἀκούοιμεν ϑεσπεσίῃ, τῇ ἐκ θεῶν βουλήσει [86. 87]

COD. Ante 30 θεραπευσία; cf. 339 35 ϑεραπαινίδες 35a ϑεραπνατίδια 41 cf. Ἐρεθύμιος, Ἐριδίμιος (Θερεμναῖον Meineck.) 42 χναίνεσθαι 44 cf. θρήτταvον, μόργος 51 καὶ .... πάντων post 55 57 ϑέρμαστραι 59 ϑερμεῖ 62 Βυζάντιον 63 νόσιμα (θερμοπλᾶν?) 65 χναίνονται 67 τῶν θέρων 68 ὀχμωρός 85 εἰ θεσπεσίην — ἀλωπάξεις

HES. 37 ϑεράποντες Διός (λ 255)· βασιλεῖς 46 ϑέρηται (Ζ 331)· θέρεται. καίεται 48 ϑερίκλειον· ποτήριον. κόνδυ (Θηρ—) 51 ϑέριστ(ρ)ον (gl. LXX)· λεπτὸν ὕφασμα, θερινὸν ἱμάτιον καὶ τὸ ἐπάνω ἐν τῇ κλίνῃ πάντων 52 Θερσίτης· ὄνομα κύριον 56 ϑέρκταρ· θέλγμα (θέλκταρ) 63 ϑερόμενος· θερμαινόμενος (Moer. 183) 66 ϑερσόμενος (τ 507)· θερμανθησόμενος. ἀπὸ τοῦ θέρω ἐνεστῶτος 71 ϑέσατο (Κ 23)· ἐνεδύσατο 73 ϑέσθω (Β 382)· εὐτρεπιζέσθω Ad 74 θαυμαστά (Γ 130) 78 ϑεσμῶν (ψ 296)· θείων νόμων. ἔθος νόμων 84 ϑέσπιν (α 328)· θείαν φωνήν 86 ϑεσπέσιος (Ο 637)· θείως. θαυμαστός 87 ϑεσπεσίῃ· μεγάλῃ, πόλει. θείᾳ. τῇ ἐκ θεοῦ βουλήσει

θεσπεσιώτερον· ἀξιολογώτερον

θεσπιάοιδος· ποιητής [90]

θεσπιδαές (Μ 177)· θείως καιόμενον, ἢ δαιόμενον [92]

θέσπιδες· θυσίαι. θεοσέβειαι

θεσπίζει· μαντεύεται, προφητεύει, ἐνθ(ε)άζει. νομοθετεῖ

θέσπιν (α 328)· θείαν, ἡδεῖαν, θαυμαστὴν φωνήν

θεσπιόφημον· παροιμίαν τινά

θεσπίσαι· προστάξαι. μαντεύσασθαι

θέσπισμα (Eur. Ion. 405)· θεῖον δόγμα. νομοθεσία

θεσπίσματα (Aesch. fr. 81)· μαντεύματα. καὶ τὰ ὅμοια

!θέσπις· ἀγαθή. ἀληθής. ἰσχυρά. ἡδεῖα

θεσπιῳδός· ἀληθὴς μάντις

Θέσπιος· ποταμὸς Βοιωτίας [403]

Θεσσάλαι· αἱ Κῷαι παρὰ Φιλητᾷ. καὶ αἱ φαρμακίδες

Θεσσαλὸν ...... (Eur. Phoen. 1407)· τοῦτο παροιμιῶδες, τασσόμενον ἐπὶ ἀπάτης

Θεσσαλιώτας· ἐναγισμός τις παρὰ Λάκωσι

θέσσαντο (Pind. N. V 18)· ἐξήτησαν. [ad 7] ἱκέτευσαν [ ]

θέσσεσθαι· αἰτεῖν. [ad 8] ἱκετεύειν

θεσσόμενος· δεόμενος. ζητούμενος. ἱκετεύων

(Θεστιάδες· Νύμφαι) cf. 247 [10]

θέσφατα (λ 297)· θεόφατα. μαντεύματα ἐκ θεοῦ λεγόμενα. εἱμαρμέναι ἐκ μαντείας λεγόμεναι

θέσφατον· πολύφατον. ὑπὸ θεοῦ πεφατισμένον. θεῖον. μέγα: ἀργόν, ἄπρακτον τὸ ἐκ θεοῦ μάντευμα (sch. Eur. IT. 121). προφητεία

θεσφατοῦται· θεσφατίζει, μαντεύεται. περισσὰ λαλεῖ

θετή· ποιητὴ θυγάτηρ

θετήρ· τολμητής. πράκτης

θέτης (Isae. 82, 18)· ὁ προθέμενός τι ⟨ὑποθ—⟩

θετικῶς· το ὀφειλόμενον γενέσθαι

Θέτις· ἡ μήτηρ Ἀχιλλέως. καὶ ἡ θάλασσα. ἡ δὲ γῆ λέγεται Τηθύς

θετόν· εἰσποιητόν, οὐ γνήσιον

Θετταλικὰ πτερά· τοῦτο εἴρηται διὰ τὸ πτέρυγας ἔχειν τὰς Θεσσαλικὰς χλαμύδας. Πτέρυγες δὲ καλοῦνται αἱ ἑκατέρωθεν γωνίαι διὰ τὸ ἐοικέναι πτέρυξι

Θετταλικὴ ἔνθεσις (Hermipp. fr. IV p. 399)· ἡ μεγάλη

Θετταλικὸς δίφρος (Eupol. fr. VI p. 442)· διάφοροί εἰσι τῷ κάλλει οἱ Θετταλικοὶ δίφροι· ἴδιον γάρ τι γένος αὐτῶν κατεσκεύασται

θετταλίς (Lysipp. com. p. 744)· ὑπόδημα ποιόν [Κρῆτες

Θετταλὸν σόφισμα (Eurip. Phoen. 1407)· [ad 24]

θεῦ· δεῦρο. τρέχε ⟨v. οὖνει⟩

θεύγεσθαι· θέλγεσθαι. Κρῆτες

θευμορία· ἀπαρχή. θυσία. ἢ δ λαμβάνουσιν οἱ ἱερεῖς κρέας, ἐπειδὰν θύηται. θεοῦ μοῖρα (Callim. Ep. XXXII 4)

θευμοριαζέτω· θεῷ γέρας ἀναφερέτω

θευξένια· Ἀπόλλωνος ἑορτή

θεύσεσθαι (Λ 700)· δραμεῖσθαι. διώξεσθαι [31]

θευσόμεθα (Menand.)· δραμούμεθα. φευξόμεθα. πλευσόμεθα

θεῦτιν· † σκαράδιν. Ἱππῶναξ (fr. 115) [34]

θεώματα· τὰ περικαθαρτήρια

θεῶν ἀγορά· [ad 36] [37]

θεῶν ἐν γούνασι κεῖται (Ρ 514)· παράκειται τῷ θεῷ, καὶ ἐν τῇ δυνάμει αὐτοῦ καὶ ἐξουσίᾳ κεῖται

θεωρία· ὄψις, θέα

Θεωρίδες· αἱ περὶ τὸν Διόνυσον Βάκχαι

θεωρικὰ χρήματα (Dem. Ol. 3, 11)· τὰ

COD. 89 θεσπιαοιδός (96 προοίμιόν τι? 402 Θεσπιαί· πόλις!) 4 θεσπάλαι 6 θεσσαλῶπις ἐναγιασμός 7 ἐξήτησαν; cf. θησ— 23 θετταλίας 27 οὐσία (ἐ) 33 θεύτιν (= τευθίδα) 36 συνεργεθῆναι προσαγορεύεσθαι 38 θεῶμενγ| 41 π ἀθηναίοις — μισθομένου

HES. 90 θεσπέσιοι· θεῖοι 92 θεσπιδαπῦρ (Μ 177)· τὸ θείως καιόμενον πῦρ 403 Θεσπρωτοί (ξ 315)· ἔθνος παρὰ Θεσσαλίας Ad 7 ἐκάθισαν — ἐνεδύσαντο (ad ἔσσασθαι) Ad 8 καθῆσθαι 10 Θεστορίδης (Α 69)· Θέστορος παῖς ὁ Κάλχας Ad 24 παροιμία ἐπὶ τῶν σοφιζομένων λεγομένη καὶ μὴ ε(ὐ)θυμαχούντων 31 θεύσεε (Ψ 623)· δραμεῖ 34 θέων (Ζ 54 al.)· βαδίζων, τρέχων Ad 36 παροιμία ἐπὶ τῶν τολμώντων λέγειν ἐν τοῖς τοσοῦτον ὑπερέχουσιν, ὅσον οἱ θεοὶ τῶν ἀνθρώπων. καὶ τόπος Ἀθήνησιν ἀπὸ τοῦ συναγερθῆναι προσαγορευθείς 37 Θεῶν ἐπὶ κάλλεικόλωνι (Υ 53)· τόπος ἐστὶ τῆς Τροίας ὑψηλός

εἰς θεῶν τιμὰς καὶ ἑορτὰς διδόμενα ἐν τοῖς Παναθηναίοις καὶ Διονυσίοις. ἅτινα ἐν τῷ θεάτρῳ ἐδίδοτο, καὶ ἐκ τοῦ θεάτρου συνήγετο ἀπὸ μισθωμένου τόπου

Θεωρικὸν ἀργύριον (Theophil. com. p. 631)· τὸ εἰς θεῶν τιμὴν καὶ ἑορτὴν διδόμενον, θεωρίας ἕνεκα, τοῦ καὶ τοὺς πένητας μετέχειν τῶν θεωριῶν. καὶ πάντα τὰ διανεμόμενα θεωρικὰ ἐλέγετο

Θεωρικῶς· ὡς θεωρὸς ἐστεφανωμένος· θεωροὺς δὲ ἐκάλουν τοὺς τοῖς θεοῖς τὰς ἀπαρχὰς ἀπάγοντας. ἐστεφάνουν γὰρ οὗτοι τὰς ἀπήνας

Θεώριος· ὁ Ἀπόλλων

Θεωρίς· κύριον ὄνομα. καὶ θεωρία. καὶ ἡ Σικυωνία τὸ γένος (Σοφοκλέους) ἐρωμένη

Θεωροί· οἱ θεοπρόποι. καὶ οἱ θεώμενοι, ἢ οἱ φροντίζοντες περὶ τὰ θεῖα. [λέγουσι δὲ καὶ τὴν ὁδόν, δι' ἧς ἴασιν ἐπὶ τὰ ἱερὰ

Θεωρίδα· καὶ τὰ διανεμόμενα ἀργύρια ἐν ταῖς ἑορταῖς [47. 48]

Θηβάνας (Aristot. de vent. 973, 8)· ἄνεμος

Θήβανις· †θήρα (αὔρα?) ἐκ τοῦ Πλακίου κόλπου πνέουσα [51]

Θῆβος· θαῦμα

Θηγάνει (Aesch. Ag. 413)· ὀξύνει

Θηγάνεον· ὀξύ, ἠκονημένον

Θηγάνη (cf. Soph. Ai. 820)· ἀκόνη. λέγουσι δὲ καὶ θήγανον

Θήγειν (Eur. Or. 1036)· ἀκονᾶν, ὀξύνειν [57]

Θηγή (Democritus)· θήκη. θέσις. τάξις

Θηγόν· οἱ δὲ ὀξύ, ἀκονητόν [60]

Θηεῖσθαι· θαυμάζειν

Θηεῖτο (ε 75)· ἑώρα. ἐθαύμαζε

Θηεύμενοι (Herod. VII 146)· θεωροῦντες [64—66]

†Θήημος· ἔθιμος

†Θηήμων· ἐθίμων

Θηήσασθαι· θεάσασθαι. θαυμάσαι

Θηήσεται· θαυμάσεται [71]

Θηητής· [ad 72] θεωρός

Θηητόν· θαυμαστόν. καλόν. καταθύμιον. περικαλλές. σύμφορον

Θηητός· θαυμαστός

Θῆκαι (Thuc. III 104)· οἱ ἀπόθετοι νόμοι. ἢ σοροί [76]

†Θηκία· τὰ ἐντάφια. δηλοῖ δὲ καὶ θησαυρόν. καὶ τάφον (Lacones). καψίον. γλωσσοκομεῖον

Θηκτόν (Eur. Med. 40)· ὀξύ, ἠκονημένον

Θηλαί· τῶν μαστῶν τὰ ἄκρα. καὶ τῶν χειλῶν τὰ ἐκπτυσσόμενα

Θηλαμινοῦ· νεογνοῦ

Θηλαμών (Lycophr. 31)· τροφός

Θήλαντο· ἐθήλασαν (θήσαντο?)

Θηλάστρια· τροφός. ἔστι δὲ Ἰακόν. Σοφοκλῆς Ἀλεξάνδρῳ (fr. 95)

Θήλεα· ἱμάντων τὰ τετρημένα, εἰς ἃ διωθεῖται τὰ ὀξέα. καὶ τῶν σπονδύλων τὰ κοῖλα

Θηλή (Plat. Cratyl. 414 A)· μαστός

Θηλητήρ· κυνηγός (θηρητήρ)

Θῆλυ (Eur. Med. 928)· ἀσθενές. γυνή

Θηλυγενής (Eur. Bacch. 117)· ὁ ἐναντίος τῷ ἀρρενωπῷ (—ένειος)

Θηλυδρίας (Herod. VII 153)· ὁ τεθηλυ(μ)μένος

Θηλυδριῶδες (Ar. Thesm. 131)· τὸ κατακεκλασμένον

Θηλυμανεῖς (non Antimach. fr. 16 Bgk.)· πόρνοι [92]

Θηλύνει· μαλάσσει [94. 95]

Θηλυτεράων (ψ 166 λ 385)· θηλειῶν, τῶν μόνων ἐγκυμόνων πλησιαζουσῶν ἀνδράσι. „μόναι γὰρ αἱ γυναῖκες ἔγκυαι οὖσαι πλησιάζουσιν ἀνδράσι, τῶν δὲ ἄλλων ζώων οὐδέν"

Θηλυφόν(ον)· τὸ ἀκόνιτον

Θηλώ· τροφός, τήθη

Θῆμα· θήκη. τάφος. ἀνάθημα. Σοφοκλῆς Σαλμωνεῖ (fr. 495)

COD. 43 θεωρικοὺς δὲ ⟨44 Paus. II 31, 6⟩ 45 σηκιωνία 46 θεοπρεποὶ 49 θηβανίς 50 θήβανα — πλαγίου 51 θήβα 58 θήγη; v. Suid. s. v. ῥυσμός 63 θηέμενοι 73 κατὰ θυμὸν 74 θηϊστός 75 σωοί 77 καμψίον (hoc θήβη ap. Cyr. 171) 81 τάφος 83 ἰάκκον 84 τετριμμένα ⟨cf. ἄρρενα et ε 2315⟩ 97 ἀκίνητον 99 ἄνθημα — σαλμονεῖ

HES. 47 Θεωρούς (II Macc. IV 19)· θεωρητάς, ἐπόπτας 48 Θηβαῖος· ἔθνος 51 Θήβη· πόλις Βοιωτίας. καὶ κιβώτιον (תיבה) 57 †Θήγεια· θαυμαστά. ψευδῆ ⟨θηητά⟩ 60 Θήγει (N 474)· ἀκονᾷ, ὀξύνει ⟨v. ἀκονᾷ⟩ 64 Θηεύοντο (H 444)· ἐθαύμαζον 65 Θηη (M 26)· ποιῆσαι 66 Θηης (Z 432)· ποιήσεις 71 Θηητήρ (φ 397)· θαυμαστής. θεατήρ Ad 72 ἀπατεών ⟨ad θηπητής⟩ 76 Θήκατο (K 31 Ξ 187)· ἐπέθηκεν 92 Θηλύματα· μέλιτι βεβρεγμένα ἄλφιτα ⟨θυλήματα⟩ 94 Θήλυσε ἔρση (ε 467)· ἡ τὰ φυτὰ θάλλειν ποιοῦσα δρόσος, καὶ θρεπτική 95 Θηλύτεραι (Θ 520)· αἱ γυναῖκες

θημονιαί· οἱ σωροὶ τῶν δραγμάτων ⟨θημω—⟩ [501]

θημών· πᾶν τὸ σεσωρευμένον, οἷον ἀχύρων ἢ πυρῶν

θημῶνες· θημονιαί

θήν· † διὰ ἤ που (Ρ 29)

θήνιον· γάλα

θῆξαι· ὀξῦναι, ἀκονῆσαι

θῆξις· ῥοπή. στιγμή. τάχος

θηπαλέος· βωμολόχος

θήπει· ψεύδεται

θηπητής· ἀπατεών ⟨472⟩

θηπόν· καταθύμιον. θαυμαστόν

θήπω· ἐπιθυμῶ. θαυμάζω

θήπων (Hippon. fr. 14)· ἐξαπατῶν, κολακεύων. θαυμάζων

θήρ (Ο 536)· θηρίον. ὁ λέων· ἀπὸ τοῦ θοῶς ὀρούειν

θήρα· κυνηγία, ἄγρα

θήραμα· εὕρεμα

θηρᾶν· ζητεῖν. εὑρεῖν. μηχανᾶσθαι

θῆρας· τοὺς σατυρίσκους

θήρατρον· δέλεαρ. ἄγκιστρον ⟨q. v.⟩

θηράτρων· θηρατικῶν [21]

θήρεον ⟨—αιον⟩ πέπλον· τὸ ποικίλον. οἱ Ἀττικοί· δοκεῖ δὲ ἀπὸ Θήρας τῆς νήσου προσηγορεῦσθαι

θηρία (Call. Dian. 12)· τὰ ζῷα. καὶ ἐπὶ τῶν ἵππων οὕτω λέγουσι [24. 25]

Θηρίκλεια (Com. V p. 463)· κυλίκων εἶδος· ἀπὸ Θηρικλέους κεραμέως (Theophil. com. p. 803)

θηρίον (Hippocr. II p. 134)· πάθος τι σώματος, ὃ καὶ καρκίνος καλεῖται

Θηρίτας· ὁ Ἐνυάλιος παρὰ Λάκωσιν

θηριώδης· ἀγριαινόμενος

θηροειδεῖς· ἐφαπτίδες ποικίλως διηνθισμέναι

θηροθῆραι· θηρευταί

θηρόλεξις· ὁ τὰς λέξεις θηρώμενος [33. 34]

θηροσύνας· κυνηγίας

† θηρότις· θηρεύτρια

θηροφόνος (Eur. Herc. 378)· θηροκτόνος. Ἄρτεμις

θηρώμενοι (Ar. Eqq. 864)· θηρῶντες, ἀγρεύοντες

θής· δοῦλος, μισθωτός. παράσιτος. ἢ ὁ τὴν † μερητικὴν ἐργαζόμενος παρὰ Ἀθηναίοις [40]

θῆσαι· θρέψαι, θηλάσαι [42]

θησάμενοι (cf. Archil. fr. 11)· αἰτησάμενοι. Κρῆτες

θήσαντο (Herod. III 23)· ἐθαύμασαν

θήσασθαι· θεάσασθαι. θηλάσαι [ad 45]

θησάσθω· κοιμηθήτω [47]

θήσατο (Heracleenses)· ἐδούλευσεν .... (Ω 58)

θησαυρίσασαν· συνάξασαν

θησαυρός· εἰς ἀγαλμάτων καὶ χρημάτων [ἢ] ἱερῶν ἀπόθεσιν οἶκος

θήσει· ὑποθήσεται. ποιήσει

Θησεῖα (Ar. Plut. 627)· ἑορτὴ Ἀθήνησι

Θησεῖον (Ar. fr. p. 1172)· νεὼς Θησέως, ἐφ' ὃν οἱ ἀποδιδράσκοντες κατέφευγον. δηλοῖ δὲ καὶ φυτόν τι ποιόν (Theophr. VII 12, 3)· καὶ τὸ δεσμωτήριον παρὰ Ἀθηναίοις

θήσεται (Eur. Ion. 75)· ποιήσεται

θήσω· ἤσω. αἰτήσω. Βοιωτοί

θησόμενοι· αἰτούμενοι [57]

† θηταλά· θαυμαστά, ψεύδεσιν ὅμοια

θῆτας (Herod. VIII 137)· μισθωτούς

θητεῖαι (Soph. OT. 1029)· μισθώσεις, μισθοδουλ[ε]ίαι

θητεύει· δουλεύει (ἐπὶ) μισθῷ

θητικόν (Aristot. Pol. II 10)· τὸ ἔσχατον τίμημα παρὰ Ἀθηναίοις

† θητόν· βωμόν [65]

θιαγόνες (Aetoli ap. Nicand. fr. 136)· ἄρτοι, οἳ παρετίθεντο τοῖς θεοῖς

† θιαχχά· ἄνθη ἐν Σικυῶνι

† θιάλλαι· θῆμνες ⟨v. θίλα⟩

θιάρατος (Cret.)· εὐκτός

θιάσαι· χορεῦσαι

COD. 503 θημόνες ⟨4 Δία ἤ?⟩ 8 θηπάλαιος, βομολόχος 11 καταθυμίαν ⟨v. θητόν⟩ 13 θηπῶν 18 σατυρικούς 20 θηράγρα Cyr. Dr. 23 θήρεια 26 θηρίκλειο, κυλικῶν — θηρακλέους ⟨28 Pausan. III 19⟩ 30 ἐφεπτίδες — διηνυσμέναι 32 θηρολέξης 40 ὁ θηρτιῶς ⟨53 Θήσειον Herodianus⟩ 60 μισθωτάς 60—65 = 61—65. 60 67 θιαχχά — συκιῶνι ⟨imo ειάχχα, ἰάχχα⟩ 69 εὔητος

HES. 501 θημοάνη· ἀπόθεσις 21 θήραυλος· ἀγρός τις ⟨θύραυλος· ἀγρώστης⟩ 24 θηρητήρ (Δ 292)· κυνηγός ⟨486⟩ 25 θηρί (Γ 449)· λέοντι 33 θηρολέτης (Greg. Naz. C. XVI 7 p. 232)· κυνηγός 34 θηρός (Κ 184)· λέοντος 40 θὴρ ὥς (Eur. Hec. 1173)· ὡς θήρ 42 θησαίατο (σ 190)· θαυμάσειαν Ad 45 εὐωχηθῆναι. μεθυσθῆναι ⟨θώσασθαι⟩ 47 θῆσ.αν (Eur. Alc. 2)· δουλικήν 57 θήσω (I Cor. IX 18)· ποιήσω 65 θίασε· χόρευσε

θιασεῦσαι· σπεῖσαι. προσενέγκαι

θίασον· εὐωχία(ν). καὶ πλῆθος, οὐ μόνον τὸ Βακχικόν, ἀλλὰ (καὶ) τὸ ἐργατικόν

θίασος· χοροῦ σύστασις, ἢ σύλλογος. καὶ τὸ ψιλὸν πλῆθος· ἔσθ' ὅτε δὲ καὶ τὸ Βακχικόν· ἢ ἑσμὸς γυναικῶν

θιασῶνες· οἶκοι, ἐν οἷς συνιόντες δειπνοῦσιν οἱ θίασοι

θιασῶται (Ar. Ran. 326)· χορευταί

θίβεις· γυναῖκές τινες [77]

θίβηνος· κιβωτός. Κύπριοι

θιβρήν· φιλόκοσμον, καλλυντικήν, ὑπερήφανον, κατωφερῆ, καὶ θρασεῖαν. καὶ παρὰ μὲν Νικάνδρῳ (Ther. 35) τὴν ἔμπυρον, καὶ καυστικήν· τινὲς δὲ χαλεπήν

θιβρόν· τρυφερόν. καλόν. σεμνόν. ἁπαλόν

θιγεῖν· ψαῦσαι, ἅψασθαι: ἅπτεσθαι ⟨θίγειν⟩

θιγμάτων· μιασμάτων

†θίγωνος· κιβωτοῦ

θίημι (Cret.)· ποιῶ

θιδρακίνη· θίδραξ καὶ θρίδαξ

θιήιον· θεῖον τὸ ὀρυκτόν. Κρῆτες

θιῆσαι (Cret.)· ποιῆσαι. φιλῆσαι

θικέλιον· τὴν γογγυλίδα. Λάκωνες

†θίλα· ὁ θημών (568)

θιμῶνες· θιμωνιαί

θίν· ὁ αἰγιαλός, ἀπὸ τοῦ θείνεσθαι. καὶ θῖν' (ἁλ)ὸς πολλάκις τὸ αὐτὸ λέγει. καὶ ἀρσενικῶς Ὅμηρος ὁ θίν, καὶ ὁ σωρός·
πολὺς δ' ἀμφ' ὀστεόφιν θίς (μ 45)
καὶ ἄμμος

θῖνες· ψάμμοι. ὑψηλοὶ τόποι. καὶ αἱ τῶν καρπῶν συγκομιδαί [93—95]

θίξεσθαι· ἅψεσθαι

θίξις· ἔψαψις

θιός· θεός. Κρῆτες

θιπόβρωτος [ad 99] καὶ θριπόβρωτος· ὁ ὑπὸ σητῶν βεβρωμένος

θίς (sch. Ar. Vesp. 696)· ὄχθος. βουνὸς ἀμμώδης. αἰγιαλός. θάλασσα. σωρὸς κυμάτων. τὸ κάτω βάθος τῆς θαλάσσης. ἢ ὀστέων σωρός (μ 45)

θίς· ἀνάχωμα σωροειδές, (καὶ οἱ τῆς ψάμμου σωροί)

†θισπῶσαι· εἰκάσαι ⟨v. σιπτῶναι⟩

θλαδίαι· εὐνοῦχοι

θλάσας· κλάσας, συνθλάσας

θλάσπις· πόα· ἣν ἔνιοι σαύριον

θλίβει (Ar. Pac. 1239)· ὠθεῖ, πιέζει

θλίβεται· πατεῖται. τοῦτο δὲ ἐπὶ σταφυλῆς λέγεται †γὰρ καὶ ὅτε τις ὀλιγορεῖ. πιέζεται

θλιβίας· θλαδίας. σπάδων [609. 10]

θνητίδια ⟨—άδια⟩· νεκριμαῖα [12]

θοάζει (Eur. Tro. 307)· τρέχει. μαίνεται. σκιρτᾷ. †κτείνει ⟨ἀκταίνει⟩. σπεύδει. ταράττει. κάθηται. χορεύει. ἀνύει. ἥδεται. τελεῖ. †πλάττει. φυβεῖται. πλανᾶται. θεοφορεῖται

†Θόαξος· Ἀπόλλων

θοάς: ὀξείας. ταχείας τῆς Λακωνικῆς ὁρμάς· [ad 15]

(θοείδια· ἰγδία, Κύπριοι) cf. 181

θοή· ταχεῖα, ἡ νὺξ μέλαινα. δεινή. ὀξεῖα. ἰσχυρά [17. 18]

θοηρός· τεταραγμένος ἐστίν ⟨θολερός⟩

θοῇσι· ταχείαις·
νηυσὶ θοῇσιν (N 84)
ὅταν δὲ εἴπῃ·
νυκτὶ θοῇ (M 463) [ad 20]

θοιά (Cret.)· ζεῦγος ἡμιόνων [22]

θοινᾶται (Eur. fr. 790)· εὐωχεῖται

θοινᾶσθαι (Eur. Alc. 545)· εὐωχεῖσθαι

θοίνη (Xen. KП IV 2, 39)· εὐωχία, τροφή, καὶ τρυφή. ἡ τράπεζα

θοινητήριον (Eur. Rh. 515)· κατάβρωμα, τροφή

COD. ⟨76 θιβεῖς· γόητες?⟩ ⟨78 ΕΙΒΗΝΟC = ἴβηνος⟩ 86 θίκιον — ὀρεκτόν ⟨88 v. ζακελτίδες⟩ 91 γίνεσθαι καὶ θίνος — ἀμφοστροφύνθις — ἄμμος 92 θιναί, ψάμμαι 96 ἅψασθαι 97 ἔποψις 98 θῖος 99 θιπόβρωτὸς κακός — θιπόβρωτος — σιτῶν 600 κυμμάτων 1 θίσανα, χῶμα. Verba καὶ ... σωροί post 603 3 Cf. 601 5 θλασπίς ⟨10 cf. Aesch. Ag. 539 Bergk Mimnerm. 2, 10⟩ 11 θνιτίδια 15 ταχείας τῆς Λακωνικῆς ὁρμᾶς (de cane?) 15b 16 θόη δὲ ἡ θυσία λέγεται Cyr. 171 20 ναυσὶ — νυκτὶ θοῇσι ταῖς τιναῖς ἢ ταχείαις — ἐστιν αὕτη γὰρ ἠνοειδής

HES 77 θίβη (Exod. II 3?)· πλεκτόν τι κιβωτοειδές, ὡς γλωσσοκομεῖον ⟨תבה⟩ 93 θινί (Δ 248)· αἰγιαλῷ 94 θινομένη (A 588, non Boeot.)· τυπτομένη 95 θινῶν (Genes. XLIX 26)· αἰγιαλῶν. ἢ σορῶν ⟨σωρῶν⟩ πυρῶν Ad 99 κακῶς δίχα τοῦ ῥ λέγεται 609 θλῖψις (N. F.)· στένωσις λύπη 10 θλάναι· ἀποθανεῖν ⟨θνάναι Cyr.⟩ 12 θνήσκοντας· ἀποθνήσκοντας Ad 15 ἡ ἡγεμὼν Ἰταλίας (Δ 527) ἢ ἐπινήας (A 12), ἢ τὰς ταχείας ναῦς 17 θοὴν διὰ νύκτα (K 394)· θείαν. ταχεῖαν. ὀξεῖαν 18 θοὴν ἀλεγύνεται δαῖταν (θ 38)· τὴν ἀγαθήν Ad 20 [ταῖς στειναῖς, ἢ τ(ρ)αχείαις (ο 299)· ἔνιοι δὲ κατὰ σχῆμα ὀξεῖα(ι)] τῆς γὰρ γῆς σκιά ἐστιν ἡ νύξ· αὕτη γὰρ κωνοειδής. τὸ δὲ θοός ὀξύνεται 22 θοἰμάτιον (Attici τό) ἱμάτιον ⟨Moeris⟩

θολία· πέτασος εἰς ὀξὺ συνηγμένος. σκιάδειον
†*θολερεῖν*· ταραχίζεσθαι
θολερόν (Thuc. II 102)· ταραχῶδες. ἀκάθαρτον, βορβορῶδες, τεταραγμένον
θολερῶς προβαίνει (Com. an. CXXXI)· [ad 30]
θολερόφρον· μέγα ......
θ' ὁλκάζει· χαλιναγωγεῖ ⟨cf. ὁλκ—⟩
θολόν· τεταραγμένον
θόλος· στρογγυλοειδὴς οἶκος, δι' ὀστράκων εἰλη[μ]μένος: ἢ τὸ τῆς σηπίας μέλαν ⟨θολός⟩
θόλος· κυρίως μὲν καμάρα· καταχρηστικῶς δὲ οἶκος εἰς ὀξὺ ἀπολήγουσαν ἔχων τὴν στέγην κατεσκευασμένος· ἢ ὅπου οἱ πρυτάνεις καὶ ἡ βουλὴ συνειστιῶντο. θηλυκῶς δὲ ἔλεγον τὴν θόλον. καὶ τόπος, ἐν ᾧ τὰ συμποτικὰ σκεύη ἀπόκειται
θολοῦσα· σκοτοῦσα
θολῶσαι· πληρῶσαι. στεγάσαι. ταράξαι. σκοτίσαι
†*θοναρία*· ὀξεῖα
θοόν· ὀξύ. λαμπρόν. σκοτεινόν. ἰσχυρόν. ταχινόν [40]
θοράνδις· τὸ ἔξω. Πάφιοι
Θοράτις ⟨—ταρ⟩· Ἀπόλλων παρὰ Λάκωσιν [43]
θορεῖν· πηδῆσαι, ὁρμῆσαι. ὀχεῦσαι
†*θορινεῦσαι*· ὁ ξιφίας ἰχθῦς
Θορικός (Isaeus)· δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. ὠνομάσθη δὲ ἀπὸ Θορίκου
θόρναξ· ὑποπόδιον Κύπριοι. ἢ ἱερὸν Ἀπόλλωνος ἐν τῇ Λακωνικῇ· ἀπό τε Θόρνακος *Θορνάκιος Ἀπόλλων*
θόρνυσθαι (Eustath. 1057, 4)· γεννᾶν, μίγνυσθαι. ὀχεύεσθαι, σπερμαίνειν [γεννᾶν]
†*θόρισμα*· δέλεαρ ἰχθύσι
θόροιο· ὀχευτοῦ
θόρος· βάτης, ἀφροδ(ισ)ιαστής. ὀχεία, ἡ ἔκκρισις τοῦ σπέρματος ⟨θορός⟩
θόρυβος· ζάλη, ταραχή [53. 54]

Θουκυδίδης (Thuc. I 1)· ἱστοριῶν συγγραφεύς. ὄνομα κύριον
θούλκότατον· βαρύτατον ⟨v. ὁλκός⟩
†*θοῦπος*· λόγος, μῦθος. ἑστίασις
θουραίη· ὀρεκτικῶς ἔχουσα, καταφερής. καὶ *θουραία*
θουραίην· ἀνδρείαν. θρασεῖαν. ἰσχυράν
θουρήεντος· λάγνου
θοῦρ..· βάτην ⟨θοῦριν⟩
θουρηταῖς ⟨—ήτιες⟩· αἱ τῶν ζώων μίξεις
θούρητρα· ὀχεῖα
θούριδες· νύμφαι. μοῦσαι. † Μακεδόνες
θούριδος ἀλκῆς (Δ 234)· τῆς πολεμικῆς. ἀπὸ τοῦ θορεῖν, ὅ ἐστι πηδῆσαι· ἀφ' οὗ καὶ *θοῦρος Ἄρης* (Eur. Suppl. 579 Call. Del. 64)
θουριομάν(τεις Ar. Nubb. 332)· τοὺς περὶ Λάμπωνα. φασὶν γὰρ εἰς Σύβαριν τὴν ἀπο(ι)κίαν Λάμπων(α) ἀγαγεῖν· τινὲς δὲ ..... μάντιν ὄντα
θουριῶν· ἐνεργῶν
θοῦρον (Ο 127)· πηδητικόν, ὁρμητικόν. πολεμικόν. θρασύ. μέγα. ἐρρωμένον
†*θούσχοινοι*, ἢ *θόσχοινοι*· ἅρπαγες. πλανῆτες [70]
θοώκους· συνέδρια
θοωθείς· [ad 72] παροξυνθείς [ ] [73. 74]
θοῶσαι· ὀξῦναι. λαμπρῦναι. (ὀξὺν) ποιῆσαι. † πυρῶσαι
θοώτατος· ταχύτατος, τάχιστος
θραίειν· λοιδορεῖν. Λάκωνες
Θραxία· Ἀφροδίτη
? *θραννομένη*· προορῶσα
? *θρανεύεται*· συντρίβεται ⟨700⟩
θρακτικόν (Dor.)· πορευτόν ⟨—ικόν⟩
θραμβόν· καπυρόν
θραμίς· κριός
θρανίαι· θρόμβοι
θρανίον· δίφρος. ὑποπόδιον. πάσσαλος (Ar. Ran. 121). θρόνος. καὶ τὸ ὑπὸ τοῖς φατνώμασι σανίδωμα. καὶ λάσανα. καὶ νεὼς μέρος. καὶ τὸ ⟨τῶν?⟩ ὑπὸ τὴν δοκόν τι

COD. 27 *θολεία*, πέτασσος — σκιάδιον ⟨31 —ονα· μετὰ ταραχῆς φρονοῦντα?⟩ 32 cf. λαθρακάζων 35 κατασκ| συνεστόηντο 39 ταχεινόν 41 *θοράνας* ⟨cf. θύρδα⟩ 44 cf. τε θορεῖν 45 θράνις? Plin. HN. XXXII 11, 53 46 θόρυκος 47 Κύπριοι legebatur ante θύρναξ — ἀπὸ τεθόρνακος *θόρναχις*, Ἀ| 51 *θορροῖο*, ὀχετοῦ 50. 51 = 51. 50 52 *θόρβος* 58 *θουρά*, ἡ 61 βατ.. 63 *θουρήτρα* 65 θῆρες 66 φασίν.εἰσ γὰρ 68 ἠρρ| 73 cf. ὀθῶς 76 *θοότατος* 77 *θεραίειν* 78 *θραικιά* 81 cf. 690 ⟨84 *θρανίαι*, *ῥόμβοι* (comicus)?⟩ 85 σανιδόμενον Cf. ἐπιθράνιον

HES. Ad 30 μὴ καθεσταμένην καὶ ἀσφαλῆ πορείαν ἔχων, ἀλλ' ἀστάτως καὶ τεταραγμένως προϊών (Zenob. IV 31) 40 *θορᾷ* (Θ 320)· κατεπήδησε 43 *θόρε* (Ψ 509)· ἐπήδησεν 53 *θορών* (Κ 528)· πηδήσας, ὁρμήσας, δραμών 54 *θοῦ* (Ps. CXLI 3)· θές. ἐπίστησον 70 *θοωθείς*· πλασθείς ⟨θωχθείς⟩ Ad 72 πλησθείς. ἑστιαθείς — εὐωχηθείς ⟨θωχθείς⟩ 73 *θοῶς* (Γ 325)· σφοδρῶς. ταχέως 74 *Θόωσα* (α 71)· μήτηρ Κύκλωπος

θρανογράφους· τοὺς εὐπρεπεῖς ⟨ἀπρεπεῖς⟩ τοιχογράφους

θρᾶνον· δίφρον

θραν(ί)τιδες κῶπαι· αἷς οἱ θρανῖται χρῶνται ἐν ταῖς καταφράκτοις ναυσί

θρᾶξαι· ταράξαι (sch. Aesch. Prom. 628). λυπῆσαι. Εὐριπίδης Πειρίθῳ (fr. 603)

θραξεῖται (Dor.)· ταράξεται. πορεύσεται

θρασεῖαν· ὀξεῖαν

θράσις· θραῦσις. φθορά. θάνατος. ἀρρωστία. ἧττα ἐν πολέμῳ ⟨706⟩

θράσκειν· ἀναμιμνήσκειν

† θρασύτην· τὸ ἀποδημοῦντα θρασύνεσθαι

Θράσος· δαίμων. ἀλαζον(ε)ία, φρύαγμα. ὀξύτης. μάχη

θρασυκάρδιος· εὔτολμος, θρασύς [ad 96]

θρασυμέμνονα (Ε 639 λ 266)· θρασὺν κατὰ τὸ μένος. γενναῖον. εὔτολμον [ad 97] ἀλαζόνα. τραχύν. σκληρόν. ἀπηνῆ. φλύαρον, ταραχώδη. ὑβριστήν

θράττειν (Attici)· ἐνοχλεῖν, ταράττειν

θράττης· ὁ λίθος ὑπὸ Θρᾳκῶν

θράττομαι· συντρίβομαι, συγκόπτομαι

† θράττον· ὕπερον. κόλουρον ⟨703⟩

θραύει· συντρίβει

θραῦλον· κόλουρον. † ἄπυρον ⟨701⟩

θραῦρον· τραγανόν. θραυόμενον

θραύσει (Ar. Av. 466)· πραΰνει. † ἀμήσει. ἀπολεῖ

θραῦσις· [ad 706] πληγή. σφῦρα ἡ τοὺς βώλους θραύουσα

θραῦσμα· λύπη. πληγή. κατάπτωμα γῆς. καταστολή. παῦσμα, παῦσις

θραχθείς (Attici)· ταραχθείς

θρεκτικώτατος· ὀξύτατος ⟨681⟩

θρέκτος· δρόμος, ταχαῖος. ἀπὸ τοῦ θρέξαι καὶ δραμεῖν

θρεκτοῖσι νόμοις· ἀντὶ τοῦ τροχαίοις Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ (fr. 424). ἔνιοι δὲ κρεκτοῖσ(ι)

θρέξατο· ἐφυλάξατο. ἐσεβάσθη [13—15]

θρέξαντες· ἐλαφρῶς ἐπελθόντες

θρεόμενον· ὀλοφυρόμενον

θρέπτα (Δ 478?)· τροφεῖα. τροφῶν ἀμοιβαί ⟨ε 5739⟩

θρεπτῆρες· τρέφοντες [20]

.......¹) τροφός ⟨ε 5740⟩

θρεπτός· τρόφιμος, ὑπὸ τῶν τρεφουσῶν [23. 24]

θρέττε (Ar. Eqq. 17)· τὸ ἀνδρεῖον. ἢ θρασύ

θρεφθῆναι· τραφῆναι. παγῆναι

θρέψαι (ι 246)· πῆξαι. [ad 27] καὶ τὸ σύνηθες

θρηνεῖ· πενθεῖ, ὀλολύζει, ὀλοφύρεται [29]

† θρηϊκή· ὑποδημάτων εἶδος Περσικῶν

θρῆνος· γόος [32]

θρῆνυν ἐφ' ἑπταπόδην (ο 728)· τόπος τῆς νηὸς ... βάσιν ἔχων

θρῆνυς· ὑποπόδιον. καὶ ἡ ἐν τῷ μέσῳ πλοίου σανίς, ἀπὸ τοίχου εἰς τοῖχον [35]

θρησκεύει· σέβεται, θεραπεύει. προσεδρεύει. ὑπηρετεῖ, τῷ θεῷ λατρεύει

(θρησκὴν τονθρύν· ....) cf. 762

θρησκός· ἑτερόδοξος. εὐσεβής

θρησκῷ νόῳ· ..... ⟨762⟩

θρησόμενος· † θερισόμενος. θερμανθησόμενος

θρήττανον· τῆς ἁμάξης, ἐφ' ᾧ τὰ ἀγόμενα ἐπιτίθεται

θρῖα (Euang. com. IV p. 572, 7)· φύλλα συκῆς, ἢ ἀμπέλου· καὶ τὰ ἐν αὐτοῖς δεσμούμενα βρώματα

θριάζειν· φυλλολογεῖν. ἐνθουσιᾶν, ἐνθουσιάζειν. Εὐριπίδης Λικυμνίῳ (fr. 481) καὶ Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ (fr. 425)

θριαί (Callim. Ap. 45)· αἱ πρῶται μάντεις. καὶ νύμφαι. καὶ αἱ μαντικαὶ ψῆφοι

θριαμβεῦσαι· θορυβῆσαι. βοῆσαι

θριαμβεύσας· πομπεύσας

θρίαμβος (Cratin. p. 36)· πομπή. ἐπίδειξις νίκης. ἢ Διονυσιακὸς ὕμνος, Ἴαμβος

† θριάτιον· ἁπαλωτέρα τροφή

COD 87 θᾶνον, δίφρων 89 θράξαι cf ἐπιθρᾶξαι 90 θραξεῖται 97 θρασύμνονα — ἀπεινῆ 700 θραττεύομαι (θράττομαι Cyr. 171); cf 680 4 ῥάγανον 5 θραύει — ἀπώλλει 6 βόλους ⟨10 θρεκτοδρόμος· τροχαῖος?⟩ 11. 12 legebantur ante 723 11 τροχαῖος 18 ἀμοιβῶν 19 τρεφόμενοι 25 θρέται cf. θρίτται 26 πατῆσαι 30 ὑπὸ δημάγων 33 ἐφαπταπόδην 37 θρῆσκος — εὐγενής 37 θρήσκῳ· νοῶ ⟨40 cf. θερήγανον⟩ 41 θρία 42 λυκυμνίω; cf. ὀρθιάζειν 44 |μβάσαι

HES. Ad 96 τολμηρός (Κ 41) Ad 97 τολμηρόν ⟨paraphr.⟩ Ad 706 ὀργή (Num. XVI 49) 13 † θρέειν· θροεῖν 14 θρεομένη (Eur. Med. 51)· θρηνοῦσα 15 θρέμματα (Ioann. IV 12)· βοσκήματα, πρόβατα. τέκνα 20 θρεπτήρια· (Greg. Naz. Arc. VIII 70 p. 28 Dr.) 23 θρεσκή· ἁγνή. πάντα εὐλαβουμένη ⟨5746 ε⟩ 24 θρεσκός· περιττός. δεισιδαίμων ⟨737⟩ Ad 27 ἐκτρέφειν 29 θρῆνυν (Ξ 240)· ὑποπόδιον 32 θρῆς· ἡμίονος ⟨θρῆς —οι⟩ 35 θρησκεία (ep. Iacob. I 27)· σέβασμα ⟨763⟩

Θριάσιαι· πύλαι οὕτω καλοῦνται Ἀθήνησιν

θριγκός (η 87)· ἡ στεφάνη τοῦ τείχους. περίφραγμα, ὡς περίβολος. ἤγουν τὸ ἀνάστατον τοῦ τείχους, [οἰκοδομῆς] ἐφ' οὗ καὶ ἡ στέγη κεῖται. καὶ ὁ ὑπὸ τὸν κλινόποδα τοῦ τοίχου τόπος. ἡ περιχαράκωμα. καὶ τριγχός [50]

θριδακίναι· εἶδος μάζης παρὰ Ἀττικοῖς. καὶ αἱ παρ' ἡμῖν θρίδακες [ad 51]

θριῆσαι· χαπρίσαι

† θριληδεῖν ⟨θρυλλίδδην?⟩· θρυλλεῖν

† θριήλοοι· ἱερεῖς [55]

θρῖναξ· πτύον σίτου. ἡ τρίαινα

θρινία· ἄμπελος ἐν Κρήτῃ

? θριμμός· γογγυσμός

θρῖον (Ar. Eqq. 955)· βρῶμα σκευαστόν. διττὴ αὐτοῦ ἡ σκευασία· ἡ μὲν διὰ ταρίχου, ἡ δὲ διὰ ᾠῶν ἐπιχεομένου μέλιτος. συκῆς δὲ φύλλα οὐχ ἁπαλὰ ἐπετίθετο· ἔχουσι γάρ τινα ὀσμήν. διὸ καὶ θρῖον ἐκλήθη

Θριοῦς· δῆμος φυλῆς Οἰνηΐδος

θριπόβρωτος· οἱ Λάκωνες σφραγῖσιν ἐχρῶντο, ξύλοις ὑπὸ σητῶν βεβρωμένοις, κατασημαινομένοι[ς] ὁπότε βούλοιντο. Φιλοστέφανος δέ φησι πρῶτον Ἡρακλέα χρήσασθαι [62—64]

θριπήδεστον (Hyperides)· ξύλον ὑπὸ θριπῶν βεβρωμένον. οἱ γὰρ ἐν τοῖς ξύλοις σῆτες οὕτως ἐκαλοῦντο

θρίττε (Ar. Eqq. 17)· ἀνδρεῖον. θρασύ. ἔστι δὲ ἀμετάφραστον

θρίψ· γλίσχρος, φειδωλός

Θριώ· † λίπος ἑορτὴ Ἀπόλλωνος· καὶ ἡ σύντροφος αὐτοῦ (v. Θρώ)

Θριῶζε (Thuc. I 114)· εἰς Θριάσιον πεδίον

θροεῖ (Soph. Ai. 864)· λαλεῖ. ψοφεῖ. θορυβεῖ. ἠχεῖ

(θροεῖται·) ἐκπλήττεται [71]

θρόμβοι· αἷμα παχὺ πεπηγός

θρόνα (Χ 441)· ἄνθη. καὶ τὰ ἐκ χρωμάτων ποικίλματα Κύπριοι

† θρονίτις· πρώτιστος [76]

θρόνον τετράπουν (Anaxil. fr. I 25 p. 348)· καὶ τὸν ἱερὸν δίφρον καὶ ἐκπεποικιλμένον

θρόνος· ἀνάκλιτος δίφρος

θρόνωσις (Plat. Euthyd. 277 D)· καταρχὴ περὶ τοὺς μυουμένους

θρόος· σκληρὰ φωνή. λαλιά. θροῦς. θόρυβος (Δ 437). φθόγγος. ψόφος. ἡ τεθραυσμένη φωνή [82. 83]

θροῦς (Xen. ΚΠ VI 1, 37)· ὁ διὰ στόματος ἦχος. λαλιά. ψιθυρισμός

θρυαλλίς· ἐσχάρα. λύχνος (Philyll. p. 866). ἀκτίς (Nub. 585). καὶ τῶν φυομένων τι, ἐξ οὗ ἐλλύχνια γίνεται. ἡ στυπίον ἐκ βοτάνης. ἤγουν τὸ ἐλλύχνιον [86]

† θρυασμός· φωνή

θρυγανᾷ (cf. Ar. Eccl. 34)· κνᾶται. ξύει

† θρυαρίς· ψιαθής [90]

θρυλεῖ· ταράσσει, ὀχλεῖ [92]

θρυλίχθη (Ψ 396)· συνετρίβη. συνεθραύσθη. ἀπεδρύφθη

θρῦλοι· ψιθυρισμοί. ὁμιλίαι

θρυ.ματίς (Antiph. com. fr. V 4 p. 101)· ἡ ὑφ' ἡμῶν ἐνθρυ.ματίς

θρυμίς· ἰχθῦς ποιός

θρύμματα (Aristoph.)· κλάσματα ἄρτου

Θρύον (Β 592)· πόλις ἐν Ἀρκαδίᾳ, ἣν θρυόεσσαν Ὅμηρος (Δ 711) λέγει. καὶ εἶδος βοτάνης (Φ 351) [99]

θρύπτακον· κλάσμα ἄρτου. Κρῆτες

θρύπτεται· μαλακίζεται, τρυφᾷ, στρηνιᾷ. κλᾶται

† θρημνεύεται, ὑπερηφανεύεται

θρύψαι· θραῦσαι. κόψαι. κλάσαι. καὶ ἀνακλάσαι. μαλάξαι

θρύσκα· ἄγρια λάχανα ⟨ἔνθρυσκα⟩

COD. 48 θριαιάσιαι ⟨52 θρίσαι· χαρπίσαι?⟩ 56 θρίναξ ⟨57 cf. ὀρινίαι 60 a Θριώ⟩ 61 θριπτόβ| — |νοι δὲ φασί (cf. θιπόβρωτος) 65 θριπηδεστόν — θριπτῶν 66 θρίτται 69 θρίωζε (72 Choerob. orth. p. 218, 22) 74 Κύπριοι legebatur post 72; cf. schol. Theocr. II 59 θρόν, ἄνθη — ποικιλμάτων; cf. θρόα, τρόνα 80 θρόον 85 θριαλλίς 88 Cf. θυργανᾶν 91 θρυλλεῖ 93 θρυλλύχθη 94 θρύλλοι

HES. 50 θριχθοῖς (ρ 267)· φραγμοῖς Ad 51 ἤτοι μαϊούλια ⟨μαρούλλιν recte Cyr. Voss.⟩ 55 Θρινακία (λ 106)· ἱερὰ Ἥλιος, ἡ νῦν Σικελία, τρία ἄκρα ἔχουσα ναύβαιον, σαυῦτον, Πελωριάδα· ἐν ᾗ φασι τὰς Ἡλίου βοῦς εἶναι 62 θρίσκειν· τὸν θροῦν ⟨θρησκὴν τονθρύν· ....⟩ 63 θρισκεία· λατρεία ⟨θρη—⟩ 64 θρόα (sch. B ad Χ 441)· ἄνθη. ἀπὸ τοῦ ὁρᾶν ⟨θορεῖν⟩ ἄνω 71 θρόδακα (Byzant.)· θρίδακα 76 Θρονεῖον (Β 533)· πόλις 82 θρώσκει· πηδᾷ, σκιρτᾷ 83 θρόμβος ⟨θρωσμός⟩· ὑψηλὸς τόπος, ὡς βουνοί 86 θρίαμβοι· τρόπαια 90 θρύδεσα (Δ 711)· ἀπὸ τῆς Θρύου πόλεως 92 θρύλλημα (Iob. VII 6)· ἄσημοι φωναί 99 Θρυόνιον (Β 533)· πόλις Λοκρίδος. ἡ Θρόνιον

θρύψιχος· τρυφερός, μαλακός. αἰσχρός. χαῦνος

θρυψίχρως· τρυφερός

θρώισκει· πηδᾷ, ἀφάλλεται. κολυμβᾷ [8]

θρώναξ· κηφήν. Λάκωνες

θρώπτει· σκώπτει

θρῶσις· διαίρεσις. σπαρτίον, σειρά. καὶ ἡ κάτω σχοῖνος τοῦ δικτύου

θρώσκει· πηδᾷ, σκιρτᾷ, τρέχει. ἅλλεται. πίπτει. ὀχεύει, ἔγκυον ποιεῖ, γεννᾷ

† θρώσσει· γεννᾷ. φοβεῖται

† θρώσκω γνώμα· Καλλίστρατος ἀντὶ τοῦ αἰσθάνομαι νῦν κεῖσθαι λέγει. τινὲς δὲ ἀντὶ τοῦ † ὑρόσαι κατὰ τὸ πληθυντικόν

θρώσκων κνώδαλα· ἐκθορίζων, καὶ σπερματίζων. γεννῶν. Αἰσχύλος Ἀμυμώνη (fr. 15)

θρωσμός (*Λ* 56)*· ὑψηλὸς τόπος βουνοειδής, ἀφ' οὗ καταβαίνοντα θορεῖν ἔστι*

† θρόσσον· † ὄξενον

θύα· ἀρτύματα. Κύπριοι. ἔνιοι τὰ ἀρώματα. Καλλίμαχος (fr. CCCLIV). *Εὔπολις* (fr. XXII p. 470) *τὰ πέμματα. λέγεται δὲ καὶ τὰ θυόμενα † τὴν θεὴν*

† θυαλόν· τὸ θυτοῖς διαλαβεῖν. θυμιᾶσαι

θυάματα· τὸ θύμον. καὶ θυμιάματα

θυᾶν· καπρᾶν. ἐπὶ ὑός

θύανον· τὴν θυώνην. πέμμα δέ ἐστιν ἀντὶ βοός

θυά(ρ)παξ· ἱερόσυλος

θύας· πηδήσας

θυγατριδῆ· ἐγγόνη. θυγάτηρ θυγατρός

θυγατριδοῖ· τέκνα θυγατρός

θύει· μαίνεται (*Α* 341?)*· ἀπάρχεται. ἐνθουσιᾷ*

† θύειται· ἐνθύνει. εὐφραίνεται. θύηται [29]

θύελλα (Ψ 366)*· ἀνέμου συστροφή, καὶ ὁρμή, ἢ καταιγίς*

θύελλαι (δ 727)*· τῶν ἀνέμων καταιγιδώδεις πνοαί, καὶ συστροφαί*

θύεσσι (Hesiod. Opp. 337)*· θυσίαις. ἢ θυμιάμασι*

θύεστον· ποτὸν τὸ ἀπὸ ἀρωμάτων [ὡς Ἡρόδοτος (VII 167)

θύεται· ἱεροσκοπεῖ [35]

θύη (Aesch. Eum. 835)*· θυάματα. ἀρώματα*

θυηέντων (Hes. Theog. 557)*· εὐόδμων* [38]

θυηκόοι· ἱερεῖς

θυηλήν· θυσίαν [41]

θυηπολος· ὁ περὶ τὰς θυσίας ἀναστρεφόμενος ἱερεύς (Greg. Naz. Arc. II 75 p. 192!)

Θυιάς· Βακχή· οἱ δὲ Μαινάς

† Θύιος· Ἀπόλλων ἐν Μιλήτῳ

θυϊόεν· πλῆρες

θυϊόεντες· ἀνθοῦντες

θυϊωθείς· μανείς. ὁρμήσας

θυλάκια (Herod. III 152)*· ἀσκοὶ δερμάτινοι*

θυλακίζειν· τὸ (*μετὰ βοῆς*) *ἀπαιτεῖν τι ἑπόμενον μετὰ θυλάκου. Ταραντῖνοι ⟨—ίσσειν⟩*

? θύλαξ· προσκεφάλαιον

θυλακοτρώξ· μῦς. οἱ δὲ ἀκρίς

θυλακοφόροι (Arist. inc. CLXXV)*· οἱ μεταλλεῖς. θυλάκοις περιφέροντες τὰ ἀρώματα, καὶ πήραις· ὅθεν ἐκαλοῦντο καὶ πηροφόροι*

θυλήματα (Ar. Pac. 1039 Plat. com. p. 675)*· βεβρεγμένα μέλιτι ἄλφιτα, ἢ θυμιάματα ἐπὶ βωμῶν* [54]

θύλλα· κλάδους, ἢ φύλλα (Crelice?). *ἡ ἑορτὴ Ἀφροδίτης*

θυλλίς· θύλακος. γωρυτός. ἔλυτρον [57]

θῦμα (Eur. IT. 596)*· ἱερεῖον, σφάγιον, ὁλοκαύτωμα*

θυμαδέων· ἀθυμῶν

θυμαίνεται ⟨—νει?⟩· ὀργίζεται

θυμαλγέα· λυπηρά, τὴν ψυχὴν ἀλγεῖν ποιοῦντα (Herod. I 129). *χαλεπόν* (*Δ* 513)

θυμάλωπες (Ar. Ach. 320)*· οἱ ἀπὸ τῆς θυμιάσεως σπινθῆρες*

COD. 805 *θρυψικός* 6 *θρυψιχρῶς* |*ῶς* 7 *θρώσκει* 9 cf. *καφάν* (*Drohne*) 10 cf. *θώπτει ἠρώπτει κρούπτει δρώπτειν* 11. 12 = 12. 11 11 *θρωμός· φαδικτύου* Theognost. 20, 28 18 *ἀρτώματα Κύ*| (Cyprii *θόεα* dicebant) 20 cf. *θυήματα, θύωμα* δ 21 *θύαν, κάπραν* 24 *θύασσε· ἐπήδησε* Cyr. 171 26 *θυγατρι* 27 *θύη* 33 *θυευτὸς οὐξόμβρων ποταμός* Theognost. 20, 17 34 |*πεῖται* 36 *θαύματα* 39 |*κύλοι* Theognost. 20, 18 43 *θ'..ας, βάκχ.* 47 *θυωθείς* 49 cf. *θαυλακίζειν* et *σουλάδ* κ 52 *μετάλλοις — πυροφόροι* 53 *βεβρηγμένα* (cf. *θυήματα, θηλύματα*) 54 *αἱ θύλα* (55 an *θύσθλα*?) 56 *θύλλεις — ἔλιτρον* (59 *θυμαχέων* Meineke)

HES. 808 *Θρώ· λιμός ⟨Θριώ· δῆμος⟩* 29 *θύεις ⟨θυόεις⟩· τεθυωμένος. τεθυμιαμένος* 35 *θυσῶν* (ο 261)*· θυσιῶν* 38 *θυηλάς* (Ι 220)*· ἀπαρχάς. ἢ τὰς διὰ θυμάτων μαντείας* 41 *θυήματα· τὰ ἐπιφερόμενα ἄλφιτα εἰς θυσίαν ⟨θυλη—⟩* 54 *θυλίδες ⟨θυλλ—⟩· οἱ θύλακοι* 57 *θύλον· ὀλέθριον ⟨οὖλον⟩. ὄριμον*

θυμάλωψ· ἡ λιγνυώδης τοῦ πυρὸς ἀναφορά. τινὲς δὲ ξύλον κεκαυμένον, δαλόν

θυμαμοργάς· ἡ νόσος. Ἐρετριεῖς ⟨—εύς Achaeus?⟩

θυμαρέα (Ι 336)· τῇ ψυχῇ ἀρεστά

θυμαρές (ρ 199)· εὐάρεστον: εὔκρατον (κ 362)

θυμάρμενον (Nic. Al. 590 Callim.)· καταθύμιον. ἡδύ

θύματα (Thuc. I 126 Soph. El. 634)· σφάγια. ἀπαρχαί. ἱερεῖα. ὄργια

Θύμβρα· τόπος τῆς Ἰλίου παρὰ τὸν Θύμβρον ⟨—ιν?⟩ λεγόμενον ποταμὸν οὕτως ὀνομασθεὶς τῆς ἀρχαίας πόλεως ἀπέχοντα σταδίους δέκα, ὅπουγε καὶ ἱερὸν Ἀπόλλωνος Θυμβραίου (Κ 430)

Θυμβ(ρ)αῖος (Eur. Rhes. 224)· Ἀπόλλωνος ἐπίθετον ἀπὸ τόπου

Θύμβρις· ὄνομα ποταμοῦ

θυμβροφάγος (Ar. Ach. 253)· ἀντὶ τοῦ δριμύς· ἡ γὰρ θύμβρα δριμύ ἐστι βρῶμα

θυμέλαι· οἱ βωμοί. καὶ τὰ ἄλφιτα (Pherecr. inc. LXIII) τὰ ἐπιθυόμενα

θυμέλη· οὕτως ἔλεγον ἀπὸ τῆς θ(υ)ηλῆς τὸν βωμόν. οἱ δὲ τὸ ἐπίπυρον, ἐφ' οὗ ἐπιθύουσιν, ἢ ἔδαφος ἱερόν

θυμηγερέων (η 283)· ἀνακτώμενος τὴν ψυχήν, καὶ τὸν θυμὸν συλλέγων [76]

θυμηδία (Eupol. fr. V p. 4:8)· ἡδύτης, τέρψις, ἀρέσκεια. παρὰ τὸ ἡδύνειν

θυμη(ρ)έα· καταθύμια, ἀρέσκοντα

θυμήρης· ἡδύτερος, ἀρέσκων ψυχῇ· θυμὸς γὰρ ἡ ψυχή

θυμία· προθυμοῦ. ὀργίζου

θυμικώτερος· ὀργιλώτερος μετὰ θυμοῦ

θυμιχθείς· πικρανθείς

θυμοβόρον (cf. Aesch. Ag. 111)· χαλεπόν. ὑπὸ τοῦ θυμοῦ ἐσθιόμενον, ἢ τὴν ψυχὴν κατεσθίοντα

θυμοβόροιο (Η 301)· ψυχοφθόρου

θυμοδακής (θ 185)· [ad 86] ἀψικάρδιος. λυπῶν τὴν ψυχήν

θυμοειδής (Plat. Civ. 375 A)· ὀργίλος. θυμώδης

Θυμοιτάδης· δῆμος φυλῆς Ἱπποδοωντίδος τῆς Ἀττικῆς [88]

θυμόμαντις (Aesch. Pers. 224)· ὁ τὸ ἀποβησόμενον συλλογιζόμενος καὶ προγινώσκων. ψυχόμαντις. καὶ συνετῶς προορῶν τὰ ἀποβησόμενα [90—92]

θυμοραϊστής· θυμοφθόρος (Π 414)· ῥαῖσαι γὰρ τὸ φθεῖραι καὶ ῥῆξαι

θυμός· ψυχή. ἡ προαίρεσις. ὀξύτης. πνεῦμα. ἐπιθυμία. ὀργή. λογισμός

θύμον (Antiph. com. p. 133)· τὸ σκόροδον

? θυμόσοφος (Ar. Nubb. 877)· ὁ ἐκ φύσεως εὐμαθής, καὶ εὐφυής, ὀξυμαθής, ἐκ φύσεως σοφός [97. 98]

θυμώδης· [ad 99] ἰσχυρῶς θυμούμενος

θυνάσαι· τέμνειν, κόπτειν ἀφειδῶς ⟨θυνν—⟩

θυνᾶται (Boeot.)· εὐωχεῖται. κατεσθίει [902]

θύνει· ὠθεῖται. φέρεται. τρέχει. χαίρει ⟨σκαίρει?⟩. ὁρμᾷ

θυννάδες ⟨907⟩· τεμάχη ταρίχου

θυννάζοντες (Ar. Vesp. 1087)· κεντοῦντες. τοὺς γὰρ μεγάλους θύννους τριόδουσιν ἐλάμβανον [6]

θυννίδες· θύννων τεμάχη, ὑποκοριστικῶς ⟨904⟩

θύννον. τὸν ὄρκυνον λέγουσι· τὴν δὲ πηλαμίδα θυννίδα [9]

θῦνος· πόλεμος. ὁρμή. δρόμος

θυοδόχοι (Eur. Io. 513)· βωμοί, οἱ τὰ θυμιάματα δεχόμενοι

† Θυόει· χωρίον ἐν Εὐβοίᾳ ⟨cf. Ὀρέστη⟩ [13. 14]

† θυοκόχθεις· μάντεις ⟨θυηχόοι⟩

θύον· ὄνομα δένδρου

θύος (Aesch. Ag. 1409)· ἱερὸν θῦμα

COD. 63 λιγνιώδης 64 |οργας 67 θυμαρμένον 69 περὶ — ὀνομασθέντα — Θυμβράκου 72 δριμυφάγος ἡ 73 θυμάλαι 77 ἀρεσκία Ante 80] 87 ⟨ad θυμηρέστερος⟩ 86 θυμώδης 87 θυμιοτάδης, cf. 80 93 |ρέστης — ῥῆσαι 94 λογδομός 96 Spuria? cf. app. proverb. 99 θυμοδίσας 903 θύναε 8 ὄρκινον 10 θυνοσπόλεμος; cf. οὖνον 17 θῦος

HES. 76 θυμηδέα (π 389)· θυμῷ ἀνδάνοντα Ad 86 λεοντόψυχος 88 θυμολέοντα (Ε 639)· γενναῖον, ἤτοι ἀνδρεῖον κατὰ τοὺς λέοντας, ἢ λεοντόθυμον 90 θυμὸν ἔδων (κ 379)· λυπούμενος πάνυ, καὶ δακνόμενος τὴν ψυχήν 91 θυμὸν ἄχευ (Σ 461)· τὴν ψυχὴν λυπούμενος 92 θυμοραϊστέων (Σ 220)· τῆς ψυχῆς φθαρτικόν. ἀνθρωποφάγον 97 θυμοφθόρα (Ζ 169)· τὰ τὴν ψυχὴν διαφθείροντα 98 θυμῷ (Α 24)· ἐν ψυχῇ Ad 99 θυμῷ ἀρέσας ⟨ad θυμαδής⟩ καὶ 902 θῦνε (Ε 250)· ὅρμα. ἄγ[αγ]ε 6 θυνάσαι· ἀπολαῦσαι. ἐνθουσιάσαι ⟨ad ὄνασθαι et θυάσαι⟩ 9 θύννον (Β 446)· σπεῦδον. ἔτρεχον 13 θυόεν (Ο 153)· εὐῶδες. τεθυμιαμένον 14 θυόεν νέφος (Ο 153)· ἀνεμῶδες. τεθυμιαμένον, εὐῶδες

θυοσκεῖν (Aesch. Ag.)· ἱεροῖς παρέξεσθαι, ἢ θεοῖς

θυοσκόος (χ 318)· εἶδος μάντεως διὰ σπλάγχνων τὸ μέλλον δηλοῦντος. οἱ δὲ τὸν δι' ἐμπύρων ἱερῶν τὰ σημαινόμενα νοοῦντα

θυοσκόπος· ὁ διὰ τῶν σπλάγχνων ἢ θυμάτων μαντευόμενος

θύπτης (Thespis)· ὁ τυρός ⟨l. χθύπτης⟩ [22. 23]

θύραζε Κᾶρες· παροιμία [ad 24]

θύραθεν· ἔξωθεν ......

θυραία· ἀλλοτρία, ξένη

θυραία (Menand fr. XI p. 184)· καὶ ἡ μεταξὺ δύο οἰκιῶν θύρα

θυραῖος (Eur. Andr. 422)· [ad 28] ὁ ξένος, ὁ ἀλλότριος, καὶ ὁ ἐξωτικός

θυραίων· ἀλλοτρίων, καὶ μὴ συνοίκων

†θυράγματα· ἀφοδεύματα

θύραν· τὴν πτύχας ἔχουσαν

?θύραξ· πύργος. χιτών ⟨v. θώραξ⟩

θύραυλοι· τῶν ποιμένων οἱ ἀπόκοιτοι [34. 35]

θυργανᾶν· κρούειν ⟨κνύειν⟩

Θυργωνίδης· δῆμος (....) τῆς Ἀττικῆς

θύρδα· ἔξω. Ἀρκάδες

θυρεατικοί· στέφανοί τινες παρὰ Λακεδαιμονίοις

θύρεθρα· θύραι

θυρεός· ἀσπίς. καὶ ὁ ἐπικείμενος τῇ θύρᾳ τοῦ Κύκλωπος λίθος ἀντὶ θύρας (ι 240) [42. 43]

θυρετρέας· φλιᾶς

θυρηβόλιον· τὴν ἐπ' ἀγρῷ οἴκησιν

θύρηθ' ἔα (ξ 352)· ἔξω ἤμην

θυρίς· ὀπὴ μικρά. Θυρίδας Ἀττικοὶ τὰς τῶν γραμματείων πτυχάς. καὶ δίθυρον λέγουσιν, οὐ τρίθυρον, ἀλλὰ τρίπτυχον

θυροιγόν· θυρωρόν [49]

Θυροποιός· οὕτως ἐκαλεῖτο Ἀριστομένης, ὁ κωμικὸς ποιητής, σκωπτικῶς

†θυρουλλεῖν ⟨—αυλεῖν⟩· ἔξω θυρῶν αὐλίζεσθαι

θυρσοπλῆγες· οἱ ἐν τοῖς Βακχείοις ἐνθεαζόμενοι

Θύρσος· ῥάβδος, βακτηρία βακχική, ἢ κλάδος. καὶ αὐλητὴς οὕτως ἐκαλεῖτο

Θύρσος· αὐλητὴς ἦν γυναῖκα ἔχων ἑταίραν

Θύρσου γονή· Ἀριστοφάνης ἐν Νήσοις (p. 1113) οὐ τοῦ αὐλητοῦ μνημονεύων, ἀλλ' ἀντὶ τοῦ φύλλα εἰπεῖν καὶ κλάδους

θύρσῳ (Eur. Bacch. 188)· κλάδῳ: λαμπάδες, λύχνοι

θυρῶνας (Soph. El. 328)· τὰς σανίδας καὶ τὰς εἰσόδους

θυρωρός· ὁ παράνυμφος, ὁ τὴν θύραν τοῦ θαλάμου κλείων

θῦσαι (I 219)· ἀπάρξασθαι. θυμιᾶσαι. θυσιάσαι

θύσανοι (B 448)· κροσσοί. κόρυμβοι

θυσάνουρος· δασύκερκος. ἄρσην

θύσθλα (Z 134)· αἱ κράδαι. ἔνιοι μὲν τὰ φερόμενα τοῖς βωμοῖς Βακχικά. οἱ δὲ τὰ φύλλα τῆς ἀμπέλου. ἄλλοι κλάδους. οἱ δὲ ῥάβδους, νάρθηκας, θύματα, χοάς

θύσκα· κύρια ⟨θυσκάρια?⟩

θυσπολίαι· θυηπολίαι [66]

θυσσάνοισι· κροσσοῖς (non Ξ 181) [67a]

θύσσεται· τινάσσεται

θυσσόμεναι· σειόμεναι, τινασσόμεναι ⟨v. εὔστόν⟩

Θύστα· Θυῖα [71]

Θυστάδες· Νύμφαι τινές, αἱ ἔνθεοι, καὶ Βάκχαι

θυστάδες· ἔνθεοι. τὴν τῶν Βακχῶν φωνὴν θυστάδα (Aesch. Sept. 269) φασίν. ἐλέγοντο δὲ καὶ αἱ τῇ Περσεφόνῃ ἱερωμέναι

COD. 18 cf. θεοσκνεῖ 21 θύρα, ἐν θύρεσιν 24 κάρες παροιμία οὐκ ἔτ' ἀ| εὐωχούμενοι 28 θυραιός 33 ποιουμένων; cf. θήραυλοι 36 κρίνειν; cf. θρυγανᾷ 37 |ανίδης 38 cf. θοράνδις 40 θυρεός θυραιος d. ἢ σκουτάριον 44 |εᾶς 46 θυρηθία 47 γραμμάτων 48 |συρόν Post 49 οὕτως ἐκαλεῖτο 52. 53 = 53. 52 52 βακχιοῖς ἐθ| 55 θυρσουκύνη — νήσ.. 56 θύρσοι, κλάδοι ⟨πυρσοί· λ. λ.? cf. Panofka archäol. Ztg. 1847 S. 141⟩ 62 δικράδαιαῖνιοι — θύμα Ante 63] 72 θυσιάδες — θυσιάδα — ἱερούμεναι 69 θύστα, θυσία 72] ante 63

HES. 22 θύραθεν, θύρασιν· ἔξωθεν, ἔξω 23 θύραζε· (εἰς) τὰ ἔξω τῆς θύρας, ἐπὶ θύρας, ἢ εἰς τὴν θύραν. ἢ εἰς τὴν γῆν ⟨ad ἔραζε, ἤραζε⟩ Ad 24 οὐκέτ' ἀνθεστήρια (Com. an. p. 676)· ἣν οἱ μὲν διὰ τὸ πλῆθος οἰκετῶν Καρικῶν εἰρῆσθαί φασιν, ὡς ἐν τοῖς ἀνθεστηρίοις εὐωχουμένων αὐτῶν καὶ οὐκ ἐργαζομένων Ad 28 εἶδος ἀσπίδος ⟨θυρεός⟩ 34 θυράξαι· ἔξω τῆς θύρας ⟨θύραζε⟩ 35 θυραυλᾶσι (Philo 1 p. 306)· πρὸ θυρῶν διατρίβουσι 42 θύρετρα (B 415)· θυρώματα 43 θύρετραι· θύραι 49 θυροκοπιστικὸν ⟨—πητικόν?⟩ ἢ θυροκοπικόν 66 θυσανόεσσα (E 738)· κροσσωτή. αἰθερία· θύσσανος γὰρ ὁ κροσσός 67a θύσσα· ὅπλα νήϊα ⟨οὖσα schol. Lycoph. 20⟩ 71 θυσῶν· θηριωδῶς ὁρμῶν ⟨v. θωΰσσειν⟩

θύστας· ὁ ἱερεὺς παρὰ Κρησί

θυστηρίοις· θυμιατηρίοις

†θύστινον· τρίχινον. οἱ δὲ μεσοτριβῆ

θύτης· μάντις, ἱεροσκόπος

θῦψαι· τὸ ἐπικαῦσαι· ἀφ' οὗ τὸ τεθυμμένον. ἄλλοι τυφῶσαι, καῦσαι

θύψαντα· πῦρ ἀνάψαντα

θυώδεα (ε 264)· εὐώδη, εὔοσμα, θυμιάματος ὀσμὴν ἔχοντα

θυῶεν· εὐῶδες

θύωμα (Herod.)· μύρον. ἄρωμα

θύων· σπεύδων. θυσιάζων [88]

Θυώνη· ἡ Σεμέλη (v. Σίν)

Θυωνίδας· ὁ Διόνυσος παρὰ Ῥοδίοις. τοὺς συκίνους φάλητας

θυωρεῖσθαι· †θυωθεῖσθαι. εὐωχεῖσθαι

θυωρίτης (Lycoph. 93)· τραπεζίτης

θυωρόν (Callim. Dian. 134)· τράπεζαν τὴν τὰ θύη φυλάσσουσαν. καὶ τοὺς ἱερεῖς καὶ μυρεψοὺς οὕτω [89]

θωας· [ad 90] ζημίας. θῆρας ἐξ ὑαίνης καὶ λύκου γινομένους [91]

θωή (N 669)· ζημία, βλάβη, ὅθεν ὁ ἀζήμιος ἀθῷος

θωθῆναι· φαγεῖν. γεύσασθαι

θωκεῖ (Iones)· κάθηται. ὁμιλεῖ

θῶκος (Θ 439)· καθέδρα, θρόνος. σύλλογος

θῶμα (Herod. V 43)· θαῦμα

θωμένους· θοινωμένους, εὐωχουμένους

θωμεῦσαι· συμμῖξαι. συναγαγεῖν

θῶμιγξ (sch. Aesch. Pers. 461)· λεπτὸν σχοινίον

θώμιγγες· δεσμοί, ὁρμιαί, σχοινία, χορδαί, σπαρτία κανάβινα

Θῶμις· ὁ Κάνωπος πόλις

θωμίσσει· νύσσει. δεσμεύει

†θώμισσον· τὸν μισθόν

θωμιχθείς (Anacr. fr. 21, 10)· μαστιχθείς

θωμός· σωρὸς σταχύων, ἢ κορμός

θῶνται· θοινῶνται, εὐωχοῦνται. εὐθηνοῦνται

θῶξαι ⟨v. θᾶξαι⟩· μεθύσαι. πληρῶσαι [ad 207]

θωός· ὄρνις ποιός

θῶπες· κόλακες. εἴρωνες

θωπικός (cf. Ar. Lys. 1037)· κολακευτικός [11]

θώπτει· σκώπτει. θεραπεύει [13]

θώραξ· ὅπλον. πύργος. χιτών. στῆθος. σῶμα. λωρίκιον. σφραγιδοφύλαξ. καὶ ἐρεᾶ στέμματα †καὶ τὸ στῆθος ἡμῶν [15]

θώρηκος γύαλον (E 99)· περιφραστικῶς τὸν θώρακα. τινὲς δὲ τὸ κοῖλον τοῦ θώρακος, ἢ τὸ κύτος. Γύαλον δὲ λέγεται τὸ κοῖλον. [ad 16] Ζητοῦσι δέ, πῶς πληγέντος κατὰ τοῦ ὤμου τοῦ Διομήδους φησί· θώρηκος γύαλον; πρὸς οὓς λεκτέον, ὅτι πᾶν τὸ κοῖλον γύαλον λέγεται. τὸ δὲ θώρηκος γύαλον, ὅτι ἁλυσιδωτοί, ἢ λεπιδωτοί. ἀνάγκη γὰρ τοὺς λεπιδωτοὺς καὶ κοίλους λέγειν (O 530)·

τό(ν) ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα, θαῦμα ἰδέσθαι [17]

θώρηξις (Hippocrat. II p. 218 K)· οἰνοποσία. καθόπλισις

θωρήσ(σ)εσθαι (Λ 714)· καθοπλίζεσθαι, ἀπὸ μέρους. [ad 19] μάχεσθαι. ἑτοιμάζεσθαι [20]

Θωρυκίων (Ar. Ran. 363. 381)· οὗτος τελώνης ἦν

θώς· εἶδος θηρίου, λύκῳ ὅμοιον

θώσασθαι· εὐωχηθῆναι [ad 23]

θῶσθαι· δαίνυσθαι. θοινᾶσθαι. Αἰσχύλος Δικτυουλκοῖς (fr. 48)

θωστήρια· εὐωχητήρια. καὶ ὄνομα ....

θωτάζει· ἐμπαίζει, χλευάζει

θῶται· εὐθηνεῖται. θοινᾶται [ad 27]

COD. 74 θυτ — θυμα — 77 θῦσαι, τὸ ἐπικλύσαι — τεθυμομένον — τυφλῶσαι 78 πύρα ἀφ| 84 σεμνή 88 μυρετοὺς 90 γινωσκομένους ⟨ad θωᾶς et θῶας⟩ 96 θωμάνους, θοινομένους 98 συνταγεῖν 1000 ὁρμί.. κανάβηνα 1 κανω$\overset{ο}{\pi}$ ⟨alii Θῶνις⟩ 6 θοίνονται 9 ἥρωνες 12 σκόπτει ⟨cf. θρώπτει⟩ 16 θώρικος — ποικίλον — ζητήσουσι — γύαλον οἱ δὲ ἀλ| 21 θωρηκίων 24 δύνασθαι· θωνᾶσθαι — |ούλκοις 25 Ἀθηνᾶς (ad Ζωστηρία?) 26 v. ἐπιθωτάζοντες 27 εὐθύνεται θυνᾶται

HES. 83 θυωθείς· εὐωχηθείς ⟨θωχθείς⟩ 89 Θωμᾶς (Ioann. XI 16)· ἄβυσσος. ἢ Δίδυμος Ad 90 ταχείας ⟨ad θοάς⟩ 91 θῶες ὄρεσφιν (Λ 474)· θηρία †μικρὰ ἐν τοῖς ὄρεσι Ad 207 θηριωδῶς βοῆσαι ⟨ad Eur. Hipp. 219 θωῦξαι⟩ 11 θωπεία (Eur. Or. 669)· κολακεία 13 θωρακτάων (M 317)· ὁπλιτῶν 15 θώρηκες (N 265)· τὰ αὐτά Ad 16 θωρικτῆσι (Φ 429)· τεθωρακισμένοις 17 θωρητῆσι (Φ 429)· τεθωρακισμένοις Ad 19 τοῦ θώρακος 20 θωρηχθῆναι (Λ 226)· καθοπλισθῆναι Ad 23 μεθυσθῆναι Ad 27 τρέχει ⟨ad σῶται⟩

θωΰσσειν· βοᾶν. μέλπειν. κηρύσσειν. θηριωδῶς ὁρμᾶν

θωχθείς· θωρηχθείς. μεθυσθείς. Σοφοκλῆς Διονυσιακῷ (fr. 176)

θώψ (Eur. fr. 688)· κόλαξ, ὁ μετὰ θαυμασμοῦ ἐγκωμιαστής

θώψεις· θωπεύσεις. Αἰσχύλος Σισύφῳ πετροκυλιστῇ (fr. 230) [32]

I

Ἶα (Φ 569)· μία, καὶ μόνη, καὶ αὕτη. καὶ φωνή, καὶ βοή (Eur. Rhes. 553). καὶ τὰ ἄνθη τὰ πορφυροειδῆ (carm. pop. fr. 12). ἢ βέλη (Υ 68) 2—7]

†ἰαειδοῦς· ἄνθος βοτάνης [9—12]

ἰαθενεῖ· διαπορεῖ ἐπί τινι κακῷ. Κῷοι ⟨361⟩

ἴαθος· πρόθυμος ⟨i. q. ἰήθοος⟩

ἰαθμός· κοίτη. ὕπνος. καὶ ὅπου τὰ κτήνη κοιμᾶται. καὶ αὐλή. οἱ δὲ ἰαυθμός

ἰαίνεσθαι· διαχεῖσθαι

ἰαίνεται· χολοῦται, πικραίνεται. παρὰ τὸν ἰόν. Φρύνιχος Αἰγυπτίοις (fr. 1) [18. 19]

ἰακαῖς (Macedon.?)· βοαῖς

ἰάκχα· στεφάνωμα εὐῶδες ἐν Σικυῶνι

ἰακχάζει· φυλλολογεῖ. καταβοᾷ

Ἴακχον· τὸν Διόνυσον. ...... ἢ μίαν ἡμέραν τῶν μυστηρίων, ἐν ᾗ τὸν Ἴακχον ἐξάγουσι. καὶ ἡ ᾠδή, ἣν οἱ μεμυημένοι ᾄδουσι· καὶ ἥρως, ⟨οὗ⟩ καὶ ναὸς ἐν τῇ Ἀττικῇ καὶ ἄγαλμα. τινὲς δὲ καὶ αὐτὸν τὸν Διόνυσον οὕτως ἔλεγον

ἰᾶλαι· εὑρεῖν, ἐντυχεῖν, πέμψαι [25]

ἰαλεμίζειν· θρηνεῖν

ἰάλεμοι· θρῆνοι. ὀρφανοί, στερόμενοι. θρηνητικοί. ἄνανδροι. δυστυχεῖς

Ἰάλεμος· υἱὸς Καλλιόπης. καὶ ὁ κακοδαίμων. [ ] καὶ ὁ στερόμενος, καὶ ὀρφανός. ἔνιοι δὲ οὐδενὸς ἄξιος [ad 28]

ἰαλεμώδη· ψυχρά, οὐδενὸς ἄξια. καὶ παροιμία· ψυχρότερος καὶ οἰκτρότερος Ἰαλέμου

ἰαλέμων (Eur. Or. 1382)· θρήνων. δυστήνων, ἀθλίων

?†ἰαλία· φωνή. Κρῆτες ⟨v. ἰωλία⟩

ἰάλιον· ἐρέβινθον. ἢ τὴν θάλασσαν. Κρῆτες

†ἰαλλίς· χιὼν ἐθνικῶς ⟨ἰαλίς ordo⟩

ἴαλλε· πρόπεμπε

ἰάλλει· παρέχει. ἐκτείνει. πέμπει. ἐπιβάλλει. εὑρίσκει. δίδει

ἰάλλοις· ἐμβάλλοις. πέμποις

ἴαλλον· ἔπεμπον. ἐξέτεινον (Ι 91)

(ἴαλον·) ἔκτεινον [39]

Ἰαλύσια· τὰ ἐν Ἰαλυσῷ νομίσματα

ἰάλω· προπέμψω

ἴαμα (v. l. Aesch. fr. 343)· θεραπεία

ἰαμβαυλεῖν· τὸ δι' αὐλοῦ παριαμβίζειν τῇ κιθάρᾳ καὶ ᾠδῇ

Ἰάμβη (Nic Al. 132)· γυνή τις, ἐφ' ᾗ ἡ Δημήτηρ ἐγέλασε πενθοῦσα. ἀφ' ἧς [ad 44]

ἰαμβίζειν (Gorgias)· τὸ λοιδορεῖν, κακολογεῖν [ad 44]

ἰαμβίς· Αἰσχύλος Θεωροῖς ἢ Ἰσθμιασταῖς (fr. 76). τοῖς κιθαρίζουσιν ὁ αὐλὸς συνῄει καὶ αἱ τοιαῦται κιθαρίσεις ἐλέγοντο παριαμβίδες

ἴαμβοι· ῥυθμοί τινες, καὶ μέλη, καὶ †δάκτυλοι καὶ ⟨—ικοὶ⟩ στίχοι. εἶδος ποιήματος

Ἴαμβος· ὄνομα πόλεως περὶ Τροίαν

ἰαμβῦκαι (Eupol. p. 481)· ὄργανα μουσικά, ἐν οἷς τοὺς ἰάμβους ᾖδον. ἡ δὲ σαμβύκη ἕτερον ὀψὲ εὑρημένον

(ἰαμβύλος· λοιδορητικός)

COD. 29 cf. θοωθείς θυωθείς 31 σεισύφω πετρακυλισθείς I 8 ἴα· εἶδος ἄνθους!
13 ἰαηθένει (η suprascr.) — κακῶς (h. e. ἰαθενεῖ); ἰαοινεῖδι, ἀπορεῖ Theognost. 18, 2 15 αὐλός — αὐθμός 17 ἐπικρ| 21 συκιῶνι ⟨cf. θιακχά et ἰάγχειτον⟩ 24 ἰάλαι 29 ἰαλέμου ᾠδή — ἀξία 36 ἔκτεινον] post ἔπεμπον 40 ἰαλύσαι νο| 41 ἰάλλω, προπέμπω 43 ἰαμβουλεῖν — αὐτοῦ παραβιάζειν ἐν τῇ 44 ἐγελοίασε Ante 45] 49 ἰαμβηλός 45 ἰσθμίας ταῖς

HES. 32 θώων (Ν 103)· εἶδος θηρίου, ὡς λύκος I 2 Ἰά· δασυνόμενον τὸ ἄλφα, καὶ ὀξυνόμενον τὸν θεὸν σημαίνει καθ' Ἑβραίους (יָהּ) 3 Ἰάκωβος (Marc. III 17)· πτερνιστής. πόνος. καὶ Ἰωάννης καὶ Ἰάκωβος Βοανεργὲς ἐκαλοῦντο, ὅ ἐστιν υἱοὶ βροντῆς 4 Ἰαχάρ· ὁ κύων ἀστήρ ⟨elchabar⟩ 5 ἰάγχειτον· στεφάνωμα (cf. gl. θ 567) 6 ἰάδει· καθεύδει ⟨ἰαύει⟩ 7 ἰάδος· στρεβλός ⟨ἰλλός⟩ 9 ἰάειρε (Δ 637)· πρόσφερε 10 ἰάζετο· ἵδρυτο ⟨ἵζετο⟩ 11 Ἰαζήρ (Iesai XVI 9)· ἰσχύς 12 ἰακλητί· πλευρά ⟨Ἰαήλ⟩ 18 ἰαίνομαι (τ 537)· εὐφραίνομαι 19 †ἰαιφόνος (Ε 844)· μιαιφόνος 25 ἰάλασι (Ν 572)· δεσμοῖς Ad 28 καὶ ὁ καλός ⟨ad ἰδάλιμος⟩ — καὶ ἰαλεμος χρόα. οἱ δὲ οὐδενὸς ἀξία 39 †ἰάλοι· θάλαμοι Ad 44 [ἰαμβίζειν] — [ἀπὸ Ἰάμβης τῆς λοιδόρου]

†ἰάμοι· ἐβόα ⟨ἰάβει Theognost.⟩

ἰαμεναί· οἱ ὑλώδεις καὶ ἔνυδροι τόποι, καὶ πόαν ἔχοντες· ἀπὸ τοῦ ἀνιέναι τὴν ὕλην. τενάγη, τέλματα

ἰαμενάς· τὰς †πόλεις [53]

ἴαμνοι (Nic. Th. 538)· θάμνοι. κοῖται. νομοί

ἴανα· τὰ βαλλόμενα· ἀπὸ τοῦ ἱέναι (Υ 68?)

ἰάνθη (Ο 103)· ἐχάρη. διεχύθη. ηὐφράνθη [57]

ἴανθον· ἄνθος, καὶ χρῶμά τι πορφυροειδές

Ἰαννα· ἐν μὲν Αἰχμαλώτισι Σοφοκλέους (fr. 53) ἀπέδοσαν Ἑλληνική, ἐπ(ε)ὶ Ἰάνας τοὺς Ἕλληνας λέγουσιν· ἐν δὲ Τριπτολέμῳ (fr. 555) ἐπὶ γυναικός, ὡς καὶ ἐν Ποιμέσι (fr. 474). τινὲς δὲ τὴν Ἑλένην. ἐπιεικῶς δὲ οἱ βάρβαροι τοὺς Ἕλληνας Ἴωνας λέγουσι †μέν. καὶ ἐν Τρωΐλῳ (fr. 569) βάρβαρον θρήνημα [τὸ ἰαί.] ἢ ὄνομα γυναικός

ἰανοκρήδεμνος· ἰοῖς ὅμοιον τὸ ἐπικράτισμα .....

ἰανόκροκα· λεπτά [62]

Ἰαξάρτης· ὁ Τάναϊς ποταμός. ἔστι δὲ τῆς Σκυθίας, ἐμπίπτων εἰς Μαιῶτιν λίμνην

Ἰάονες (Ν 685 Ar. Ach. 106)· Ἀθηναῖοι. οἱ Ἴωνες, ἀπὸ Ἴωνος, καὶ οἱ ἄποικοι αὐτῶν. ἔνιοι καὶ τοὺς Θρᾷκας καὶ Ἀχαιοὺς καὶ Βοιωτοὺς Ἕλληνας

Ἰαπετός (Ar. Nubb. 998)· ἐπὶ διασυρμῷ, πρεσβύτερος, ἀρχηγός

ἰάπτειν· σπαράσσειν, αἰκίζεσθαι. βοᾶν. βλάπτειν

ἰάπτεις· βλάπτεις

ἰᾶπυξ (Aristot. de mund. 4)· ἄνεμος ἐλαφρός ⟨λαβρός⟩

ἴαρ (Boeot.)· αἷμα. ἢ μοῖρα ⟨ad Ἶρα⟩ [70. 71]

ἴαραξ (Epicharm. fr. 45)· ἰχθῦς ποιός, Δωρικώτερον· διὰ τὸ ἐοικέναι τῷ πτηνῷ. καὶ λύχνος ὁ πρὸς τὰ ἱερά [73]

ἰαρεῖον (Dor.)· πρόβατον. βοῦς

ἰαριγμόν· χαράν. καὶ θροῦν. Κρῆτες

ἰαροπότης ⟨—πώνεις Boeot.?⟩· αἱμοπότης

†ἰαροχρείαν· τὴν δαφῦν. Ἰταλοί

ἰαροχρής (Dor.)· καθαρός. θύσιμος

ἰαρπάλαμος· ἀκρόχειρος ⟨homicida⟩

ἰάρωμα· κοσμάριον παιδικόν. μηνίσκοι, καὶ τὰ τοιαῦτα

†ἰάσθων· ἀφελόμενος

ἰάσιμα (Plat. Gorg. 525 B)· δυνατὰ ......

ἴασιν (Π 160)· [ad 83] οἴχονται

ἴασις· θεραπεία [ad 84]

†ἰάσχειν· ἄγειν [86]

ἰάσπιδος· εἶδος λίθου (ἡ) ἴασπις

†ἰασσεῖν· θυμοῦσθαι. δάκνειν ⟨= ἰάπτειν⟩

Ἰαστί· Ἑλληνιστί

Ἰασώ· παρὰ τὸ ἰᾶσθαι. φησὶ δὲ Ἀριστοφάνης (Plut. 701) καὶ Ἀμφιαράου θυγατέρα εἶναι Ἰασώ

ἰᾶται· θεραπεύει

ἴατρα ⟨ἰατρεῖα?⟩· μισθοὶ θεραπείας

Ἰατροί· νύμφαι τινὲς καλοῦνται περὶ Ἠλείαν. καὶ θεραπεύοντες

Ἰατρός· θεραπευτής. ἢ †ἐφαπτίς (v. ἰατρίδες), ἢ ἥρως Ἀθήνησιν ἀρχαῖος (Dem. 419, 22). καὶ ὁ Ἀπόλλων (Ar. Av. 584)

ἰατταταιάξ (Ar. Eq. 1)· φεῦ

ἰατύϊ· θεραπεία

ἰαύει (Eur. Rhes. 740)· κοιμᾶται

ἰαυθμοί (Lycoph. 606)· ὅπου τὰ κτήνη αὐλίζεται. καὶ κοίτη. καὶ ὕπνος

ἰαύειν (Soph. Ai. 1204)· ἀναστρέφεσθαι. κοιμᾶσθαι. διατρίβειν (Τ 71). νυκτερεύειν [100. 1]

ἴαυος· κοίτη. ἀπὸ τοῦ ἰαύειν

ἰαύων (Σ 259)· κοιμώμενος. διάγων, διατρίβων

ἰαφθείς· φθαρείς

ἰαφθῆναι· ἀποθανεῖν. πεσεῖν. φθαρῆναι

ἴαχε· φώνει, ψόφει [ad 6]

ἰαχνόν· θαλπεινόν. σαπρόν ⟨110⟩

COD. 54 ἰάμβοι 55 ἴαννα 59 |ώτησι — ἴαννας 60 |κρίδεμος 63 βοτάναις ποταμοῦ — μαιώτην 69 ἴαρα ⟨v. ἔαρ ἦαρ εἶαρ⟩ 74 ἰάρειον 78 ἰαρόχρης 82 ἰάσημα, δυνατά 90 ἀμφιαρώου Ante 91] 96. 95 93 |ται καὶ περὶ ἠαείαν θεράποντες 95 ἰαταιάξ 96 ἰατοί, θεραπεῖαι 97 ἰαῦ, ἐγκοιμᾶται 107 ἰάχεον· σάλπινον (malo ἰαχρόν)

HES. 53 ἰαμενῇ (Δ 483)· καθύδρῳ τόπῳ 57 ἰάνθην (ψ 47), ἰάνθης (Greg. Naz. C. IV 253)· τὰ αὐτά 62 ἴανον· ἱμάτιον ⟨ἑανόν⟩ 70 Ἰάκωβος Ἀλφαίου [ὁ] καὶ Θαδδαῖος, (ὁ) καὶ Λευὶ παρὰ τῷ Μάρκῳ (II 14) παρὰ δὲ τῷ Ματθαίῳ (X 3) Λεβαῖος. παρὰ δὲ Λουκᾷ (VI 16) Ἰούδας Ἰακώβου 71 Ἰασούβ (Iesai. VII 3)· ἐπιστρέφων 73 Ἰάρδανος (Η 135)· ποταμὸς ἐν Πελοποννήσῳ, ἢ Ἀρκαδίας, ἢ Ἠλείας, .. παραρρέει τὴν Πυλίων χώραν Ad 83 ἴσασιν q. v. Ad 84 γνῶσις 86 Ἴασον Ἄργος (σ 245)· ἡ Πελοπόννησος· ἀπὸ Ἰάσου βασιλέως. καὶ ἡ Ἀχαΐα 100 ἴαυον· ἐκοιμῶντο (ξ 16). ἢ ἐκοιμώμην (Ι 325) 1 ἰαύεσκον (ι 184)· ἀνεπαύοντο. ηὐλίζοντο Ad 6 ἤχιζε (Δ 462)

ἴαχεν. [ad 8] ἐβόησεν, ἐκραύγασεν (Callim. Cer. 40)

ἰαχήσω· θρηνήσω

ἰαχρόν· εὐδιεινόν ⟨107⟩

ἰάψαι· φθεῖραι ⟨ἶψαι?⟩

ἰάψειεν· προβάλοιεν. φθείρειεν

ἴαψε(ν)· προῦθηκεν. [ad 13] ἔπεμψεν. ἔβαλεν. ἔδωκεν. ἔδησεν. ἔφθειρεν. ἐνίκησεν

ἰάψεται· νικήσει. βλάψει (B 193?) [15]

? ἶβα· σιώπα (intermissio cantus)

ἰβανᾷ· ἀντλεῖ

ἰβανατρίς· σχοινίον ἱμητήριον

ἰβάνη· κάδος. ἀντλητήριον

ἴβανον· κάδον, σταμνίον, χαλκίον

ἴβην ⟨—ηνον⟩· σορόν

† ἰβάρβιον· χαλεπόν. ἀνυπόστατον

† ἴβηνα· τὸν οἶνον Κρῆτες. οἱ δὲ βῆλα

ἴβηνοι· σοροί, θῆκαι ὀστράκιναι. κιβωτοί. † εὔθυμοι. νοεροί

† ἴβηνος· πλησμονή

ἴβηρ· χερσαῖόν τι θηρίον· ἀφ' οὗ καὶ Ἴβηρες

ἰβιβύς· παιανισμός

ἰβικτήρ· ὁ παρὰ Κρησὶν Ἴβριος ἐμβατήριον ἐποίησε μέλος, ὅπερ ὁ ᾄδων οὕτω καλεῖται

ἴβινος· ἀετός (cf. ἰζῆνες)

ἰβρίχαλοι· χοῖροι ⟨ὀβρ—⟩

ἰβύ (Teleclid. p. 376)· τινὲς τὸ βοᾶν· οἱ δὲ τὸ πολύ. ἔστι δὲ Λυδῶν

ἰβυδῆνας· τοὺς εὐφημοῦντας· ἰβὺς γὰρ ἡ εὐφημία

ἰβύει· τύπτει. βοᾷ

ἰβύκη· εὐφημία

ἰβυκινῆσαι· ἐπευφημῆσαι, βοῆσαι

ἰβυκινήσαντες· .... ἀπὸ γὰρ τοῦ ἰβῦ παρῆκται ἡ λέξις. καὶ ἔστιν Ἰωνικὸν ἐπίρρημα, καὶ δηλοῖ τὸ πολὺ καὶ μέγα. τινὲς δὲ τὸ βοᾶν· οἱ δὲ τύπτειν. οἱ δὲ εὐφημεῖν. οἱ δὲ † δηλοῦν. ἔστι δὲ καὶ ὅρκος Ἰωνικός

ἰβύκχα· σεμνότης. ἢ † σωρὸς κριῶν

ἴβυξ· ὀρνέου εἶδος. καὶ ἶβις

ἰβύς· εὐφημία. † στιγμή

ἰβῶν· εὐφημῶν: στάζων (Boeot.)

ἴγα· σιώπα. Κύπριοι

ἴγγια· εἷς. Πάφιοι

ἴγγι ⟨ἴϋγγι⟩ τινί· ἐπιθυμίᾳ τινὶ ἑλκομένη (cf. Pind. N. IV 35)

† ἴγδην· ἄρσην (παρὰ δὲ Ῥοδίοις τὸ ξηροκόπιον)

ἴγδις· θυεία

ἰγδόλης· ὁ ἐπὶ (...) μέρει γεωργῶν

ἴγκρος (Cyprii)· ἐγκέφαλος

ἰγμαλέην· ὑγρήν, δίυγρον. ἢ ἰκμαλό; ⟨—αλέος⟩

ἰγμή· βοή ⟨ἰϋγή?⟩

Ἴγνητες (Simmias)· οὕτως ὠνομάζοντο οἱ μετὰ τοὺς Τελχῖνας ἐποικήσαντες τὴν Ῥόδον

ἰγνύα· [ad 51] τὸ τοῦ γόνατος ὄπισθεν μέρο; (N 212)

ἰγνύι καὶ ἰγνύῃ· τὸ αὐτό. ἤγουν τὸ ἀντικνήμιον [53]

† ἴγνην· ἄρσην ⟨144⟩

† ἴδα· τὸ εἰκῆν ἐν τῷ ἀστραγαλίζειν [56]

Ἰδαία· ἡ Δινδύμη, ἀπὸ τῆς Ἴδης

Ἰδαῖοι Δάκτυλοι (Crobyl. com. fr. I p. 568)· οἱ μὲν ἀπὸ τῆς Φρυγίας, οἱ δὲ ἀπὸ τῆς Κρήτης αὐτοὺς ὠνομάσθαι φασὶν Ἴδης [59]

ἰδάλιμον· εὐειδές

ἰδάλιμον καῦμα (Hesiod. opp. 413)· τὸ ἱδρωτοποιόν

ἰδαλίς· ὄρνις ποιός [63. 64]

ἰδανή (Callimach.)· τρυφερά. εὐπρεπή(ς)

ἰδανόν· εὐειδές. καὶ τὸ ἡδύοσμον. καὶ Ἀχίλ(λε)ιον ῥιζίον

ἴδαρ (Boeot.)· βρῶμα

Ἰδάρνας· ὁ ἐκτομίας (Callistratus). οἱ δὲ βάρβαρον· οἱ δὲ μάντεως ὄνομα· οἱ δὲ

COD. 10 εὐδινόν 13 ἔδεισεν 17 ἰβανεῖ 18 ἱμήτριον 19 ἀντιπλήριον ⟨20 ἰβανῶν· κάδων? 22 pro ὑπέρβιον?⟩ 24 cf. βῆνοι θίβηνος 27 ἰβίβυος 28 ἰβηκτήρ; ἰβιάκτηρ lex. mss. |ν ποιησάμενος, ὃ| 31 ἴβρι 32 |ήνας — ἴβης; ἰβυλῆνας — ἶβος Cyr. 171 35 ἰβυκηνίσαι EM. 464, 45 36 ἰβυκηνίσαντες EM. 37 ἰβύηχα 39 ἴβυς ⟨40 ἰβύων et ἴβων Boeolice = εἴβων⟩ 44 cf. 154 et 184 45 ἴγδης, θύϊα 48 ἢ ἰκμαλός post 46 50 ἴγνητες ⟨51 L. ψύη. ἤ⟩ 52 ἰγνύει — ἰγνύην 55 ἀστρω| 60 ἰνδ| 61 ἱδρωτοποιές; cf. καύματος ἰδαλίμου 62 ἰδάλιμος; cf εἰδαλίς ⟨64 ἰδάλματα· εἴδη ἄτινα Meineke⟩ 65 ἰδάνη — εὐπρεπῆ 66 cf. φίδνα et Dioscor. IV μδ': ἰδαία ῥίζα

HES. Ad 13 [ἰαχῆς (O 275)· φωνῆς, βοῆς, κραυγῆς] 15 Ἰαωλκός (B 712)· πόλις Θεσσαλίας Ad 51 [ψυχή (III Regg. XVIII 21). ἤ] 53 ἴγνυντο (B 809)· ἠνοίγοντο 56 † ἴδα· μάχη ⟨ἔριδα· μάχην⟩ 59 Ἰδαῖος· ἐπιθετικῶς οὕτως ἐλέγετο Ζεὺς (Π 605), ἀπὸ ἰδίστου ὄρους Τρυγωϊκῆς. καὶ κύριον ὄνομα τοῦ Τρώων κήρυκος (Γ 248). καὶ τοῦ Δάρητος, τοῦ ἱερέως τοῦ Ἡφαίστου υἱοῦ (E 10) 63 ἰδάλλεται (Ψ 460)· φαίνεται ⟨ἰνδ—⟩ 64 ἰδάλτα (Cratin. p. 98)· ἴδιά τινα ⟨ἴδι' ἅττα⟩

πόλιν τῆς Καρίας εἶναι Ἰδάρνην, καὶ ἀπὸ ταύτης τοὺς μάντεις λέγεσθαι
ἴδας· [ad 69] πάντα τὰ ὑψηλά
ἴδε· ἰδού [ad 70]
ἰδέ· [ad 71] σύνδεσμος ἴσος τῷ καί (E 3)
ἰδέα· ἡ ὁμοιότης, μορφή, εἶδος. καὶ τὸ †ἐλάχιστον σῶμα. θεωρία
†ἰδέατος· καλὸς ἀνήρ. Σικελοί ⟨188⟩
ἰδέν (Dor.)· ἰδεῖν [ad 74] [75. 76]
ἴδε πῦρ ἀφύη· παροιμία [ad 77]
ἰδέρως· ὁ ἅμα τῷ ἰδεῖν ἐρῶν [79]
ἴδεσκεν· ἔδερκεν
ἰδέ σοι (Thespis)· καὶ σοί [82]
†ἰδέων· φαινόμενος. καὶ εἶδος ἀετοῦ
ἴδη· [ad 84] ὕλη. [ ] δηλοῖ δὲ καὶ τὸν ὑψηλὸν τόπον. [ ] Ἴωνες δὲ δρυμῶν ὄρος
ἴδημα· ὅραμα
ἰδήμων· ἔμπειρος, γνωστικός [87]
ἰδήρατσς· καλός, ὡραῖος ⟨173⟩
Ἴδηφιν· Ἴδης. Βοιωτοί. †καὶ ὁ ἡδυλάλος διὰ τῆς διφθόγγου
ἰδεχθής· ἀπρεπής. ἀσθενής ⟨εἰδ—⟩
ἴδια· τὰ ἰδιωτικά [92]
ἰδιάζεται· νοσφίζεται. μόνῳ προσφωνεῖ
ἰδίαζον· κατ' ἰδίαν ὡμίλουν
ἰδιαίτατος· ἴδιος, ὑπερθετικῶς [96]
ἴδι' ἄττα (Cratin. p. 98)· ἰδιά τινα ⟨164⟩
ἰδίει (Ar. Ran. 237)· ἱδροῖ. ἀγωνιᾷ. δέδοικεν
ἰδίειν· ἱδροῦν
ἰδικῶς· καὶ ...... καταμόνας
†ἰδιόκοιτον· ἰδιόρ(ρ)υθμον
ἰδιόξενοι· οἱ κατ' ἰδίαν ξένοι τινῶν, ἢ πάλαι, ἢ ἀπὸ πατέρων ὄντες ξένοι [203]
ἰδιόξενος· ἴδιος φίλος
ἰδιοπραγεῖ· τὰ ἴδια πράσσει. ἡσυχάζει
ἰδιόρρυθμον· ἰδιότακτον
ἰδιοσυστάτως· καθ' ὑπόστασιν ἰδίαν [8]
ἰδῖσαι· ἱδρῶσαι
ἰδίως· ἰδικῶς
ἰδιώτας (Thucyd.)· πολίτας [ad 11] ἀπείρους [12]
†ἴδιος· ἰδιώτης. αὐτὴ πολυειδῶς
†ἴδμαι· γινώσκω, οἶδα ⟨ἴσαμι?⟩ [15. 16]
ἰδμήν· φρόνησιν
ἰδνῶν· κάμπτων
ἴδμων· ἐπιστήμων, ἵστωρ
ἰδνώθη (B 266 N 618)· ἐτανύσθη. ἐκαμφθη [21]
†ἴδοι· ὀφθαλμοί ⟨ἴλλοι?⟩ [23. 24]
ἰδομαλίδαι (Alcae. com. V p. CXXI)· οἱ τὰς ὄψεις κοσμούμενοι [26. 27]
†ἴδονται· φαίνονται
†ἰδός· ὁδός. σῶμα [30]
ἴδρη· σοφία ⟨ἰδρίη⟩ [32. 33]
ἴδρις (Callim. Iov. 74)· ἔμπειρος [35]
ἱδρύεσθαι (cf. Ar. Plut. 1198)· ἐπὶ τῇ ἱδρύσει στῆσαι χύτραν
ἱδρύεται· καθέζεται, ἑδράζεται. †ἀνακαλεῖται
ἱδρύματα (Eur. Bacch. 951)· καθίσματα
ἱδρυμένους· τεθεμελιωμένους
ἱδρυμένα· ἀνατεθέντα. ἢ ἠσφαλισμένα. τεθεμελιωμένα. κατεσκευασμένα
ἱδρῶ· ἱδρῶτα κατ' ἀποκοπήν·
ἱδρῶ ἀπεψύχοντο (Λ 620)
ἱδρῶν· νοτῶν
ἰδυῖοι (Arist. fr. XV 3 p. 1031)· μάρτυρες. ἢ οἱ τὰς φονικὰς δίκας κρίνοντες. οἱ δὲ συνίστορας
ἰδυίῃσιν (Σ 380)· ἐπιστημονικαῖς
†ἰδύβολαι· προφαίνεται
ἰδύλευμα· μάθημα
†ἰδυλιτρίχες

COD. 71. 72 = 72. 71 73 καλός. ἀνὴρ Σικελός 74 ἴδεν ⟨86 εἴδημων an ἴδμων?⟩ 89 ἰδῆφιν, ἴδες 93 ἰδιάγεται 95 |κος 209 ἰδίσαι 17 cf. ἰσμή 25 ἰδομαλιάδαι Post 41 ἱδρῶνα 42 νοητῶν 43 ἰδυίαι 44 ἰδυίαισιν 47 ἰδύαι Cyrill. εἰδοῖαι?

HES. Ad 69 εἶδος ⟨ἰδέα⟩. καὶ Ad 70 ἐθεάσατο (E 241) Ad 71 ἀντὶ τοῦ ὅπως ⟨ad ὡς ἴδε⟩. καὶ Ad 74 ἐθεώρησεν (B 82) 75 ἴδεος· πνίγους ⟨cf. εἴδεος, ἠεῖδος⟩ 76 ἰδὲ νυοί (Ω 166)· αἱ σύννυμφοι Ad 77 τάττεται δὲ ἐπὶ τῶν ὀξὺ τέλος λαμβανόντων· ἐπειδὴ καὶ τὴν ἀφ(ύ)ην τάχιστα ἕψεσθαι συμβαίνει 79 ἰδέσθαι· ὁρᾶσθαι, ἰδεῖν 82 ἰδέω (π 236)· γνώσομαι Ad 84 θεάσῃ (Λ 203) ἢ ὄρος Τροίας (N 13). ἢ — παρὰ δὲ Ῥοδίοις τὸ ξηροκόπιον ⟨ἴγδη⟩ — καὶ μορφήν 87 Ἰδουμαία (Ps. LX 1)· τόπος. φησὶν γὰρ ,ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου' τουτέστιν· ἐπὶ τὴν ἐκλείπουσαν οἰκουμένην ποιήσομαι τὴν πορείαν 92 ἰδίων· ἰδιωτικῶν 96 ἰδιάσαι (Philo I p. 197, 1?)· κατ' ἰδίαν ὁμιλῆσαι 203 ἴδιον· οἰκεῖον 8 ἰδιωτ(ε)ίας· ἀγροικίας. ἀμαθίας Ad 11 ὁπλίτας 12 ἰδίους· ἀφρονεστάτους 15 ἴδμεν (Α 124)· οἴδαμεν 16 ἴδμεναι (N 273)· εἰδέναι 21 ἰδνωθεὶς (M 205)· καμφθείς. τανυσθείς 23 ἰδοίατο (Σ 524)· βλέψοιεν 24 ἰδοιδοπεῖ· ταράσσει ⟨κυδοιδοπᾷ⟩ 26 Ἰδουμαίαν· τόπον 27 ἰδόμην (K 47)· ἐθεασάμην 30 ἰδρείει (Π 359)· ἐμπειρία 32 ἴδρις· ἐπιστήμων, ἔμπειρος 33 ἴδριες (η 108)· ἔμπειροι 35 ἵδρυε (B 191)· κάθιζε, ἔδραζε

†ἰδυναγής· μάντις

ἰδύους· μάρτυρας. συνίστορας ⟨243⟩

ἰδών· [ad 50] ἀποψηφισάμενος [51]

†ἰδωνόν· ὅμοιον

ἴδωνται· φαίνωνται ⟨228⟩

ἴε· βάδιζε, πορεύου

ἴει· ἀφίει (Call. Apoll. 103). ἀπέπεμπεν (Γ 221)

ἰείη (Τ 209)· πορεύοιτο, διὰ ψιλῆς

†ἰεῖας· τὰς κυρίας. οἰκογενεῖς

ἰείς· βάλλων. ἢ πέμπων

ἰεῖσα· ἀποβάλλουσα [60]

ἴελος (Syracusani)· ὁ τῶν ἐντέρων ταραγμός

ἴεμαι· προθυμοῦμαι, βούλομαι. ὁρμῶ. τὰ αὐτὰ καὶ ἱεμένη [63]

ἴεν· ὑπάρχοιεν (Boeoli). ἴεσαν (ἴεν Μ 33) [65]

ἰέντα· πέμποντα [67—69]

ἰέντας· ἀφιέντας. ἐξάγοντας. ἀκοντίζοντας [ad 70]

ἱερά· θυσία. κειμήλια. ἢ συκῆ ἐν τῇ εἰς Ἐλευσῖνα ἀγούσῃ ὁδῷ

ἱεράγγελοι· θεωροί, ἀγγέλλοντες τὰς πανηγύρεις

?ἱεράθετα· ἅγια ἐπιθύματα, μηρία, καὶ ὅμοια θυσίαις θύματα

ἱεραί· ἄρχουσαι

ἱεράμοιβοι· προφῆται θεῶν

ἱερὰ νόσος· ἐπιληψία

ἱεράοιδος· ποιητής

ἱερὰ παρθένος· ἡ †Δημήτηρ [79. 80]

ἱερᾶσθαι (Thuc. V 1)· ἱερουργεῖν. καὶ τὸ ἱερωσύνην ἔχειν

ἱερᾶται· ἱεροσκοπεῖ

ἱερεῖα· θύματα

ἱέρεια· ἁγία, ᾗ οὐ θέμις ἰέναι πρὸς ἄνδρα, παρθένος [85]

ἱερεῖον (Ar. Lys. 84)· πᾶν τὸ θυόμενον θεῷ (πλὴν ὑός)

ἱερεῖτιν· καθαρμοῦ δεομένην. ἱκέτιν. Αἰσχύλος Ἰξίωνι (fr. 88)

ἱερεύει· σφάζει ⟨cf. ἱρεύει⟩

ἱερεύς· ὁ διὰ θυσιῶν μαντευόμενος

ἱερεῦσαι· θυσιάσαι

ἱερεὺς Διονύσου· Εὔπολις Αἰξίν (fr. XIX), Ἱππόνικον σκώπτων, ὡς ἐρυθρὸν τῇ ὄψει [93—99]

ἱερῆς (Attici)· ἱερεῖς [301. 2]

ἱεροῖς· θείοις

†ἱερόλας ἴσισυς· Σοφοκλῆς Αἰχμαλώτισι (fr. 54). ὡς καὶ τὸν γέροντα γεροιδὰν ἢ γεροῦντος λέγει

†ἱερόμας· τῶν ἱερῶν ἐπιμελούμενος [6]

ἱερομηνία (Demosth. 715)· ἑορτάσιμος ἡμέρα. ἱερὰ ἑορτὴ κατὰ μῆνα

†ἱερομνήματα· ὀχυρώματα ⟨330⟩

ἱερομνήμονες (Ar. Thesm. fr. XI)· οἱ πεμπόμενοι εἰς Πυλαίαν ἱερογραμματεῖς

ἱερομύστας· ἱερὰ μυουμένους

ἱερόν· ἔνυγρον ⟨διερόν?⟩. ἀγαθόν. μέγα. θεῖον. καὶ ναός

ἱερὸν ἡ συμβουλή ἐστιν (Aristoph. fr. XXII)· παροιμία [ad 12]

ἱερὸν ἰχθύν (Π 407)· τὸν μέγαν καὶ ἄνετον λέγει· ἱερὸν γὰρ τὸ μέγα

ἱερὸν ὀστοῦν· τὸ ἐν τῷ σώματι ἡμῶν μετὰ τοὺ(ς) σπονδύλου(ς) κείμενον [15]

ἱεροποιοί (Demosth. 552, 6)· ἐπιμήνιοι

ἱερὸν πόλεμον (Ar. Avv. 557)· ὃν ἐπολέμησαν Λακεδαιμόνιοι πρὸς Φωκέας ὑπὲρ τοῦ ἐν Δελφοῖς ἱεροῦ. ἐβοήθησαν δὲ Φωκεῦσιν Ἀθηναῖοι καὶ παρέδοσαν τὸ ἱερόν

ἱεροπρεπῶς· θεοπρεπῶς ⟨905⟩ [19]

ἱερός· σεμνός. ἥμερος. ἀγαθός

COD. 55 ἰεον Post 57 ἢ ἀπέπεμπεν 61 cf. εἴελος 71 ἔλευσιν ἄγουσιν 82 ἱεροσκοπεῖ, ἱερᾶται 84 ἱερεῖα, ἅγια ἢ 87 ἱερείτην 92 εὔπολισαἰξινιππόνικονκόπτων 300 ἱερεῖς 4—7 = 5—7. 4; ⟨γηρῶντα γηρύλαν λέγει? 8 ἴωροι, μ. ὁ.?⟩ 10 ἱερομύστους — μαντευομένους 11 ὅσιον cf. τὸ ἱερόν 12 συμβουληστήν — τῷ ἴδει 13 ἱερὸς ἰχθύς 13. 17 = 17. 16

HES. Ad 50 θεασάμενος (Α 330) 51 ἴδωμαι (Α 262)· θεάσωμαι 60 ἰέζεο (Callim. Iov. 81)· ἐκαθέζου ⟨350⟩ 63 ἱεμένη περ (χ 409)· καί περ προθυμουμένη, ὁρμωμένη, [καθημένη] 65 ἰέναι (Α 227)· πορευθῆναι 67 ἰεννά· πορφυρᾶ ⟨ἰόεντα⟩ 68 ἴενται (χ 304)· ὁρμῶσιν 69 ἰένεσθαι· εὐφραίνεσθαι ⟨ἰαί—⟩ Ad 70 ἢ παραγινομένους ⟨ἰόντας⟩ 79 ἱέρας· σημεῖον ⟨τέρας⟩ 80 ἱερᾶς (γ 144)· ἁγίας 85 ἱερείαν (IV Regg. X 20)· θυσίαν, θῦμα 88 ἱερένα· ἁπαλά ⟨τέρενα⟩ 93 ἱέρευσεν· ἔθυσεν (Β 402), ἐθυσίασεν 94 ἱερῶσαι· ἀφιερῶσαι θεῷ 95 ἱερή (Ο 39)· μεγάλη. ἀγαθή 96 ἱερῆα (Α 23)· ἱερέα 97 ἱερὴ ἴς Τηλεμάχοιο (β 409)· ὁ Τηλέμαχος. εἴρηται δὲ περιφραστικῶς 98 ἱερήν (Α 99)· ἱεράν. μεγάλην 99 ἱερηΐ (Χ 159)· κώδιον 301 ἱερεῖ· αέρι ⟨ἠέρι⟩ 2 ἱεριαί· θυσίαι ⟨285⟩ 6 ἱεροῖο δόμοιο (Ζ 89)· ναοῦ. μεγάλου οἴκου Ad 12 ἐπὶ τῷ δεῖν καθαρῶς συμβουλεύειν 15 ἱερὸν μένος Ἀλκινόοιο (η 167)· ὁ Ἀλκίνους 19 Ἴεσσα (Iesai. XV 4)· γεγονυῖα ἐντολὴ καθ' ὑπόκρισιν

ἱερὸς ἀκτή· ἄλφιτα
Ἱερὸς γάμος (Menand. fr. II p. 162)· ἑορτὴ Διὸς καὶ Ἥρας
ἱερὸς λόχος· ἐν τοῖς τακτικοῖς. ἡ πρώτη
γ
†ἀπολο
ἱερόσυλος· τὰ ἱερὰ κλέπτων [25. 26]
ἱερουργεῖ· θύει. ἱερὰ ἐργάζεται [28]
ἱεροφάντης· μυσταγωγός, ἱερεὺς ὁ τὰ μυστήρια δεικνύων [30]
ἱέρωμα· τὸν κόννον Λάκωνες, ὅν τινες μαλλὸν (ἢ) σκόλλυν [32]
ἱερωμένη (Thuc. II 2)· ἱερατεύουσα
ἱερῶν (κ 351)· θείων. Ἀττικῶς ἐπὶ τῶν μελλόντων βουλὴ λέγεται. καὶ ἐκκλησία ⟨878⟩
ἱερῶν δάνη· ἀπὸ τῶν θυσιῶν μερίς
ἱερῶσθαι (Thuc. V 1)· θύειν καθαροὺς ὄντας
ἱερώσυνα· τὰ τῷ ἱερεῖ διδόμενα ἱερεῖα
ἴεσσαν· ἐπορεύθησαν ⟨ε 4778⟩
ἴεσσα· βαδίζουσα
ἴεσθαι· προθυμεῖσθαι. χωρεῖ(ν) [41. 42]
ἰέττας· πατέρας ⟨τέττας⟩. Κρῆτες. ἢ τοὺς ἀγρίους τράγους
ἰζάνει (Sapph. fr. 2, 1)· ἐπικάθηται
ἰζάνον· ἐπεσπίπτον [ad 45] [46. 47]
ἰζέλα· ἀγαθὴ τύχη. Μακεδόνες
†ἰζέλος· ὁ θαλάττιος σκορπίος
ἵζεο (Callim. Iov. 81)· ἐκαθέζου ⟨260⟩
ἰζίνες ⟨—ῆνες?⟩· οἰωνοί, ὄρνιθες: προχόοι, λέβητες, τρίποδες
ἰζήσαντα· καθίσαντα
ἰζοῦνα· βοόστασις ⟨ἴζουνα⟩
ἶζυο· κάθισον ⟨ἷζευ?⟩ [55]
ἰζῶς· σχῆμα ὀρχήσεως [57]
ἰή (Herod. I 85, 2)· φωνή, βοή

†ἰηγορεῖν· ἐγρηγορέναι. Λάκωνες
ἰηδόνες· εὐφροσύνη. ἐπιθυμίαι. χαραί
ἰηθενέουσα· ἐκπεπληγμένη, καὶ ἀποροῦσα [62]
ἰήϊος· δασέως μὲν ὁ Ἀπόλλων ἀπὸ τῆς ἀφέσεως καὶ τῆς τοξείας. ψιλῶς δὲ ἀπὸ τῆς ἰάσεως· ἰατρὸς γὰρ ὁ θεός. Ἀλλὰ καὶ θρῆνον σημαίνει, ὡς Σοφοκλῆς Τρωΐλῳ (fr. 570) καὶ Ἴων Εὐρυτίδαις (fr. 12)· ὡς αἴλινον, ἰάλεμος
ἰήους καμάτους· τοὺς κατὰ τὸν τόκον, ἐν ᾧ ἰᾶσι φωνὰς διὰ τοὺς πόνους καὶ τὰς ὠδῖνας αἱ τίκτουσαι. τινὲς δὲ τοὺς θρηνητικοὺς πόνους· ἀπὸ τοῦ ἰαλέμου. Σοφοκλῆς Οἰδίποδι Τυράννῳ (174) [65]
ἴηλεν· ἐπέβαλεν. περιέβαλεν. ἔδησεν (θ 447). ἔγραψεν. ἔπεμψεν
ἰηλεμίστριας (Aesch. Cho. 424)· θρηνητρίας
†ἰηλενές· πορφυροῦν. μέλαν ⟨ἰοδνεφές?⟩ [69—75]
ἰήτης· τοξότης, ἰοβόλος
ἰήτωρ· ἰατρός
ἰητορίη· ἰατρική
†ἶθα· ἡ θήλια τῶν ὑδάτων φύσις [ad 80]
ἰθαγενής (Aesch. Pers. 306)· αὐτόχθων. γνήσιος [81]
ἰθαίνειν· εὐφρονεῖν [83]
ἴθανα· σχοινία
ἶθαρ (M 353)· εὐθέως, ταχέως
ἰθαραῖς· [ad 86] ἱλαραῖς. χαλαῖς. καθαραῖς ἢ κούφαις. γλυκείαις. ταχείαις
Ἰθάς· ὁ τῶν Τιτάνων κήρυξ Προμηθεύς. τινὲς Ἴθαξ
ἰθεῖα (Ψ 580)· ὀρθή. (μακρά. στενή. δικαία)
ἰθείη· ἅμαξα. Θεσσαλοί

COD. 31 ἱερόβατον, κόνον — μᾶλλον ⟨34 ἰαχῶς?⟩ 35 ἱερωνδάνη 37 ἱερῷ ⟨39 ut κύεσσα⟩ 43 i. q. ἰϝέκτας, ibices 45 ἴζανον, ἐπέσπιπτον 51 cf. ἀσβηνοί ἄζηνοί ἴβινος. τίβηνος 52 ἰζίσαντα 55 ἰζυομενίω καὶ 60 cf. ἀηδόνα 61 cf. ἰαθενεῖ 63 ὀξείας — εὐρύτιδες ὡς αἰλίνων ἰάλεως 64 ἰήους — τινοὺς — ἠδύποδι 67 cf. ἠλεμίστρια 72 h. e.
ὁ
ἰητητι 78 ἰητηρίη 86 καθαραῖσι — λευκείαις 87 τιτήνων 88 cf. 379 89 cf. ὀθέτη. ὄθιζα

HES. 25 ἱεροσυλημάτων (II Macc. IV 39)· τῶν κλοπῶν τοῦ ἱεροῦ 26 ἱερώτατος· θειότατος. ἅγιος 28 ἱερουργοῦντα (Rom. XV 16)· προσφέροντα θυσίαν 30 ἱερομνήματα· ὀχυρώματα ⟨308⟩ 32 ἱερώματα (II Macc. XII 40)· θυσίαι θεῖαι, θαυμασταί ⟨—ας⟩ 41 ἱέσθην (Σ 501)· ἐπεθύμουν 42 ἵεται (β 327)· βαδίζει. προθυμεῖται. πορεύεται. θέλει. ἐπείγεται. ὁρμᾶται Ad 45 ἐκάθιζον (ω 208) 46 ἵζει (N 281)· καθίζει 47 ἷζεν (I 218)· ἐκάθισεν 55 ἰζύομεν (Ξ 89)· ἰακῶς. κακὰ ὑπομένωμεν 57 ἴη (Greg. Naz. C. XIV 93)· μία. μόνη 62 ἰήθεος· ἔφηβος. ἄγαμος ⟨ἠΐθεος⟩ 65 ἴηλα (O 19)· ἀκρόδρυα ⟨v. ἦλα. οἰμίηλα⟩ 69 ἰῆς (Π 173)· μιᾶς 70 ἰήλλω (β 316)· ἐπιβάλω 71 ἰηνῇ (Ω 119 al.)· διαχέει. εὐφράνθη 72 ἰηότητι (E 874)· βουλήσει 73 ἴησιν (I 701)· ἐπίει ⟨ἀπίῃ⟩ 74 ἰητήρ (Δ 190)· ἰατρός 75 ἰητῆρος (Δ 194)· ἰατροῦ Ad 79 καὶ ὀρθή. μακρά. στενή. δικαία ⟨ἰθεῖα⟩ 81 ἰθαγενέσσι (ξ 203)· γνησίοις τέκνοις καὶ καθαροῖς, οὐκ ἐκ παλλακίδος 83 Ἴθακος καὶ Νήριτος καὶ Πολύκτωρ (ρ 207)· υἱοὶ Πτερελάου Ad 86 ταχέσιν

ἰθέως (Herod. II 121, 3)· ὀρθῶς [91]
ἰθή· εὐφροσύνη
ἴθι· [ad 93] ἧκε, ἔρχου
ἰθίτας· ὁ βλέννος καὶ μωρός
ἰθμαίνων· ἀσθμαίνων ⟨931⟩
ἴθματα (E 778)· ὁρμάς. βήματα. ἀπὸ τοῦ δι' αὐτῶν ἰέναι. καὶ ἴχνη (Call. Cer. 59)
ἰθμία· ἡ τῶν μελισσῶν ἐρυθρὰ κόπρος [98. 99]
ἴθρις· σπάδων, τομίας, εὐνοῦχος
ἰθύ (Υ 99)· εὐθέως. ἰθύς· ἐπ' εὐθείας. καὶ εἰς ὀρθόν, μεθ' ὁρμῆς [403]
ἰθύει (Λ 551?)· βούλεται. ἐφορμᾷ, φέρεται
ἰθυκτέανον· τὸ ἰθὺ πεφυκὸς καὶ ὀρθὸν δένδρον
ἴθυμβος· γελοιαστής. καὶ τὸ σκῶμμα. ἀπὸ τῶν ἰθύμβων, ἅτινα ποιήματα ἦν ἐπὶ χλεύῃ καὶ γέλωτι συγκείμενα. καὶ ᾠδὴ μακρὰ καὶ ὑπόσκαιος
ἰθὺν· ὀρθόν. φρόνησιν. τρόπον. ὁρμήν (Z 79). βούλησιν. διάνοιαν (π 304)
ἰθύνει· ἀπορθοῖ, ἐξισοῖ. διοικεῖ, εὐθύνει (P 632), κυβερνᾷ
ἰθυνομένων (Z 3)· κατ' εὐθὺ προϊεμένων, καταστοχαζομένων
ἰθυνοῦμεν· εὐθυνοῦμεν
† ἰθυνπετεῖν· ἐπ' εὐθείας ὁρμῆσαι
ἰθύντατα (Σ 508)· ὀρθότατα, δικαιότατα
ἰθυντήρ· χαλινός. πηδάλιον. ὁδηγός. ὁρμηστής [14]
ἰθυντήριον· ὃ φέρουσιν οἱ μάντεις σκῆπτρον ἀπὸ δάφνης. (καὶ εἴ τι ἰθῦνον, κανονίζον, καὶ ἰσότητα παρέχον)
ἰθυπτίωνα (Φ 169)· τὴν ἐπ' εὐθείας πετομένην καὶ κατ' ἀντικρύ. καὶ ὀρθόβολον, κατ' εὐθὺ φερομένην

ἰθύρ (Lacon.)· τὸ σιδήριον τοῦ ἄξονος τὸ τριβόμενον
† ἰθύς· εἶθε [ad 18] αἴθε
ἰθύς· εὐθύς. ὀρθός [20]
ἰθὺς νηῶν (M 254)· εὐθεῖαν, ὡς (τὸ ἰθὺς πόλιος [Φ 540]) ἐπὶ τὴν πόλιν [22]
ἰθυτενές· ἐπ' εὐθεῖαν τεταμένον ⟨403⟩
ἰθύφαλλοι· οἱ † ἐπίορκοι καὶ ἀκολουθοῦντες τῷ φαλλῷ, γυναικείαν ἔχοντες στολήν. λέγεται δὲ ὁτὲ μὲν τὸ ἐντεταμένον αἰδοῖον· ὁτὲ δὲ τὸ ποίημα τὸ ἐπὶ τῷ ἱσταμένῳ φαλλῷ ᾀδόμενον
ἰθύω· ἐπιβάλλομαι
ἰθών· πυγή. λαγαρός καὶ πρωκτός. ἄλλοι δὲ ἀλλ' αὐτά ⟨ἀλλ' ἄττα⟩
† Ἰθών· ἡ πόλις Θεσσαλίας
ἰκάζει ⟨εἰκ—⟩· στοχάζει. ὑπολαμβάνει
ἵκανε (B 17)· παρεγένετο [30]
ἰκανέμεν· ἱκετεύειν ⟨non Hom.⟩ [32. 33]
ἱκάνῃ· λάβῃ. παραγένηται
ἰκανήν· ἀρκοῦσαν. πολλήν
ἱκάνομαι· [ad 36] ἀφῖγμαι (cf. Ξ 309)
ἱκανόν· διαρκές (Call. Cer. 133). δόκιμον [38]
ἱκανότης (Lysias)· δύναμις, ἰσχύς [40]
ἴκαντι (Dor.)· ἥκουσιν
ἰκάντιν (Dor.)· εἴκοσιν
ἰκάνω· καταλαμβάνω. ἱκετεύω
ἱκανῶς (Herod. VII 11)· δυνατῶς. ἀρκετῶς [45]
Ἰκαριῆς· δῆμος Ἀθήνησι, φυλῆς Αἰγηΐδος
Ἰκάριον (Soph. Ai. 702)· ὄνομα πελάγους
Ἴκαρος· υἱὸς Δαιδάλου [ad 48]
ἰκασθείς (Boeot.)· ὁμοιωθείς [50]
ἴκει (Sapph. fr. 2)· ἥκει ⟨O 328?⟩
ἴκειν· ἐληλυθέναι

COD. 92 ἴθη 96 cf. οἴθματα 400 cf. ἴθρίς ⟨ab ἶνες et θρίσαι⟩ 5 ἰθὺ κτέανον 6 ὑπόκυνος 10 ἰθυνοῦμεν 15. 16 = 16. 15 15 καὶ — παρέχον post 413, h. l. Cyr. Dr. 16 |βουλον 18 (α)ἰθ' ὕσ(τατα) cf. Callim. fr. XLIII? 23 ἰθυτανές — τετραμένον 24 ὅταν μὲν τετραμένον τὸ ἓν αἰδοῖον ⟨cf. εἰθ—⟩ ⟨25 ἰθών et ἴθων⟩ 28 ἀπολ| 34 ἱκάνει 35 ἱκάην 46 Ἰκαριεύς — αἰγηνίδος 47 ἰχάριοι (Ἰκαρίου Call. Del. 14) 52 ληλυκέναι

HES. 91 ἰθείην· εὐθεῖαν. θαυμαστήν ⟨θείην⟩ Ad 93 πορεύου (B 8) 98 ἰθμίν· περιστόμιον. περιτραχήλιον. ἡ στεφανίς ⟨ἴσθμιον⟩ 99 ἰθαίνεσθαι· θερμαίνεσθαι ⟨ἰαί—⟩ 403 ἰθυγενές· εἰς εὐθύτητα τεταμένον ⟨ἰθυτ—⟩ 14 ἰθυνθητήν (Π 475)· ἐπ' εὐθείας ἐγένοντο Ad 18 μακάρι 20 ἴθυσεν (O 693)· εἰς ὀρθρὸν ὥρμησεν 22 ἰθὺς τετραμένος (P 227)· ἐπ' εὐθείας ὁρμῶν 30 ἱκάνει (Λ 254)· καταλαμβάνει 32 ἵκανεν· κατελάμβανεν (B 171). ἤρχετο, παρεγένετο (Λ 431), ἀφίκετο (Ξ 288) 33 ἱκάνεθον (I 197)· ἄφεφθον Ad 36 ἱκετεύειν (Σ 457) 38 ἵκανον (Γ 145)· παρεγένοντο 40 ἱκανοῶν· ἐπιθυμῶν (θ 228) 45 ἴκαρ· ἐγγύς, καὶ παρ' ὀλίγον τοῦ ἐφικνεῖσθαι ⟨ἴκταρ⟩ Ad 48 οὗτος, φησίν τε, ἰχνάσατο τὴν τεκτονικήν· ἐποίησε δὲ τῷ υἱῷ αὐτοῦ πτερὰ ξύλινα, καὶ ἐκόλλησεν αὐτὰ κηρῷ, καὶ ἐπετάσθη κατὰ τοῦ ἡλίου, καὶ ἐθέρμανεν ὁ ἥλιος τὸν κηρόν, καὶ ἔλυσεν αὐτόν, καὶ ἔπεσεν εἰς τὸ πέλαγος, καὶ ἐπνίγη. ὅθεν ἐκλήθη ὁ τόπος Ἰκάριον πέλαγος 50 ἴκατο· ἐλάβετο (paraph. Λ 88)

ἰκέλη (Call. Del. 232)· ὁμοία [54]
†ἰκενάς· ὀρχήσεις [56]
ἰκέσθαι· [ad 57] ἱκετεῦσαι
ἰκεσίας· πρεσβείας. ἱκετηρίας. παρακλήσεις, δεήσεις
ἰκέσιος (Soph. Ant. 1230)· ἱκέτης, πρόσφυγος, ὡς ἱερὸν καταφεύγων δοῦλος
ἰκέτευσεν· μετῳκίσθη [ad 60]
ἰκέτην· πρόσφυγον, ἀξιοῦντα, δεόμενον [62]
ἰκετηρία· παράκλησις
ἰκετήσιος· ὁ ἐπὶ τῶν ἱκετῶν Ζεύς· ἢ ὁ τοὺς ἱκέτας ἐλεῶν
ἶκετο· [ad 65] ἥψατο (e. c. γοῦνα)
ἰκετορεύσομεν· ἱκετεύσομεν ⟨ἰκτ—⟩
ἰκετώσυνα· καθαρτήρια, λυτήρια. ἱκέσια [67]
Ἰκιάδες· αἱ ἐξ Ἴκου τῆς νήσου [70]
ἰκμάδα· σταγόνα, ὑγρασίαν (Ar. Nubb. 233)
ἰκμάζει· †κατασκευάζει. κατασκελετεύει
ἰκμάζειν· †κατασκελετεύειν
ἰκμαζομένην· ὑγραινομένην. μαλασσομένην
ἰκμαίνει· ὑγραίνει. μαλάσσει
ἰκμαλέον· χλωρόν. ὑγρόν. στερεόν ⟨v. ἰγμ—⟩
ἰκμᾶν· λικμᾶν, σῖτον καθαίρειν
ἰκμάρ (Lacones)· νοτίς
ἰκμάς (Aesch. fr. 216)· νοτίς, [ad 79] ὑγρότης, ὑγρὰ σταγών
ἰκμασία· ὁ ἔνδροσος ἀήρ, ὑγρασία
†ἰκμάσαι· ἐφορμῆσαι [82]
ἴκμη (Theophr. IV 11)· φυτόν τι γενόμενον περὶ τὸν Ὀρχομενόν
ἰκμῶντο· ἐσείοντο. ἐπνέοντο
ἰκνά· τροφεῖα
ἰκνεῖται· ἔρχεται. †νοσεῖ ⟨νοστεῖ?⟩. καθάπτεται. δεῖται, ἱκετεύει
ἰκνείαν· τροφείαν [ad 87]
ἰκνεῖος· τροφεύς. Ῥόδιοι
ἰκνοτέρους· ἐσταλμένους ⟨ῥικ— συνεστ—⟩
ἰκνοῦμαι· ἱκετεύω (Soph. Ai. 588). ἔρχομαι. παρακαλῶ
ἰκνουμένως (Herod. VI 65)· προσηκόντως [92]
ἴκνυον· κονίαν ⟨487⟩. σμῆμα [94]
ἰκόμαν· παρεγενόμην
ἰκόμενον· ἱκετεύοντα, παραγενόμενον
ἴκοντες (Boeoti)· ὑπακούοντες. παραχωροῦντες
ἴκοντο· ἱκέτευον [ad 98]
ἰκός (Boeoti)· τάχα, ἴσως
ἰκόσιν· εὐπρεπέσιν ⟨ἰκότεσσιν?⟩
ἰκρία· ἡ καθέδρα τοῦ κυβερνήτου. οἱ δὲ τὰ πλάγια καὶ τὰ μακρὰ σανιδώματα τῆς νεώς (O 685). ἢ τὰ ἐπὶ τοῖς ξύλοις κατασκευαζόμενα θεωρεῖα. καὶ τὰ ὀρθὰ ξύλα, τὰ ἐπὶ τῆς πρύμνης καὶ πρῴρας, καὶ τὰ καταστρώματα αὐτῆς, καὶ τὰ ξύλινα, οὕτως ἐλέγοντο Ἀθήνησιν, ἀφ' ὧν ἐθεῶντο, πρὸ τοῦ τὸ ἐν Διονύσου θέατρον γενέσθαι (Ar. Thesm. 395)
ἴκριον· σαν(ί)δωμα. ἢ ξύλον, ἐν ᾧ οἱ κακοῦργοι ξέονται
ἶκται· ἥκει, ἦλθεν
ἰκταίνοντο· †ἠσθάνοντο ⟨ψ 3 ἠσθένουν⟩
ἴκταρ (Hes. Th. 690 Plat. Civ. IX 575 C)· ἐγγύς. ἀπὸ τοῦ ἰκνεῖσθαι. πρόσφατον, ἄρτι, ταχέως. πυκνῶς. ἐξαπίνης. καὶ παροιμία· (οὐ)δ' ἴκταρ βάλλει
ἰκτάρα (Callim. fr. XXXVIII 1)· ἐθνικῶς ἰχθῦς ⟨κ 4282⟩
ἰκτέα· ἀκόντιον ⟨ἰτέα?⟩
ἴκτερος (Hippocr. II p. 301)· πόνος ὠχροειδής, ἀπὸ θυμοῦ ἐπεγειρόμενος
†ἴκτευ· κρατεῖς. Λάκωνες
ἰκτῆρες· ἱκέται θαλλοί
ἴκτης· ὁ ἱκέτης, πτωχός. ἔπηλυς. οἱ δὲ ἰκτήρ
ἰκτίς· ὁ ἰκτῖνος. Περγαῖοι
ἰκτορεύσομεν· ἱκετεύσομεν. Σοφοκλῆς Αἰχμαλώτισιν (fr. 55)

COD. ⟨55 cf. σικανοί, σίκιννις⟩ 64 οἰκέτας 69 Ἴκου ⟨72. 73 ἰσχνάζει?⟩ 83 παρὰ τὸ ⟨87 ἰκνίαν, τρυφίαν? 88 ἴκνιον? cf. Theognost. 15, 33⟩ 93 κόνιον 99 ἴσος 501 ἐφ' — ἔθεον — Διονύσῳ 3 ἰκτᾷ 5 ἰδικταρβάλλει 7 cf. ἀκτέα 10 θαλλοιεταί (Eur. Suppl. 10) 11 ἴκτης, οἰκέτης 12 ἰκτός, οἰκτῖνος 13 ἰκτερεύσομεν ⟨v. ἱκετ—⟩ — |ωτοις

HES. 54 ἴκελον (E 450)· ὅμοιον 56 ἰκεοβολίας· ματαιολογίας ⟨εἰκαιοβουλίας⟩ Ad 57 παραγενέσθαι (Λ 19) Ad 60 ἱκέτης ἐγένετο (Π 574) 62 ἰκέτης· παῖς, δοῦλος. παράσιτος ⟨οἰκέτης⟩ Ad 65 παρεγένετο (Θ 149) 67 ἴκηαι (Z 143)· παραγένῃ 70 ἰκιών (M 353)· πορευθείς Ad 79 ὑγρασία (P 392) 82 ἴκμενον (schol. Α 479)· εἰ μὲν δασέως τὸν ἰκτικὸν λέγει, οἷον πορευτικόν, τὸν ἰκνεῖσθαι ποιοῦντα, ὅ ἐστι πορεύεσθαι. εἰ δὲ ψιλῶς τὸν ἰκματώδη ⟨—δώδη⟩ καὶ ἔνικμον, οἷον ἔνυγρον Ad 87 κονίαν ⟨493⟩ 92 ἰκνῶμαι (X 123)· ἱκετεύσω 94 ἴκοιτο (Γ 233)· φθάσοι. παραγένοιτο Ad 98 περεγένοντο (Δ 484)

ἵκωμαι· [ad 514] παραγένωμαι (*Δ* 139)·
ὁ δέ κεν κεχολώσεται ὅν κεν ἵκωμαι
καὶ ἱκετεύσω (*X* 123)·
μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών· ὁ δέ μ' οὐκ ἐλέησει

† ἰλάγματα· ἱμάτια

ἰλαδόν (*B* 93)· ἀθρόως. κατὰ τάξιν, κατὰ σύστημα ἐπορεύοντο

ἰλάειρα σελήνη (Empedocl. 149) [18]

ἰλᾶντες· ἐξευμενιζόμενοι, ἐξιλεούμενοι [20]

(ἴλαξ cf. 537)

ἴλαον (*I* 639?)· ἵλεων, εὐμενῆ [22]

? ἰλάως· ἱλέως, ἱλαρῶς, εὐμενῶς

ἰλαότι· ἱλαρῷ, ἱλέῳ

ἰλαπίνας (Callim. Cer. 85)· θυσίας. ἑορτάς

ἴλαρ (Boeot.)· ἀσφάλεια. κώλυμα. φυλακή ⟨v. εἴλαρ⟩

ἱλαρός· περιχαρὴς τῇ ὄψει

ἱλαρῶς· εὐθύμως· φαιδρῶς [29]

ἱλασμός· εὐμένεια. συγχώρησις. διαλλαγή, καταλλαγή. πρᾳότης [31. 32]

Ἰλάων· ἥρως, Ποσειδῶνος υἱός, ἀφ' οὗ Ἀριστοφάνης ἐν Τριφάλητι (fr. XIV) Ἰλάονας ἔφη τοὺς φάλητας μεταφέρων, ὡς ὑπερβάλλοντας τῷ μεγέθει· ὡσεὶ ἔλεγε Τιτυο(ύ)ς ἤ τινας τοιούτους. ἄλλοι δὲ θεὸν πριαπώδη φασίν [34—36]

ἴλαξ· ἡ πρῖνος, ὡς Ῥωμαῖοι καὶ Μακεδόνες [38]

ἵλεοι· εὐμενεῖς: καὶ σταφυλῆς εἶδος ⟨εἴλεοι Ath. I 31 B⟩

ἰλεός· θηρίων φωλεός. τίθεται ἡ λέξις καὶ ἐπὶ † ἀλωπέκων. ἢ ὁ τῶν ἐντέρων σπαραγμός ⟨v. ἴελος⟩ [41—45]

ἰληδόν· ἀθρόον. ἀθρόως

ἱλήκοι· ἐν εὐμενείᾳ ἔστω

ἴλην· ὄχλου συναναστροφὴν ἐν τάξει ἱππικῇ

ἴλια· μόρια γυναικεῖα ⟨562⟩ [50]

Ἰλιάς· τὸ Ὁμήρου σωμάτιον. καὶ ὄρνις, ἡ κίχλη· Ἀριστοτέλης (h. a. IX 18, 2)

ἴλιγγι· συστροφῇ. καὶ τὰ ὅμοια

ἰλιγγιᾶν· τὸ ἐσκοτῶσθαι. καὶ δοκεῖν περιφέρεσθαι, κύκλῳ συστρέφεσθαι

ἰλιγγιᾶν· συστροβεῖσθαι. σκοτοῦσθαι

ἴλιγγος (Nic. Ther. 248) καὶ ἴλιξ· ὁ τῆς κεφαλῆς σκοτισμός. ὁ γὰρ τῶν ἐντέρων θόρυβος ἰλεός λέγεται, ὁ σπαραγμός. λέγουσι δὲ οὕτω καὶ τὴν τῶν πραγμάτων ταραχήν [56]

Ἰλίεια· ἑορτὴ [ad 56a] ἐν Ἰλίῳ Ἀθηνᾶς Ἰλιάδος (Eur. Hec. 1008) καὶ πομπὴ καὶ ἀγών [57]

ἴλιξ· συστροφὴ ὑδάτων ⟨εἴλιγξ⟩ [59]

ἰλιοί· θηρία διὰ φρυγάνων, ἢ σκώληκες ἐν ταῖς δρυσίν, οἷς χρῶνται εἰς δέλεαρ. Ἀντίγονος δὲ ὁ Καρύστιος ἐν τῷ περὶ ζώων τὸν καλούμενον μῦν ἐλειόν [61]

ἴλιον· τὸ τῆς γυναικὸς ἐφήβαιον δηλοῖ ⟨549⟩. καὶ κόσμον γυναικεῖον παρὰ Κῴοις

ἰλιός· μῦς τις [64. 65]

† ἰλίσσαι· κατωχῆσαι ⟨ἰνάσαι· καταχύσαι?⟩

ἰλισπῶντες· συνε(ι)λοῦντες

ἰλιτενής (Theocr. XIII 42)· κισσὸς ἄκαρπος [69]

ἴλκα· γλοιός. ῥύπος

ἰλλάδας γονάς· † ἀγελειάς καὶ τὰς συστροφάς. Εὐριπίδης Φρίξῳ (fr. 834), καὶ Σοφοκλῆς Ἀκρισίῳ (fr. 73)

ἰλλάδας (*N* 572)· σειρὰς ἐξ ἱμάντων ἢ σχοίνων. παρὰ τὴν εἴλησιν

ἴλλαι· τάξεις. συστροφαί. δεσμοί. ἀγέλαι ⟨ἶλαι⟩

ἰλλάζει· δεσμεύει. συστρέφει. ἀγελάζει [75]

COD. 14 ἵκομεν καὶ ἱκετεύσομεν μνήμην ⟨15 εἰλίγματα· ἱμάντια?⟩ 16 κατ' ἀξίαν 19 ἰλάντες — ἐξιλευόμενοι ⟨37 ἴλεξ?⟩ 40 ἰλεῶς, θερίον φολεός — ⟨ἀλωπέκεω?⟩ 46. 47 = 47. 46 47 ἴλιλον 49 δῶρα cf. 562 51 cf. ἴχλα 52 ἰλίγγη, συστροφή 54 συστροφοῦσθαι 55 ἴλιξ — ἴλεος — ὡς πάραιμος 56a ἰδίῳ 60 ἴληοι — ἄρυσιν — μυνέλειον ⟨cf. gl. ε 936. 1984⟩ 62 ἐφήβεον 63 ἴλιος, μύστης ⟨71 κονάς, ἀγελαίας κατὰ σ.?⟩ 73 ἰλλή· δεσμός Theognost. 15, 22

HES. Ad 514 [ἱκετεύω] 18 † ἰλάεος· ἱδαρός ⟨535⟩ 20 ἰλαόμοιος· λιταῖς ⟨ἱλασμοῖς⟩ 22 ἰλάονται (*B* 550)· ἱλάσκονται 29 ἰλάσκεσθαι (*A* 386)· ἐξιλεοῦσθαι 31 ἰλάσσεαι (*A* 147)· ἐξιλεῶσαι ⟨—ώσῃς⟩ 32 ἱλαστήριον (LXX)· καθάρσιον. θυσιαστήριον 34 ἰλέοντο (*Φ* 8)· ἐστρέφοντο 35 ἴλεον (Boeckh. C. I. II p. 411 B), ἴλαον, ἴλλεον ⟨518⟩· τριχῶς, τὸ ἱλαρόν 36 ἰλεθμός· ἀθροισμός ⟨εἰληθμός⟩ 38 ἵλεως· εὐμενής. ἱλαρός 41 ἰλικρινεῖς· καθαροί ⟨εἰλ—⟩ 42 ἰλέωσιν (*B* 291)· ἴσχωσιν 43 Ἰλήϊον (*Φ* 558)· τὸ Ἰλιακόν, ἀπὸ Ἴλου· τὸ τῆς Ἰλίου πεδίον 44 ἴληθι (*γ* 380)· χαῖρε, ἵλεως ἴσθι 45 ἰλήκοις (*φ* 365)· ἵλεως εἴης 50 Ἰλιάδης (Zenodot. *N* 203)· ὁ Ἰλέως παῖς 56 ἰλιγγίφθογγοι (*β* 6)· ἡδύφωνοι Ad 56a ἐν Ἀθήναις ⟨ad Διπολίεια⟩ 57 ἰλικρινές· ἄμικτον ⟨εἰλ—⟩ 59 Ἰλιόθι (πρό)· πρὸ τῆς Ἰλίου πόλεως (*Θ* 557) 61 Ἴλιον εἴσω (*A* 71)· εἰς Ἴλιον εἴσω 64 ἰλίς· ..... ⟨577⟩ 65 ἰλικρινῶς· ψιλῶς. οὐ καλυψάμενος 69 ἰλιμένοι· διωκόμενοι ⟨εἰλημενοι⟩ 75 ἰλλαοιδός· ἐπιμυλίδιος ᾠδός ⟨ἱμ—⟩

ἴλλικον· τὸν τραγίσκον. ἐθνικῶς
ἰλλίς· στρεβλή, διεστραμμένη ⟨564⟩
ἰλλός (Ar. Thesm. 846)· στρεβλός, [ad 78] διεστραμμένος [79]
Ἰλλυρὶς γενή· ἀντὶ τοῦ Ἰλλυρὶς γενεά. γράφεται δὲ καὶ γυνή. ὁ δὲ Καλλίστρατος γύη, ἀντὶ τοῦ γῆ· χρῶνται γὰρ οὕτως. Σοφοκλῆς Τριπτολέμῳ (fr. 541)
ἰλλώπτειν· στραβίζειν, ἀπὸ τῶν ἴλλων τῶν ὀφθαλμῶν. ἐμβλέπειν. τὸ καταμύειν
†ἰλός ⟨γλιός?⟩· ἰλύς. βόρβορος. γλοιός [83—86]
ἰλύαι (Cyprii?)· ἔνθα τὰ θηρία αὐλίζεται, φωλεοί
ἰλύει· [ad 88] κρύπτει ⟨579⟩. συστρέφει [ad 88]
ἰλύθματα (Aeoles)· πέταλα
†ἰλύμενον· ἐρχόμενον, προβαίνοντα [91]
ἰλύωμαι· ἐρρύπωμαι
ἰλύς· πηλός. ὑποστάθμη [94]
ἰλύσαι· κρύψαι, καλύψαι
ἰλυσπᾶσθαι· τὸ παραπλησίως τοῖς ὄφεσιν ἢ σκώληξιν ἰέναι, κυλίεσθαι. εἰλεῖσθαι
ἰλύσω (Φ 319)· ἰλύϊ περικαλύψω, κρύψω
ἴλυται· κέκρυπται, καλύπτεται
ἱμαῖος (Callim. sch. Ar. Ran. 1332)· ᾠδὴ ἐπιμύλιος, καὶ ἐπαντ(λ)αῖος, καὶ ἐπίνοστος
ἱμαλιά· τὸ ἐπίμετρον τῶν ἀλεύρων. ἐπιγέννημα ἀλετρίδος. καὶ ὁ ἀπὸ τῶν ἀχύρων χνοῦς. καὶ περιουσία
ἱμαλίην· ἱκανήν
ἱμαλίοιο· πολλοῦ, δαψιλοῦς ⟨v. ἠμ—⟩
ἱμάλιον· πολυφόρον. καρποφόρον. νόστιμον. [καὶ σταφυλῆς εἶδος cf. gl. seq.
ἱμαλίς· ἡ ἐπιμύλιος ᾠδή. ἢ σταφυλῆς εἶδος
ἱμαλίς· νόστος. δύναμις. ἐπικαρπία. ἡδονή, ἀπαρχὴ τῶν γινομένων
ἱμᾶν· ἀντλεῖν· ἱμονιὰ γὰρ τὸ ἄντλημα
ἱμαντάρια· ἐν ταῖς ναυσὶν οὕτω καλεῖταί τινα
Ἱμάντες· λῶροι, κάλοι ναυτικοί. καὶ ἔθνος οὕτως προσαγορευόμενον. καὶ τὰ κύκλῳ τῶν τροχῶν σιδήρια
ἱμάντιον· τῆς ἐν τῷ στόματι κιονίδος ἔκτασις
ἱμάντωσις· σύνδεσμος τῶν κορυγίων ⟨corrigiarum⟩ τοῦ ὑποδήματος
ἱμάοιδος· ὁ πρὸς τῇ μύλῳ καὶ τῷ ἀντλήματι ⟨ἀλ—⟩ ᾄδων
ἵμαον (Cyprii)· πάταξον
ἱμάς· λῶρος (ι 385)·
οἱ δέ (τ' ἔ)νερθεν ὑποσείουσιν ἱμάντι
καὶ ἐπὶ τοῦ κανονίου τοῦ συνέχοντος τὴν θύραν (δ 802)·
παρὰ κληῗδος ἱμάντα
ἐπὶ τῶν μυρμήκων (Ψ 684)·
δῶκεν ἱμάντας ἐϋτμήτους βοὸς ἀγραύλοιο
καὶ τὰ ὅπλα, οἷς τὸ κέρας ἀνάγεται τῆς νεώς [614]
ἱμάσθλας· μάστιγας
ἱμάσθλη (Apoll. 91, 7)· μάστιξ. ἀπὸ τοῦ ἱμάσσειν, ὅ ἐστι τύπτειν τῷ ἱμάντι [17]
?ἱμάσαι· πατάξαι, πλῆξαι, μαστίξαι
ἱμάστα· μάστιξ
ἵματα· ἱμάτια [21]
ἴμβηρις· ἔγχελυς. Μηθυμναῖοι
Ἴμβριος καὶ Λήμνιος· οἱ τὰς διαίτας ὑποφεύγοντες ἐσκήπτοντο ἐν Λήμνῳ ἢ ἐν Ἴμβρῳ εἶναι. Ἴμβρος δὲ νῆσος Θρᾴκης
ἱμείρει· ἐπιθυμεῖ, θέλει [25. 26]
ἱμερόεντα· ἐπέραστα
ἵμεροι· ποθεινοί, ἐπιθυμητοί. ἀγαθοί. ἐραστοί, ἀγαπητοί. ἀγαστοί [29—31]
Ἱμερτή (Callim.)· τὸ πάλαι ἡ Λέσβος
ἱμέρων ⟨—τῶν?⟩· ἐρασμίων, ποθεινῶν
?ἴμερα· τὰ πρὸς τοὺς καθαρμοὺς φερόμενα ἄνθη καὶ στεφανώματα
†ἴμεστος· δικη Σικελή
ἱμητόν· ἀντλητόν
ἱμῆσαι· ἀντλῆσαι. ἑλκύσαι
ἱμίνα· χοῖνιξ ⟨680⟩

COD. 80 γονή — γονέα 89 κτυπεῖ ἐκτρέφει 92 ἰλύοσμαι ἐρρύποσμαι Ante 599] 604 601 legebatur post ἀλετρίδος 4 cf. 599 5 v. ἰομαλίς 11 ἰλάοιδος ⟨q. v.⟩ — μύα — αὐλήματι 12 ἵμαον 13 δὲ νέρθεν ὑποσείσεσιν — παρακληΐδας ἱμαντίς — δοκεῖν — εὐδημήτουν 18 cf. γιμάσαι 23 ἀποφ| 34 cf. ἴσμερα et Theognost. 14, 24 37 κλύσαι 38 ἱμία χύνιξ ἱμ|

HES. Ad 78 στραβός ⟨Moer. 205⟩ 79 ἰλύει· στρέφει. κρύπτει ⟨εἰλύει⟩ 83 ἰλούμενος· περιστρεφόμενος ⟨v. εἰλ—⟩ 84 Ἴλου σῆμα (Λ 166)· Ἴλου μνῆμα 85 ἰλύατε (υ 352)· περιλημένε 86 ἰλιγγιζόμενον· συστρεφόμενον ⟨—ι λυγιζόμενον⟩ Ad 88 κοιμᾶται — διατρίβει ⟨ad ἰαύει⟩ 91 (ἰλυόεσσι Greg. Naz. I 37)· ἰλυώδεσι. βορβορώδεσιν 94 ἰλύος (Φ 318)· ὑλώδους ἢ σύσταθμις ποταμός 614 ἵμασεν (Λ 280)· ἐμάστιξεν 17 ἱμᾶσι (Κ 475 non Soph. El. 747)· λώροις 21 ἱμάσσω (Ο 17)· ἱμάντι πατάξω. ἐλάσω 25 ἱμείρεται (α 41. 59)· ἐρᾷ, ἐπιθυμεῖ, ποθεῖ 26 ἱμείρους· ἔρωτας, πόθους 29 ἴμεν· βαδίζειν, πορευθῆναι (Λ 170) 30 ἵμενος· πολύσαρκος ⟨ἱμάλιος⟩ 31 ἱμερτόν (Β 751)· ἐπέραστον ⟨paraphr.⟩, καλόν, ποθεινόν, ἐπιθυμητόν ⟨paraphr.⟩, ἐράσμιον

ἱμίνη· κοτύλη
ἱμιτραόν· ὑπόζωσον. Πάφιοι
ἱμμούς· βοῦς. Λυδοί
ἱμονιά· ᾗ χρῶνται πρὸς τὰς ἀνιμήσεις τῶν ὑδάτων. Κύπριοι δὲ †ἶμας, ἤγουν τὰ σχοινία τῶν ἀντλημάτων (Com. IV p. 438)
†ἵμοροι· πόλεμοι
ἱμπάταόν· ἔμβλεψον. Πάφιοι
ἱμπόλης· ληπτής
ἱμφθείς· βλαφθείς. †θαμβηθείς. νυχθείς
ἶμψας· ζεύξας. Θετταλοί ⟨v. γιμβάναι⟩
Ἴμψιος· Ποσειδῶν ὁ ζύγιος
ἶν· αὐτῇ. αὐτήν. αὐτόν. Κύπριοι
ινα· ὅπου (K 127). ὅπως (Λ 203). καὶ ἐπίρρημα. ἢ νεῦρον (P 522) [51]
ἰναία δύναμις
ἰν Ἀκριῖαν (Cyprii)· εἰς Ἀκρισίαν
ἰν ἄμμαυϊν (Cyprii)· εἰς κρίσιν [ad 54]
ἰν ἀνάτοις (Cyprii)· ἐν εὐπορίαις
ἰνάρει· μαστεύει ⟨v. νάρειν⟩
ἰνάρετος (Cyprii)· ἱκανός. ἐνάρετος
ἶνας (Archil. fr. 137)· νεῦρα
ἰνάσαι· καταχέαι. καταπλάσαι. καταβαλεῖν ⟨v. ἰλίσσαι⟩
ἰνάσατο· κατέχεεν. ἐκάθαρεν [ad 61]
ἰνᾶσθαι· ἐκκενοῦσθαι. καὶ προΐεσθαι [62. 63]
ἶν αὐτῷ (Hesiod.)· αὐτὸς αὐτῷ
Ἰνάχεια· ἑορτὴ Λευκοθέας ἐν Κρήτῃ, ἀπὸ Ἰνάχου
Ἴναχος (Callim. L. M. 50)· ποταμός
ἰνδάλλεται (Ψ 460)· ὁμοιοῦται (Nic. Th. 153), [ad 67] δοκεῖ. στοχάζεται. ἰσοῦται (Nic. Th. 259). σοφίζεται [68]
ἰνδάλλονται· φαίνονται καὶ τὰ ὅμοια
ἰνδάλματα (cf. Sap. VII 3 Greg. Naz. C. LVIII 75)· φαντάσματα. ἀφομοιώματα, εἰκόνες
ἰνδέα· μεσημβρία. Μακεδόνες
Ἰνδός· ὁ τὸν ἐλέφαντα ἄγων ἀπὸ Αἰθιοπίας
ἴνδουρος· ἀσπάλαξ [74]

†ἰν᾽ ἔκεσθαι ⟨ἰν᾽ εἴσεσθαι⟩· μαθεῖν
ἶνες (λ 218)· νεῦρα
ἰνεύει· τείνει (Galen. lex. p. 534)
ἰνηθεῖσα· καθαρθεῖσα, κενωθεῖσα [79]
ἰνιμίνα (Sophro?)· †ἐνημίσυ
ἰνίον· τὸ ὄπισθεν τοῦ τραχήλου νεῦρον (E 73), καὶ ἡ συναγωγὴ τῶν χειρῶν πρὸς ἀλλήλας. ἢ μέτρον (Aegyptii). ἢ υἱόν ⟨ἶνιν⟩
†ἰνιπίσας· κρούματα ποιά
ἶνις (Eur. Tro. 571)· υἱὸς νέος, παῖς, βρέφος, ἀπόγονος, νήπιος
ἰνκαπάταόν (Cyprii)· ἐγκατάβλεψον
ἰνκαφότευε (Cyprii)· ἐνκαταφύτευε
ἰννήν· κόρην μικράν· καὶ τὴν ἐν τῷ ὀφθαλμῷ
ἰννός· ὁ πῶλος, ὁ ἐξ ἵππου πατρὸς καὶ μητρὸς ἡμιόνου, ἄλλοι δὲ ὄνου. Ἀριστοτέλης (HA VI 24) δέ φησιν ἰννὸν ἡμιόνειον ἄρσεν, τουτέστιν ὀρέα, τὸν ἐπὶ θηλείας ἀναβαίνοντα· γίννον δὲ ἐξ ἵππου νοσήσαντος. ἄλλοι δὲ ἡμιόνιον ἢ ἱππάριον ἀναυξές. Ἀριστοφάνης (Byz. p. 108) δὲ τοὺς ἰννοὺς γίνεσθαι ἐξ ἵππου πατρός, ὄνου δὲ μητρός
ἰνουλεοῦς (Callim.)· νεβρός. ἐνικῶς ⟨ἐθνικῶς?⟩
ἰννούς· παῖδας (μικρούς)
†ἰννοῦνται· ζῶσιν ⟨704⟩
(ἴννυεν· ἐκαθέζετο) cf. post 686. 699
†ἰνπροαγόρας· ἐναντίος
ἶν τυῖν (Cyprii)· ἐν τούτῳ ⟨ἰν τυῖν· ἐν τῷ⟩
ἰνύεται· κλαίει, ὀδύρεται ⟨698⟩
Ἰνυκῖνος οἶνος· ἀπὸ Ἰνύκου τῆς Σικελίας· ἔστι δὲ πολίχνιον εὔοι(ν)ον
Ἰνύνια· ἑορτὴ ἐν Λήμνῳ ⟨Μινυήϊα?⟩
ἴνυξ· ὀρνεόν τι, ᾧ χρῶνται αἱ φαρμακίδες
ἰνύρετο· ἐμύρετο ⟨694⟩
ἰνύεσθαι ⟨ἵνυσθαι?⟩· κοσμεῖν. ἱδρύνεσθαι
ἰν φάος (Cyprii)· εἰς τὸ φῶς
ἰνῶδες· ἰσχυρόν, εὔτονον, νευρώδη [702]

COD. 42 ἱμόνια — ἀνεμήσεις ⟨44 cf. ἰνκαπάταόν 46 pro ἰφθείς 49 cf. εἶν⟩ 53 ἰνακρίαν 55 ἀπορίαις 59. 60 ἰνάσσ| 62 ἔστη 63 συμφώνων 64 ἶν᾽ αὐτῷ. Cf. Apoll. Dysc. pron. p. 106 A 9 65 ἰναχία ⟨80 ἰν ἰμίνα· ἐν ἡμίνῃ?⟩ 84 ἰνκατάπαον cf. 614 85 cf. φωτεύει 86 ἴννην Post 86] 91 ἴννοιεν 88 ἡμιόνιον

ἄρσενα — ἰννὸν δὲ — νοήσαντες — προγόνου (h. e. προσόνου); cf. γίννον 89 νευρός 90 ἴννους 93 cf. τοῖϊν 94 ἰννύ| 95 ἰννύκινος ⟨97 = ἴυγξ⟩ 98 cf. ἐνυρήσεις, ὀνυρίζεται (μιν— κιν—?) 700 ἴνφαος 1 |ώδη ἰσχνόν

HES. 51 ἵνα γνώωσιν (Ψ 610)· ἵνα ἐπιγνῶσιν Ad 54 [ἵνα λέγωσιν] [ἰνώδης] Ad 61 ἐκαθάρθη 62 ἰνατί (Ps. II 1)· διὰ τί ἐς τί 63 ἰνατέρων (Z 378)· συννύμφων λέγονται δὲ καὶ αἱ τῶν ἀδελφῶν γυναῖκες ἰνάτεραι Ad 67 φαίνεται ⟨163⟩ 68 ἰνδάλλετο (P 213)· ὡμοιοῦτο 74 ἶν᾽ ἔκδηλος (E 2)· ἶν᾽ ἐπίσημος ᾖ ⟨v. ἔκδηλος⟩ 79 ἰνία· λῶρα ⟨ἡνία⟩ 702 Ἰνώ· Κάδμου θυγάτηρ

ἰνώμενος· ἐξελών. ἐκκενούμενος, τουτέστι προϊέμενος, ἀφ' οὗ καὶ ὑπέρινος (Hippocr. III p. 610 K) λέγεται

ἰνῶνται· ζῶσιν ⟨691⟩ [5]

ἴξ (Alcman. fr. 34)· θηρίδιόν τι, ἀμπέλους ἐσθίον

ἶξαι· διηθῆσαι ⟨ad ὑλίξαι?⟩. ἥκειν

ἰξαλῆ (Hippocr. III p. 112 K)· αἰγὸς δορά. ἡ πηδητική

ἰξάλου (Δ 105)· πηδητικοῦ, ὀξέος· ἀπὸ τοῦ ἶξαι καὶ τοῦ ἅλλεσθαι. δηλοῖ δὲ καὶ ὀξέως ἀλλομένου [10]

ἶξε· [ad 11] ἐνέβαλεν. ἦλθεν

ἰξευτής· στρουθοπιάστης

ἶξις· παρουσία. ἄφιξις. ἱκετεία

ἰξίας· κιρσὸς ὁ ἐν τοῖς μέλεσιν. ὁμωνύμως δὲ καὶ τὰ ἐν τοῖς δένδροις. καὶ πόα τις. ἡ χαμαιλέων (Diosc. III 10). καὶ ἕτερα, ἀφ' ὧν καὶ ἰξός

ἶξινα· νεῦρα (col. 215, 11)

ἰξοί (Aristoph. fr. CLXXVII)· οἱ γλίσχροι, καὶ φειδωλοί [17]

ἱξόμεθα (Aesch. Suppl. 158)· ἱκετεύσομεν [19]

ἰξός· εἶδος φυτοῦ. καὶ κάλαμος ἰξευτικός

ἰξοφόρους δρύας· τὰς ἰξὸν φερούσας. Σοφοκλῆς Μελεάγρῳ (fr. 369)

ἰξύας· ἰχθῦς τις [23]

ἰξύος· ὀσφύος

ἰξύς· ὀσφύς [26]

Ἰόβακχος· ὁ Διόνυσος, ἀπὸ τῆς βακχείας

ἰόβας· κάλαμος παρὰ Κρησίν [29]

ἰοβλέφαροι· καλλιβλέφαροι

ἰοβόρον ⟨—λον⟩· παλίγκοτον, ἤγουν ὀργίλον. σκολιόν. ἐχθρόν

†ἰοβρέτας· ἀπὸ ἰοὺς τοὺς βροτοὺς ἔχουσα

†ἰοβρυχέουσα· ἀνιωμένη, πικραινομένη

ἰογλῆναι· μέλαινας γλήνας ἔχουσαι

ἰοδνεφές (δ 135)· μέλανι ἄνθει παραπλήσιον· οἱ δὲ πορφυρίζον

ἰοδόκον (Θ 444)· τὴν φαρέτραν, τῶν ἰῶν οὖσαν δεκτικήν (Call. Dian. 213)

ἰοειδές· μέλαν, ἢ ἀνθηρὸν ἐν τῷ δρᾶσθαι· πορφυροῦν

ἰοειδέος (ε 56)· μέλανος [39]

ἰόζωνος· πορφυρόζωνος

ἰοί (Λ 387)· τὰ βέλη. ἀπὸ τοῦ ἰέναι· ἢ ἀπὸ τοῦ ἰοῦ. ἐχρίοντο γὰρ φαρμάκῳ τινὶ αἱ ἀκίδες αὐτῶν

ἴοι· ἀπέλθοι, πορεύοιτο. εὐκτικῶς [43]

ἴοιτο (Attici)· πορεύοιτο

†ἰολάδα· ἰοειδῆ χρώματα ⟨cf. ἴωλον⟩ [46]

ἰόμωροι (Δ 242 Ξ 479)· ἰοὺς ὀξεῖς ἔχοντες, καὶ δι' αὐτῶν ἢ ἐξ αὐτῶν μόρον, ὅ ἐστιν θάνατον, ἐπιφέροντες. βέλτιον δὲ οἱ περὶ τοὺς ἰοὺς μεμορημένοι ἤτοι πεπονημένοι ⟨v. ἴμοροι⟩

ἰόν· ἀφίκοντο. ἄνθος [ad 48]. εἷρπον. καὶ βέλος τοξικόν. καὶ μόνον (ἡ σκώληξ aerugo vermicularis)

ἰονθάδος αἰγός (ξ 50)· Ἀπίων τῆς ἰούσης θοῶς· ἢ ἰόνθους ἐχούσης, οἷον ἐκφύματα σκληρά [50]

Ἰόνιον πέλαγος· ὁ νῦν Ἀδρίας [52]

ἰοπλόκαμος· μελανόθριξ

ἰοπλόκος (Alcae. fr. 55), ἰόπεπλος· ἀπὸ τοῦ χρώματος

†ἰόππα· μιξύδης

ἴορκες· τῶν δορκάδων ζώων. ἔνιοι δὲ ἡλικίαν ἐλάφου

ἰότητι (Ε 874 al.)· βουλήσει, θελήσει. αἰτίᾳ. ὀργῇ. χάριτι

ἰότητος· βουλήσεως

ἰοτόκος· ὁ κατασκευάζων ὀργήν. καὶ τὰ ἰοβόλα θηρία. καὶ ὁ τὴν οἰκείαν βουλὴν ἰστῶν

ἰού· σχετλιαστικὸν ἐπίρρημα, ὡς τὸ φεῦ, καὶ τὸ παπαί [61]

†ἴουκαι· πεπόρευται (Soph. OC. 467?)

ἰοὺ γέρον (iugerum?) [64]

ἴουλοι (λ 318)· αἱ πρῶται τῶν τριχῶν ἐκφύσεις. ἀπὸ τοῦ ἰέναι αὐτὰς οὔλας. Ἴουλοι δὲ καὶ οὖλοι αἱ ἐκ τῶν δραγμά-

COD. 8 ἰζάλη — |ικός ⟨ad ἰξάλη⟩ 9 ἰζάλου 12 cf. χαλαμοτύπος 13 cf. ἧξις (in Eur. Tro. 396 var. lect.) 14 ἰξία Poll. Phot. 16 ὀγλίσχροι 35 μελαίνει 36 ἰώνων 42 |θοιτο 49 θοώση Post 49 ἡ σκώληξ, cf. 48 51 ἀνδριὰς (cf. Ἰώνιος) 56 διὰ
υυ
ὀρκάδων (cf. ἴυρκες) 58 ἰοτήτυος 65 ἐκφφ — ἀπὸ

HES. 5 ἰνώσατο· ἔπιεν. ἐδέξατο. κατέπιε. κατεκαύθη ⟨L. Ἰνὼ δέξατο (ε 461)· ἔπιεν κατέπιεν κατέκλυσεν⟩ 10 ἰξάνει· ἐπικάθηται ⟨v. ἰζάνει⟩ Ad 11 παρεγένετο (Ζ 172) 17 ἵξομαι (Ζ 367)· παραγενήσομαι 19 ἶξον· ἀφίκοντο (Ε 773), ἦλθον 23 ἰξυΐ (ε 231)· ὀσφυΐ. λαγόνι 26 ἶξων· φέρων ⟨ἄξων⟩ 29 ἰοβηλαῖος· χρόνοι τεσσαράκοντα ἐννέα 39 ἰοδόχη· βελοθήκη 43 ἰοῖσιν (Γ 80)· ἰοῖς, βέλεσιν 46 ἰομαλίς· δύναμις ⟨ἰμαλίς⟩ Ad 48 πρόβατον ⟨οἶν⟩ 50 ἰονέντα (Ψ 850) 52 ἰόντα (schol. Α 27)· παραγινόμεν†α. ἐπανερχόμεν†α 61 Ἰουβάλ (Genes. IV 21)· κύριον ὄνομα τοῦ καταδείξαντος κιθάραν 64 Ἰούδας (Genes. XXIX 35)· ἐξομολόγησις θεοῦ

των συναγόμεναι δέσμαι. καὶ ζῶον πολύπουν, ὅπερ ἡμεῖς λέγομεν ὄνον. τινὲς δὲ καὶ τὸν ἐπὶ ταῖς ὑδρίαις γινόμενον ὄνον πολύποδα καὶ συστρεφόμενον ἴουλον καλοῦσιν [66]

Ἰοφῶσσα· ἡ Χαλκιόπη, ὥς φησι Φερεκύδης

ἰοχέαιρα (Ε 53)· τοξοφόρος. ἢ ἰοὺς χέουσα. ἢ ἰσχυρά. ἢ βέλεσι χαίρουσα

Ἰόψαφος· Ἀπόλλωνος ἐπίθετον

†ἴπαμα· κάμνη

ἶπες (φ 395)· θηρίδια σκωληκοειδῆ, ἃ κατεσθίει τὰ κέρατα καὶ τὰ ξύλα

ἰπνή· ἐφιππίς. Σικελοί

ἴπνια (Callim. fr. CCXVI)· τὰ καθάρματα τοῦ ἰπνοῦ

ἰπν†ασία· γαστὴρ παρὰ Ταραντίνοις

ἰπνοδόμαν· τὴν φρυγίαν. Κρῆτες

ἰπνοκήϊον· φρύγιον. οἱ δὲ τὴν ὑπόκαυσιν τοῦ ἰπνοῦ

ἰπνός· κάμινος. φοῦρνος. φανός (Ar. Pac. 839). κλίβανος. μαγειρεῖον (Ar. Plut. 815). καὶ μέρος τι νεώς. Ἀριστοφάνης δὲ ἐν Κωκάλῳ (fr. IX) καὶ τὸν κοπρῶνα οὕτως εἶπεν

ἶπος· τὸ ἐμπῖπτον τοῖς μυσὶ ξύλον

ἰποῦμεν (Cratin. fr. X p. 71)· πιέζομεν

ἰπούμενος (Ar. Eqq. 924)· πιεζόμενος

ἱππαγρέτας (Xen. Hell. III 3, 9)· ἀρχὴ ἐπὶ τῶν ἐπιλέκτων ὁπλιτῶν

ἱππάδα· τὰ τῶν ἱππέων τιμήματα. τινὲς δὲ στολὴν ἱππικήν (Herod. I 80). καὶ θυσίαν, ἣν τοῖς ἱππεῦσιν ἀπένειμον. καὶ πύλαι Ἀθήνησιν Ἱππάδες ἐκαλοῦντο [81]

ἱππάκη (Aesch. fr. 192)· Σκυθικὸν βρῶμα ἐξ ἵππου γάλακτος. οἱ δὲ ὀξύγαλα ἱππεῖον, ᾧ χρῶνται Σκύθαι. πίνεται δὲ καὶ ἐσθίεται πηγνύμενον, ὡς Θεόπομπος ἐν τρίτῳ αὐτοῦ λόγῳ. καὶ μάνδρα ἵππων παρὰ Λάκωσιν

ἱππαλεκτρυών (Ar. Ran. 932)· τὸν μέγαν ἀλεκτρυόνα, ἢ τὴν γραφόμενον ἐν τοῖς Περσικοῖς περιστρώμασι. γράφονται δὲ οἷον γρῦπες. ἔνιοι γῦπα

ἱππάριον· ὄρνεον ποιόν, παραπλήσιον χηναλώπεκι [85]

Ἱππάρχειος Ἑρμῆς (Com. an. CXCI)· Ἱππάρχειοι Ἑρμαῖ, ἃς ἀνέστησεν Ἵππαρχος στήλας ἐ(γ)γράψας εἰς αὐτὰς ἐλεγεῖα, ἐξ ὧν ἔμελλον βελτίους οἱ ἀναγινώσκοντες γίνεσθαι

ἵππαρχος· ὁ τῶν νέων ἐπιμελητὴς παρὰ Λάκωσιν

ἱππάρχου πίναξ· [ad 88]

ἱππάς· παρὰ Ἀθηναίοις μερὶς τῆς πολιτείας διῃρημένης εἰς τέσσαρα, πεντακοσιομέδιμνον .... καὶ αἱ θυσίαι δὲ αἱ περὶ τῶν ἱππέων ἐπιτελούμεναι ἱππάδες ἐλέγοντο. καὶ ἡ εἰς τὴν θυσίαν λαμβανομένη βοῦς ἱππάς· καὶ τὸ τέλος, ὃ ἐτίθεσαν οἱ ταύτης τῆς τάξεως, ἱππὰς ἐκαλεῖτο (Aristot.)

ἱππαστὶ καθίζειν· ὅταν οἱ παῖδες ἐπὶ τῶν ὤμων περιβάδην καθέζονται

ἱππείαν· τὴν ἵππον. ἔνιοι δὲ τὴν τόξων νευρὰν τὴν ἐξ ἱππείων τριχῶν ⟨807⟩

Ἵππειον· τὸ Ἄργος (Eur. I. T. 700). ἀπὸ Ἵππης τῆς Δαναοῦ

ἵππειος δρόμος· τετραστάδιός τις ⟨810⟩

Ἵππειος Ποσειδῶν· φυσικῶς φασι. διὰ τὸ λέγειν τὸν ποιητήν (δ 708)·

αἵθ' ἁλὸς ἵπποι
ἀνδράσι γίγνονται

(ἢ) κατὰ τὸν μῦθον, ὅτι ἵππους ἐγέννησε Ποσειδῶν, [95] Ἀρίονα Σκυφίον Πήγασον

ἵππερον (Ar. Nubb. 74)· ἱππικῆς ἔρωτα ⟨781⟩. (πάθος τι τῶν ὑπὸ τὸν ἴκτερον συμβαινόντων ⟨785⟩)

ἱππετοῦμαι· ἠγώνισμαι. Λάκωνες

ἱππεύς· φυγάς. καὶ εἶδος κοροκοσμίου ⟨814⟩. καὶ ὁ ἱππικῆς ἐπιστήμων [99]

ἱππέω(ς)· ἀναβάτου, ἐπιβάτου

ἱππηλάτας (Aesch. Pers. 126)· ἵππον ἐλαύνων

(ἱππήλατος)· πλατεῖα ὁδός [ad 802]

ἱππημολγῶν (Ν 5)· ἵππους ἐλαυνόντων, ἢ ἀμελγόντων· διὰ τὸ τροφῇ χρήσασθαι τῷ γάλακτι (cf. Call. Dian. 252)

COD. 68 ἔχουσα 71 σκληροειδῆ 73 κατάγματα 77 μαγείριον — κολάκω — τὸ κοπρόνα 78 ἰπούς Post 78 ἰποῦμεν et ἰπούμενος desunt; cf. ἱππ— 80 ἵπποις ἀπ| 83 δὲ οἱ γρ| 84 |πηκι 88 ἔνιοι ἱππ| 94 ποῦ τὴν τ' αἰθαλός — ἢ ὅτι — ἀρίωνασκυφί (ἵππευμα, ἀγώνισμα?) 98 ὁ ἐπὶ ἰ| 801 —ήλατος Post 801] 811. 812 2 ὁδῶ (Polluc. IX 37) 3 ἱππιμόλγων

HES. 66 ἰούσης (Α 482)· πορευομένης 81 ἱππάερον· τὸν ἐπὶ τοῖς ἵπποις ἔρωτα. Ἀριστοφάνης (Nubb. 74). ἢ ἵππερον 85 ἵπαρος (ἵππερος)· πάθος τι τῶν ὑπὸ τὸν ἴκτερον συμβαινόντων Ad 88 ἐπεὶ οἱ (παρὰ Συρακουσίοις) ἱππάρχαι ἐν πίναξι τὰ ὀνόματα τῶν ἀτακτούντων γράφοντες παρεσημειοῦντο ⟨Zenob. IV 42⟩ 95 ἱππεῖς· ἔφιπποι, ἵπποι 99 ἱππίχατο δ' ὀλίμετ' ἐσκίανθον (Λ 52)· οἱ γὰρ ἱππεῖς μετ' ὀλίγον ἐπορεύοντο καὶ σχολαίως μετὰ τῶν πεζῶν Ad 802 καὶ λεῖα, εὐρύχωρος, καὶ ἡ μεμαλαγμένη (ν 242)

ἱππῆς· Ἱππεῦσιν (vers. 225)·

ἀλλ' εἰσὶν ἱππῆς ἄνδρες ἀγαθοὶ χίλιοι· σύστημα πολεμικῶν ἀνδρῶν χιλίων ἵππους τρεφόντων. Φιλόχορος δὲ ἐν τετάρτῳ εἴρηκε, πότε κατεστάθησαν χίλιοι. διάφορα γὰρ ἦν ἱππέων πλήθη κατὰ χρόνον Ἀθηναίοις· Λέγονται καὶ μύρμηκες οὕτως (Arist. HA. VIII 27, 3)

Ἱππία· Ἀρσινόη, ἡ τοῦ Φιλαδέλφου γυνή

ἱππίδιον· ἰχθῦς ποιός (Ath. 304 E)

ἱππικὴ βάσις· ἡ νευρὰ τοῦ τόξου, διὰ τὸ ἐξ ἱππείων γίνεσθαι νευρῶν. οἱ δὲ θώμιγγα νευρῶν πικὴν †καλοῦσιν

ἱππικὸν τόρμον· ὁ καμπ(τ)ήρ

ἱππικὸν χλίδος· Ἴων Ἀγαμέμνονι (fr. 3). ἀντὶ τοῦ χλίδημα, φόρημα. οἱ γὰρ ἐποχούμενοι τοῖς ἵπποις ἐχρῶντο κόσμου χάριν πλατέσι χιτῶσιν, ἃς καλασίριδας καὶ ξυστίδας τινὲς λέγουσιν

ἱππικόν· τὸ στάδιον ⟨793⟩

(ἱππικός· φυγάς

ἱππικώτατος [Ar. Lys. 678]· εὔδρομος)

ἱππιοχάρμης (Ω 257 λ 258)· ὁ ἐφ' ἵπποις χαίρων, ἢ μαχόμενος· χάρμη γὰρ ἡ μετὰ χαρᾶς μάχη

ἱππίσκος· ἐπίθεμα κεφαλῆς. ἢ γυναικεῖον κόσμιον

ἱππίτας· ἱπποφορβός

ἱπποβάτης· ἱππεύς [17]

HES Ad 46 [ἡ κνυζιθμός] 64 Κνωσός (τ 178)· πόλις 65 κνωσέοντι (Greg. Naz. C. IV 229 p 216)· καθεύδοντι 75 κοάχλικας· ἄρτους ⟨κόλλικας⟩ 81 κοβελίσκον· τρύβλιον (Ar Av. 387. 388) 82 κόγκαλος· κονιορτός (h. e. ΚΟΝΙCΑΛΟC) Ad 88 ἐπὶ τοῦ ῥᾳδίως τι ποιῆσαι Ad 89 ἐπὶ τοῦ εὐτελοῦς ἐτίθεσαν Ad 91 εἰσοὺ ἐποίησας 3202 κοδράντης (Matth. V 26)· τὸ πᾶν, ἢ τὸ τέταρτον τῆς φόλ(λ)εως, ἢ λεπτὰ δύο· τὸ δὲ λεπτὸν ἑξακισχιλιοστὸν ταλάντου, ὅ ἐστι νουμίον ἓν ἥμισυ, ἢ κόκκοι τρεῖς. τὸ δὲ τάλαντον λίτραι ἑκατὸν εἰκοσιπέντε. ὁ δὲ κοδράντης νουμμία τρία. ὁ δὲ ἔσχατος κοδράντης τὸ τέταρτον τῆς φόλλεως ⟨1980⟩

Κοδομή· ὄνομα θεραπαίνης. ἀπὸ τοῦ κοδομεύειν, ὅπερ ἐστὶν ἐν ἰπνῷ φρύγειν
†*κοδομία*· ἰπνία. φρυκτία. ἀλετρία [8]
κόδρους· οὓς ἡμεῖς λέγομεν κρονικούς τινας, τὸ ἀρχαῖον αὐτῶν ἐμφανίζοντες........ Ἀθηναῖος, λαμπρὸς τῷ γένει
κοδύμαλον· τὸ στρουθίον μῆλον (Alcman. fr. 86). οἱ δὲ κυδώνιον (Cret. Lac.). οἱ δὲ ἄνθους εἶδος (Polemo). οἱ δὲ κόσμος περιτραχήλιος
κοδώνεα· σῦκα χειμερινά (Achaei). καὶ καρύων εἶδος Περσικῶν
κοεῖ· αἰσθάνεται, νοεῖ
κόθημα· ἐπὶ τοῦ αἰδοίου. καὶ *κότιλον* ὁμοίως
κόθορνος (Xen. Hell. II 3, 47)· ὑπόδημα ἀμφοτέροις τοῖς ποσὶ πεποιημένον. τινὲς δὲ καὶ ἀνδράσι καὶ γυναιξὶν ἐφαρμόττειν φασὶ τὸ ὑπόδημα τό(ν) κόθορνον
κοθοῦριν· ἀλώπεκα
κόθουρος (Hes. Opp. 301)· ἀργός, ἄκεντρος. κολοβοῦρος. σιτοκοῦρος. ἀχρεῖος. κακοῦργος. ἀλώπηξ
κοθώ· βλάβη ⟨cf. κορθώ⟩
Κοθωκίδαι (sch. Ar. Thesm. 620)· δῆμος [19. 20]
†*κοία*· κλέψημα
κοῖ· τὰ κοῖλα ⟨3546⟩
κοιάζει· ἐνεχυράζει ⟨4766. 3824⟩
κοίας (Antimach. fr. LXXXIII)· σφαίρας. ἢ λίθους
κοίασον· σύνθες
κοιᾶται· ἱερᾶται ⟨3280. 2026⟩
κοίελος· τὸ ἐν τοῖς κυάμοις θηρίδιον
κοΐζειν (Ar. Ach. 746)· τὰ χοιρίδια μιμητικῶς λέγεται [29]
κοίης· ἱερεὺς Καβείρων, ὁ καθαίρων φονέα. οἱ δὲ *κόης* ⟨3265⟩
κόϊκες (Pherecrates)· ἐν Αἰθιοπίᾳ φοινίκων εἶδος. καὶ τὰ πεπλεγμένα ἐκ τῶν φύλλων τοῦ δένδρου σκεύη, φορμοί (*κοΐκινοι*)
κοικύλλειν (Ar. Thesm. 852)· περιβλέπειν· κοῖλα γὰρ τὰ ἐπάνω τῶν ὀφθαλμῶν. οἱ δὲ τὸ περιστρέφεσθαι καὶ διατρίβειν περιβλεπόμενον. ἄλλοι φθονεῖν
κοιλάδες· πεδία. λιβάδες
κοιλάς· τὸ εὔδιον. καὶ βαθεῖα γῆ [35]
Κοιλία· ὀχετὸς ἐν Κυρήνῃ [ad 36]
Κοιλίς ⟨—λή?⟩· δῆμος Ἀττικῆς
κοιλίσκον· κοῖλον (ἐκκοπέα) [39]
κοῖλον τοῦ ποδὸς δεῖξαι· ἐπὶ τῶν εἰς φυγὴν τρεπομένων [41. 42]
†*κοιλοπίτυξ*· ὁπλίτης. τινὲς δὲ οἰστός
†*κοιλῶπαν*· περίζωμα
κόϊλον (Alcaeus)· κοῖλον
κοῖλος (Soph. OT. 1239. 1262)· θυρεών, οὐκ ἔχων θύρας
κοῖλυ· τὸ †καλόν [48]
κοιμάστριος ⟨—ατήριον⟩· κοιτών
κοιμηθέντι (υ 4)· κατακλιθέντι, οὐ πάντως ὑπνώσαντι [51]
κοιμίζει (Eur. Hec. 473)· κατακλίνει
κοινά· χόρτος. κοινή, δημοσία
κοινεῖον· πορνεῖον
κοινοβούλας· τοὺς συνέδρους
[ad 56] *κοινοδήμιον*· τὸ δημόσιον. ἢ τὸ δικαστήριον
κοινολογεῖται· κοινῇ διαλέγεται
κοινοκαθέτας· συνθηκοφύλακας
κοινόν· βδελυκτόν, ἀκάθαρτον
κοινός· δεσπότης ⟨rex Persarum⟩. καὶ μέρος τι τῆς νεώς ⟨3025⟩. †δῆμος. ἀδελφός. Σοφοκλῆς Ἀντιγόνῃ ⟨v. 1⟩·

ὦ κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα

καὶ ἐν Ὑδροφόροις (fr. 607)·

πολύκοινον Ἀμφιτρίτην

κοινῶνας (Xen. KII VII 5, 35)· κοινωνούς
κοινῶσαι (Thuc. II 73)· προσανενεγκεῖν
κοινὸς Ἑρμῆς· παροιμία ἐπὶ τῶν κοινῇ τι εὑρισκόντων (Theophr. Char. 26)
κοῖον· ἐνέχυρον ⟨v. κοῦα κῷα κώϊα⟩
κοιόλης· ὁ ἱερεύς ⟨3230⟩ [66]

COD. 7 ὑπνία 9 κόδρ., — Ἀθηναῖο. 12 κοθεῖ; cf. post κοῶν 13 ἀπὸ Cl. κύπελλα et κοτίλλιν 22 κοιγά 24 κοιάς 25 σύνηθες 28 κοίζειν — μητικῶς 31 κοῖκες 32 κῦλα 37 ἀττικός 38 κοίλισκον 44 κοιλοριζῶν παναξ Theognost. 21, 27 45 κοῖλον, κοῖλον 48 cf. κολοιτέα 53 κοινάχορτος 54 κοινίον, πορνίον 60 ὡς — ὑδροφό..οις πολύκωνον

HES. 8 κοδράντης (Matth. V 26)· τὸ πᾶν, ἢ λεπτὰ δύο· τὸ λεπτὸν ἑξακισχιλιοστὸν ταλάντου 19 κωθωνίσαι· μεθύσαι. Κώθων γὰρ τὸ μέγα ποτηρίον ⟨4791⟩ 20 κώθων· περιφερὲς καὶ μέγα ποτήριον ⟨4790⟩ 29 κοίημα· γέννημα ⟨κύημα⟩ 35 κοίλησι (Δ 26)· βαθείαις Ad 36 καὶ τὸ ἐκ ξύλων οἴκημα ⟨καλιά?⟩ 39 κοιλώμασι· ταπεινώμασιν 41 κοῖλον λόχον (δ 277)· τὸν δούριον ἵππον 42 κοιλότερα (Levit. XIII 30)· βαθύτερα 48 κοιλώτεα (Theophr. III 17)· δένδρον τι ⟨506. 3362⟩ 51 κοιμηθῆναι (η 343)· κατακλιθῆναι. ὑπνῶσαι Ad 56 κοινομήδιον καὶ 66 κοιοφόρος· ἔγκυος, ἐγκαστωμένη

†κοιπποίβα· πᾶν σπέρμα. Ἀχαιοί

κοιρανέων (Β 207 Δ 250)· κοιράνους καθιστάς. ἢ τὰ τοῦ κοιράνου ἔργα ἐπιτελῶν, κελεύων βασιλικῶς ἢ βασιλεύων

κοίρανος (Β 204)· ὁ ἐπικρατῶν, καὶ ἡγεμονεύων, βασιλεύς

†κοίσκαι· δίκαιοι

†κοισσοί· κορμοί [72]

κοιτάσαι· κατακοιμῆσαι

κοίτη· κίστη, ἐν ᾗ τὰ βρώματα ἔφερον. αἱ δὲ μικραὶ κοιτίδες

κοιτίς· ἡ μικροτέρα κίστη, ἐν ᾗ (ὁ) γυναικεῖος κόσμος ἀπετίθετο

κοῖτον ἰαύει (Eur. Rhes. 740)· εἰς τὴν κοίτην ἐγκοιμᾶται

κοῖτος (η 138 υ 138?)· ὁ ἐν τῇ κοίτῃ ὕπνος. καὶ θηλυκῶς ἡ κοίτη

κοιτών (Ar. fr. IX p. 947)· τὸ δωμάτιον

†κοιφόν· κοῖλον

κοιώσατο· ἀφιερώσατο, καθιερώσατο ⟨2026⟩

κόκκαλος (Hippocr. II p. 82 K)· ῥόμβος. στρόβιλος πεύκης

κοκκίδα· αἴγειρον ⟨col. 861, 19⟩

κοκκόαξ· κορώνη

!κοκκοῦσα· συκῆ

†κοκκοβάρη· γλαῦξ

κοκκοθραύστης· ὄρνις ποιός

κοκκόνοι (κόκκοι?)· οἱ πυρῆνες τῶν ἐλαιῶν

κόκκος· ἐξ οὗ τὸ φοινικοῦν βάπτεται (Call. L. M. 28). καὶ αὐτὸ τὸ χρῶμα. καὶ τὸ γυναικεῖον μόριον. καὶ ὁ τοῦ σίτου κόκκος

κόκκ.· τὴν τοῦ σίτου κεγχραμίδα

†κοκκοχλύζειν· συλλαβίζειν

!κοκκοποιόν· κοκκοβαφές

κόκκυ (Ar. Ran. 1384)· τὸ ἐλάχιστον. (καὶ ἐπιβόημα οἰονόμου)

Κοκκυβίας· ὄνομα κύριον

κόκκυγες (γ' Ar. Ach. 598)· ἐπὶ ὑπονοηθέντων πλειόνων εἶναι, καὶ ὀλίγων ὄντων

κοκκυγίαν· ἄνεμον, οἱ Κροτωνιᾶται

κοκκύζει· ταράσσει. φωνεῖ ὀξέως

κοκκύμηλα· ὁ καρπός .....

κόκκυξ· τὸ ζῶον (Arist. HA. IV 9, 3). ἡ τὸ ὄρνεον. καὶ ἡ βοτάνη. καὶ ὁ πρόβολος. καὶ τοῦ ἱεροῦ ὀστέου τὸ πρὸς τοῖς ἰσχίοις. καὶ λόφος, καὶ περικεφαλαία

κόκκυς· λόφος

κόκκωνες (Solo)· οἱ κόκκοι τῆς ῥοιᾶς. καὶ ὅθεν ἰξός

κοκρύνδακοι· κυλλοί

†κοκρύδων· λῃστῶν. κλεπτῶν

κοχύαι· οἱ πάπποι καὶ οἱ πρόγονοι

(κοχυάων· πάππων) cf. 3826

κολᾶ· [ad 3304] εἶδος ὀρχήσεως, ὃ καὶ ξιφισμός

κολαβρίζειν· σκιρτᾶν (Poll. IV 100)

κολαβρευομένη· κώλοις ἀλλομένη

κολαβρόν· τὸ χοιρίδιον

(Κολαινίς [Ar. Avv. 872]· Ἄρτεμις. ἀπὸ Κολαίνου τοὔνομα λαβοῦσα)

†κολάζειν· [ad 8] ὀγκᾶσθαι

Κολακοφωροκλείδης· Ἱεροκλείδης, ὃν ἐπὶ πονηρίᾳ κωμῳδοῦσιν, Ἕρμιππος μὲν ἐν Κέρκωψι (p. 394), Φρύνιχος δὲ ἐν Κωμασταῖς (fr. IV p. 587). ὁ δὲ Ἀσκληπιάδης Κ(λ)εώνυμον εἶναι ὑπέλαβεν, οὐδὲ τὸ τέλειον τοῦ ὀνόματος ἐπιστήσας

†κολάττη· κόλακα ⟨cf. 3588⟩

Κολακώνυμος (Ar. Vesp. 590)· Κλεώνυμος λέγεται Κολακώνυμος· κόλαξ γάρ

κολάπτει· κλώθει πρὸς τῷ γόνατι, ἢ γλύφει

κόλασις· τιμωρία

κολασσία· ἀνδριάντος σκιά. καὶ τὸ εἰς ὕψος ἀνάστημα

κολαφιζόμενος· ῥαπιζόμενος

Κόλαφος· κόνδυλος. παρὰ δὲ Ἐπιχάρμῳ ἐν Ἀγρωστίνῳ καὶ παιδοτρίβου ὄνομα

κολέα· ποιά τις ὄρχησις

κολεάζοντες· ὠθοῦντες εἰς κολεόν, περαίνοντες [19]

κολεασμός· τὸ περαίνεσθαι. πεποίηται δὲ ἀπὸ τοῦ κόλου καὶ ἀπὸ τοῦ καθιέναι εἰς τὸ κόλον· τοῦτο δὲ κολεάζειν ἔλεγον

κολέαρχος· κακόσχολον ὄνομα (com. an. CXL)

κολεῖν· ἐλθεῖν

κολεκάνοι· τοῦτο ἐπὶ μήκους σὺν λεπτότητι ἐτάσσετο. Στρά(τ)τις δὲ ἐν τῷ φορ-

COD. 67 κοιπποιβαπᾶν, 68 καθιότας 75 ἀπετέθετο 76 κοίτιν 81 κόγκαλος — πεύκη 85 Forte κοκκοβαφῆ ⟨3291⟩ ..... κοκκοβόα· γλαῦξ 87 πυρίνες Post 89 καὶ ... οἰονόμου 95 |ία. ἀνέμων ἢ κροτονιᾶται 97 |μειλα 98 τοῦ ὑγροῦ 3303 κοχχύαι (cf. γυγαί, κουκᾶ, κυκοίας) 6 κόλοις 7 κοιλίδιον 7b κολεμίς, ἄρτιμις — κωλένου infra post 3327 9 —φορο—; cf. κορακοφοροκλείδης 16 ἀγροστίνῳ — |τρίβαις 17 κόλεα ⟨3304. 3330⟩ 18 |τες κολύοντες· περαίνοντες ⟨3318⟩ 23 στρατὶς ⟨3365⟩

HES. 72 κοῖται· γυναικῶν ἐπιθυμίαι ⟨2784. 2802⟩ Ad 3304 ὀστᾶ. μέλη. ἢ ὅπλα (ὁπλαὶ ad κῶλα). καὶ Ad 8 περαίνειν (κολεάζειν cf. col. 533, 18) 19 κολεάμος· ματαιόφρων ⟨3168⟩

τικῷ δραματίῳ (fr. VII p. 789) †τοὺς τί (ποῦ 'στίν;) οὐκ ἄξει τις ἔξω τὴν ἀποῦσαν μητέρα τῶν διδύμων κυλέκαν λέγων
κολεός· ἡ θήκη τοῦ ξίφους. καὶ λάρναξ. καὶ ὑδρία (v. κόψα)
κόλερα (Arist. HA. VIII 12, 3)· νόθα, νωθρά. ἔνιοι δὲ πρόβατα τραχέα (βραδέα?) [26. 27]
κολετρῶσι (Ar. Nubb. 552)· καταπατοῦσιν. ἀπὸ τῶν τὰς ἐλαίας πατούντων, ὃ δὴ λέγουσι κολετρᾶν. ἔνιοι δέ· ἐνάλλονται εἰς τὸ κόλον· ὃ δηλοῖ εἰς τὴν γαστέρα
κοληβάζει· ἐσθίει. καταπίνει (3355)
κολία· ὀρχήσεως εἶδος (κολέα Crelice). καὶ †ἐπικήδεια. καὶ μέτρον τι τὸ καὶ ἡμικόλιον (q. v.). καὶ τὰ ἐκ μέλιτος τρωγάλια (cf Aristoph. p. 1123) (3347)
†κολιᾶν· ἐρίζειν. ἀγνωμονεῖν
κολιάσαι (Cretes)· ὀρχήσασθαι [33. 34]
κόλλαπες· οἱ κόλλαβοι, περὶ οὓς αἱ χορδαί· τὸ γὰρ νωτιαῖον, τὸ τραχηλιαῖον τοῦ βοός, κόλλοψ, διὰ τὸ εἰς κόλλαν εὐθετεῖν. καὶ τοὺς σκληροὺς δὲ καὶ παρηβηκότας παῖδας ἐντεῦθεν κόλλοπάς (Diphil. fr. II 22 p. 395) φασιν [36]
κολλητὰς σανίδας (I 574)· τὰς θύρας, τὰ θυρώματα
Κολλίδαι· γένος Ἰθαγενῶν [39]
κόλλικας (Nicoph. fr. II p. 852)· εἶδός τι ἄρτου
†κολλικοονόμον· τὸν κόρδακα κόλλικα λέγουσι καὶ κορδακίσματα
κόλλοπι (φ 407. Ar. fr. LXXII p. 1193)· κολλάβῳ
κολλοπίζειν· †καθέλκειν
κολλοπῶσαι· κατακολλῆσαι
κόλλου(ρα Lacon.)· ἄρτος
κόλλοψ· τοῦ νώτου ἡ φορίνη, καὶ τῆς λοφιᾶς τὸ ἄκρον
κόλλυβα (sch. Ar. Plut. 768)· τρωγάλια (3330)
κολλυβιστής· τραπεζίτης· κόλλυβος γὰρ εἶδος νομίσματος (Callim. fr. LXXXV), καὶ ὁ ἐν τῷ χαλκῷ κεχαραγμένος βοῦς
κολλύρα· Θεόφραστος ἐπὶ τῶν ἐκ τέφρας πεπλασμένων, ἢ †ἐνέλκουσα
κολλυρίων (Arist. HA. IX 19, 2)· ὄρνις ποιός
(Κολλυτός· ὄνομα δήμου) cf. 3404 [51]
κολοβάφινα (Maced.)· τὰ κολοβαφῆ (pro χολ—)
κολοβοῖ· ἐπικόπτει
κολοβός· [ad 54] σμικρός. ὀλιγοστός. ἢ ἐστερημένος. καὶ νόμος τις κιθαρῳδικός [55]
κολοίδιον· παραξιφίδιον
κολοίδορον (cf. II 117)· ξύλον μάχας ποιούντων ἐπεσφαιρωμένον (cf. μολουρίς)
κολοιή· φωνή
κολοιοί (Ar. HA. IX 19, 3)· σκῶπες, μικραὶ κορῶναι
κολοιός· ὃ οὐ τάχα ὁρᾶται ἐν Ἀλεξανδρείᾳ
κολοίπρημα· ἄπρηστον κάθαρμα
κολοϊτέα· δένδρον τι (506. 3248. 3418)
κολοιτύποι· κακοί
Κολοίφρυξ· Ταναγραῖος ἀλεκτρυών. καὶ ὄρος Βοιωτίας [65]
κολοκτρύων (f. l. Ar. Ran. 935)· ἀπὸ τοῦ †κολονοῦ, ἀλεκτρυόνος μεγάλου γέγονεν (Theognost. 29, 17)
?κολοιστι.· ξηρόν
κολόκυμα (Ar. Eqq. 700)· τὸ τυφλὸν κῦμα. οἱ δὲ τὸν σκώληκα καλούμενον, τὸ μακρὸν κῦμα
κολοκῶνας· τὰς βαλβῖδάς τινες
κόλον (Theocr. VIII 51)· κολουστόν, μέγαν τράγον κέρατα οὐκ ἔχοντα. καὶ ἡ τῶν κεράτων ἔκφυσις αὐτὸ μόνον ἔχον τὸ ζῶον, καὶ μηδέποτε εἰς τὸ τέλειον κερασφοροῦν. ταύτας δὲ καὶ στολόκρους (v. λοχός) ἔλεγον. δηλοῖ δὲ καὶ τὸ ἔντερον· καὶ τὸ κολοβόν. παρὰ δὲ Ὁμήρῳ (II 117) τὸ κολοβόν, τὸ κεκολοβωμένον

COD. 28 κολέτραν 29 col. 533, 18 30 τι καὶ τὸ ηβη 31 cf. κοσμᾶν (κολοιᾶν?) 35 κόλλαπες· οἱ κολλάβοι — νωτιαῖον τὸ κόλλοψ — παρ.κηκότας (pr. m.) 38 cf. Κοτείδη (Κολιάδαι Plut. Mor. 294 C) 45 κόλλου 46 κόλλωψ 50 cf. κορυλλίων 51 καρίον 57 ἐπεισφερόμενον 58 κολοίη 59 σκοπὶς — κορωνίαι (κορακίαι?) 60 ταχὺ 61 ἄπληστον 63 κολοὶ τύποι 64 ταναγραίως 68 μικρὸν 70 κολὺς τὸν — μόνον ἔχων

HES. 26 κολεάσα· ἀναθήματα (3374) 27 Κολεμίς (Ar. Avv. 872)· Ἄρτεμις ἀπὸ Κωλείνου τοὔνομα λαβοῦσα 33 κόλλεα· περιτμήματα δερμάτων, ἀφ' ὧν ἕψεται ἡ κόλλα τοῦ βοός 34 κόλλα· τοῦ βοὸς τὸ νωτιαῖον δέρμα, ἐξ οὗ τὸ κολλᾶν 36 κολλήεντα (O 389)· καλῶς κεκολλημένα, ἢ τὰ ἐκ συμβλημάτων ἡρμοσμένα 39 †κόλιξ· τὸ γαρδούμενον (γαρδούμιον Cyrill.) 51 κολλύχνιον· καρύου λέπισμα (v. κολύ—) Ad 54 κονδός (recens) 55 κολοιβάζειν· ἀτάκτως ἐσθίειν 65 κολοκάνοι· εὐμύθεις καὶ λεπτοί (3323)

κόλος· κολοβός. ἢ μάχη ἄκερος. [ad 71] νοσώδης. πηρός. [ad 71]
κολοσσοί· ἀγάλματα ὑπερμεγέθη. ἀνδριάντες [73]
κολοσσία· ἀνδριάντος σκιά. καὶ τὸ εἰς ὕψος ἀνάστημα ⟨3326⟩
κολοσυρτεῖ· θορυβεῖ, ταράσσει
κολοσυρτός· θόρυβος (cf. Μ 147). συρφετός. κονιορτός. ὄχλος. ἀναφορά
κολουᾶν (Cyprii)· θορυβεῖν
κολούει· κατασεῖ. σάττει. κωλύει (Eur. fr. 93). ἐμποδίζει. κολοβοῖ (θ 211)
κολούεται· ἐλαττοῦται
κολουραίῃ (Callim. fr. LXVI)· κολοβῇ. † νεωτάτῃ
κολουρίᾳ· τῇ ἀποτομίᾳ
κολουρῖτις· γῆ. Σικελοί
κόλουρον· κολοβόν. μάστιγα
!κόλου ⟨κοῦλον = σκύλον?⟩· κώδιον. Λάκωνες
!κολουμβᾶ (Pamphylii)· θορυβεῖ
κόλους (cf. ρ 222)· ψωμούς
κολοῦσθαι· κολοβοῦσθαι
κολούσματα· κλάσματα
κολούων (Eur. fr. 374. 528)· μειῶν, ἐλαττῶν
Κολοφών· ὁ † κολιός. καὶ ἰχθῦς θαλάσσιος· ἢ τὸ μέγα καὶ ὑψηλὸν ἀκρωτήριον. καὶ ἐπὶ παθῶν, ἤτοι συμφορῶν, λαμβάνεται. ἢ τὸ ὄνομα πόλεως. κεφάλαιον, καὶ τὸ τέλος, ἤγουν τὸ πέρας τοῦ πράγματος
κολοφώνια· ὑποδήματα κοῖλα. καὶ μεταλ(λ)ικόν τι
κολόχειρ· χείραργος
κόλπον ἀνιεμένη (Χ 80)· τὸ κατὰ τὸ στῆθος μέρος ἀνέλκουσα, ἵνα τὸν μαστὸν δείξῃ
κόλπος· κοῖλος τόπος παραθαλάσσιος
† κόλσασθαι· ἱκετεῦσαι

κόλυβος (Aeol. καλύβη)· ἔπαυλις
† κολυκρίζοντες· ἐκτελοῦντες ⟨3403. 3733⟩
κολυμβητάς· τοὺς ἐκ τῶν φρεάτων ἀναπέμποντας τοὺς κάδους
κολυμβίς (Ar. HA. I 1, 6 VIII 5, 8)· ὄρνις ποιός
κόλυμβοι (Ar. Ach. 876)· αἱ κολυμβάδες, τὰ ὄρνεα. ἢ ζωΰφια ἐν κολυμβήθραις [3401]
κολύμφατος [ad 2]
† κολυρίζοντες· ἐκκενοῦντες ⟨3397⟩ [4]
κολύφανον ⟨κελ—⟩· φλοιός. λεπύριον
κολυφρόν· ἐλαφρόν
(κολύχνιον· καρύου λέπισμα) cf. 3351
κολῶ (Attici)· κολάσω [8]
κολωμένους (Ar. Vespp. 243)· κολάσοντας [10]
κολωνία ⟨ώνα⟩· τάφος. Ἠλεῖοι
κολώνη (Λ 756)· τόπος ὑψηλός, καὶ ἐπανάστημα γῆς βουνοειδές. ἢ πόλις μεγάλη
κολωνός· τόπος ὕψος ἔχων
κολωνοῦ· τόπος ἐν τῷ ἄστει
[ad 15] κολῳός· θόρυβος, ἀταξία, ταραχή. ἢ μεταφορὰ ἀπὸ τοῦ ζώου
† κόλωψ· ἀμφιάτωρ [17. 18]
κομᾷ (Ar. Plut. 170)· γαυριᾷ, μεγαλοφρονεῖ. ἢ χλοηφορεῖ. ἢ ἀγάλλεται [20]
† κομαίθα· ἡ τυχοῦσα γυνή [22]
κομάκτωρ· ἡ λέξις παρὰ Ῥίνθωνι ἐν Μηδείᾳ [24]
κόμαρος (Amphid. fr. VI p. 318)· φυτόν τι, ὅπερ φέρει καρπὸν μιμαίκυλον
κομάς· θεραπείας. καὶ τὰ συοφόρβια
κόμβα· κορώνη. Πολυρρήνιοι
κομβακεύεται· κόμπους λέγει [29]
Κόμβη· Κουρήτων μήτηρ ⟨cf. Σωχός⟩
κόμβησαν· ποιὸν ἦχον ἀπετέλεσαν
κομβολύτης· βαλαντιοτόμος [33]
† κομβίζων· φυσῶν

COD. 77 $\overset{\text{ειν}}{\text{θορειβᾶν}}$ 78 κολύει (κατάσσει?) 80 κολουρέη, κολοβῇ ⟨μειωτῇ⟩ 82 κολουρίτης 86 κωλούς 89 μ.ῶν, ἐλαττόνων 3402 Cf. Geopon. II 4, 1 8 κολώσαντας 10 κολωνὰς 11 cf. Soph. El. 894 14. 15 = 15. 14 14 κολώπου 21 cf. Meinek. Theocr. p. 226 23 $\overset{\text{δ}}{\text{μη}}$ ⟨κωμάκτωρ?⟩ ⟨24 (γυναι)κομανίαν — μανίαν? an κοιλιομανίαν ex Nicet. David p. 150, 17 Dr.⟩ 27 πολυρίνιοι

HES. Ad 71 [θόρυβος ⟨κολῳός⟩] — κολοβός 73 κολόσταθμος (Hagg. proph. I 4)· ἔπαυλις, καταβατὸν (l. καμαρωτὸν) ἔχουσα τὸν πυλῶνα ⟨4490⟩ 3401 κολύρας (sch. Exod. XXIX 2)· ἀρτίδια μικρά, καθαρά Ad 2 [φλοιός. λεπίδιον] 4 Κολυττός· ὄνομα δήμου ⟨Κολλυτός⟩ 8 Κολῶναι· αἱ πόλεις Τροίας 10 Κολωνός· παροιμία· ὄψ' ἦλθες, ἀλλ' εἰς τὸν Κολωνὸν ἵεσο (cf. Pherecr. p. 321) ἐλέγετο δὲ ἐπὶ τῶν μισθαρνούντων Ad 15 κολῳὸν καὶ κολῴϊον ἢ (Α 575) 17 κολωφών· πέρας, ἔσχατον τέλος ⟨κολοφών⟩ 18 κολοτέα· δένδρον τι ⟨3362⟩ 20 κόμαι (Ρ 51)· τρίχες 22 κομαίονται· κοιμηθήσονται 24 † κομανίαν· πορνί., δαψιλὴν ἀνίαν 29 κόμβαλα· πήγματα τινά ⟨v. κόβαλα⟩ 33 κόμβομα· στόλισμα. σκήρωμα

κόμβος· κόσυμβος. τὸ ἔκπωμα (Cyprii pro κύμβος)
κόμβους· ὀδόντας γομφίους
κομβώματα· τὰ ἐν ταῖς ῥάβδοις μικρὸν χρυσὸν ἔχοντα ὑπὸ μεταλλέων ⟨3703⟩
κομβώσασθαι· στολίσασθαι
κομέειν (ζ 207)· ἐπιμελείας ἀξιοῦν
κομέειν· κομεῖν. ἐπιμελεῖσθαι, θεραπεύειν. ὅθεν καὶ κόμη καὶ *ἱπποκόμος* [41—45]
κομῆτα· αὐχητά
(*Κόμητα* [Callim.?] ἕνα τῶν ζ´) cf. 3459
κομήτης (Phoenix Col.)· εὔθριξ, καλὰς τρίχας ἔχων. ἢ ἀστήρ [48. 49]
κομιδη· ἄγαν, πάνυ, σφόδρα, παντελῶς: ἢ συλλογή. ἢ λῆψις. ἢ ἐπιμέλεια [51]
κομίζεται· νομίζεται. λέγεται. ὅπερ ἐστὶν † ἢ Τυμπανιστρίαις (Nauck. Trag. p. 215)
κομίζων· βαστάζων, ἐπιφέρων
κόμισαι· φέρε: σῶσαι ⟨ad *κομίσαι*⟩. θρέψαι. ἀναλαβεῖν ⟨3445⟩. ἀναγαγεῖν (Call. Iov. 33). ἐπιμελείας ἀξιῶσαι
κομιστάς (cf. Eur. Suppl. 25)· ἐπιμελητάς
κομίστρια· ἐπιμελήτρια. τροφός [ad 56]
κομιούμενος· ὠνησόμενος [58. 59]
κόμμα καινόν (Ar. Ran. 890)· οὐ μόνον ἐπὶ τοῦ νομίσματος, ἀλλ' ἤδη καὶ ἐπὶ τῶν καινῶν πολιτῶν
κομμάραι ἢ κομάραι· καρίδες. Μακεδόνες
κομμαρεύων· θηρεύων: μοχθῶν ⟨566⟩
κόμμοι ⟨3436⟩· ὀδόντες γόμφιοι, ἢ *κόμποι* ⟨3477⟩. ἢ κοπετοί ⟨κομμοί⟩
(*κομμός*)· κρότος, κόσμος
κόμμου· ὡραΐζε τὸ σῶμα
†*κομμῶ·* πλεκτάναι
κομμωθεῖσα· κοσμηθεῖσα [68]
κόμμωσις· ὁ τοῦ σώματος ὡραϊσμός. καὶ ὑπὸ τῶν μελισσουργῶν, ἡ τοῦ σμήνους διάκρισις (Arist. HA. IX 27 [40], 3)
κομμῶσαι· κοσμῆσαι
κομμώτρια· ἡ κοσμοῦσα τὰς τρίχας καὶ ψιλοῦσα κουρίς ⟨4877⟩
κομπάζει· καυχᾶται
κόμπαλος· παλαιστροφύλαξ [74]
κομπεῖ· μεγαλορ(ρ)ημονεῖ. ψοφεῖ
κόμποι· ὀδόντες γόμφιοι ⟨3436. 3463⟩
κομποῖς· ὑπερηφάνοις
κομπολακήσει (cf. Ar. Ran. 961)· προσαλαζονεύσει [79]
κομπῶδες (Thuc. V 68)· ἀλαζονικόν
κομψά (Eurip.)· τὰ στρογγύλα
κομψεία· ποικίλη λαλιά, καὶ πανουργία [ad 82]
κομψεύεται· κολακεύει. σεμνύνεται. πιθανοποιεῖ
κομψόν· ἔντιμον. σπουδαῖον. γελοιαστήν. τωθαστήν. πανοῦργον. λάλον. στωμύλον. σκωπτικόν. ἐπίχαρι (onomast.?)
κομψότερον (Ar. Av. 195)· βελτιώτερον. ἐλαφρότερον
κομψούς (Plat. Civ. III p. 405 D)· [ad 86] σπουδαίους. ἐντίμους. καλούς [87]
κομῶσα· γέμουσα (cf. Pherecr. fr. LXVII)
κοναβῆσαι· ἠχῆσαι, ψοφῆσαι
(*κοναβίζει·* ἦχον ἐπιτελεῖ) cf. 3527
κόναβος (κ 122)· ἦχος, ψόφος. κρότος
κοναί· φόνοι
†*κονάριχον·* γλαφυρόν
κοναρόν· εὐτραφῆ, πίονα. δραστήριον
κοναρώτερον· δραστικώτερον [95]
κόνδοι· κεραῖαι. ἀστράγαλοι
κόνδυ (Hipparch. com. IV p. 431)· ποτήριον βαρβαρικόν, *κυμβίον* [98]
κονδυλίζει· κολαφίζει
κόνδυλος· ἕτερόν τι τοῦ κολάφου
κονδυλούμεναι· ἀνοιδοῦσαι· καθάπερ ἐπὶ τῶν βρασσομένων ὑπὸ τοῦ πυρὸς ὑδάτων

COD. 36 ἄδοντας cf. col. 356, 40. 3463. 3477 et μύλακροι 37 χρόνον — πεταλαίων 39 *κομεῖν* 40 *κόμεεν* 46 *κομητά* 50 συναγωγή schol. Plat. p. 359 λῆμψις 54 *κομίσαι* 59 *Κόμητα?* 60 *κένθω — νομιστάς* 61 Col. 805, 17 65 ὡραΐζειν 71 κουρίσσα. EM. 528, 4 κούρισσα Ante 74 *κομπαλικεύσει*, cf. 3178 77 *κόμποις* 80 |ωτικόν 82 κρέη 91 κόναι 93 *κοραρόν* (cf. σοναρόν) 3501 ἀνοιδήσουσαι

HES. 41 *κομενταρίσιος* ⟨commentariensis⟩· τὰς ἐγγραφὰς τῶν ἐγκλημάτων δεχόμενος 42 *κόμαι* (P 51)· αἱ τρίχες τῆς κεφαλῆς. καὶ χωρίον ⟨κῶμαι⟩ 43 *κομιδῇ* (ω 248)· ἡ ἐπιμέλεια, θεραπεία 44 *κόμης* (comes)· ἄρχων, ἡγεμών 45 *κομβῆσαι·* ἀναλαβεῖν ⟨κομίσαι⟩ 48 *κομία·* εὐωχία ⟨κωμασία⟩ 49 *κομίατον* ⟨commeatum⟩· ἐξαίτησιν λαμβάνειν τὸ(ῦ) ἀφεθῆναι 51 *κόμιζε* (Z 490)· ἐπιμελείας ἄξιον Ad 56 ἐμπλέκτρια ⟨ad κομμώτρια⟩ 58 *κομιστή·* τροφή ⟨3775⟩ 59 *Κόμιτα* (Callim.)· ἕνα τῶν ζ 68 *κομμωρία·* ἡ πλέκτρα ⟨Moer. p. 237⟩ 74 *κομίζειν·* καὶ καταλαζονεύειν 79 *κόμπος·* ψόφος (M 149), κτύπος, ἦχος *ὀδόντων* Ad 82 ἢ οἱ σκόλυμοι. ἔνιοι τὰ τῶν κοσύφων κρέα ⟨κοψίχεια⟩. οἱ δὲ γένος λαχάνων, ὅπερ τινὲς *ἱπποσέλινον* καὶ *σμυρνίον* ⟨κόψειον⟩ Ad 86 βελτίστους. πανούργους ⟨Moer.⟩ 87 *κομωδοῦντες·* θριαμβεύοντες. πομπεύοντες 95 *κονάσσασιν* (Ξ 145)· κονιορτὸν ἐγείρουσα ⟨3629⟩ 98 *κονδούκτωρ·* μισθωτός

χόνει· σπεῦδε, τρέχε

χονεῖν· ἐπείγεσθαι. [ad 3503] ἐνεργεῖν

Κονεΐδη (Boeot.)· γένος ἰθαγενῶν

Κονείδης· Θησέως παιδαγωγός [ad 5] [6]

χονηταί· θεράποντες

χονθηλαί· αἱ ἀνοιδήσεις ⟨χανθύλαι⟩

χονία· σμῆμα. σποδός

χονίαν· μαζονόμον

χονίασις· ἀσβέστωσις

χονιαταί· ἀσβεστήριοι, καὶ οἱ χρῖ(σ)ται

χονίζεσθαι· κυλίεσθαι. φθείρεσθαι. κονιορτοῦσθαι

χονίη· κόνις (Ψ 365 Β 150), ἄμμος. μάχη. ἀκαθαρσία. ἀγών. καὶ σποδός

χόνιν αἰθαλόεσσαν (Σ 23)· τέφραν [ad 15]

χονίοντες (Hom.?)· ἀνύοντες: λευκαίνοντες ⟨ad κονιῶντες⟩

χονίποδες· ὑποδήματα μοιχικά (Ar. Eccl. 848). κονιορτόποδες. ἀγροῖκοι. ἐργάται

χόνις· κονιορτός καὶ τὰ ὅμοια

χονῖσαι· ἀνύσαι

χονισάλεος· κεκονιορτωμένος

Κονίσαλοι (Plato Com. II p. 674)· †ἀφροδίσια

χονίσαλος· κονιορτός. σκίρτησις σατυρικὴ ἢ τῶν ἐντεταμένων τὰ αἰδοῖα

χονίσασθαι· ἀγωνίσασθαι [24]

χόννα (Aeoles?)· σποδός [26]

†χονναβίζει· [ad 27] δεσμεύει ⟨κομβίζει?⟩

χόνναρον (Agathocles)· καρπὸς δένδρου ὅμοιος παλιούρῳ

Κοννᾶς (Cratin. fr. CXLIII)· αὐλητὴς πενίαν ἔχων καίπερ ὢν ἄριστος

χοννεῖν (Aesch. Suppl. 119)· συνιέναι, ἐπίστασθαι. (αἰσθάνεσθαι)

χόννος· ὁ πώγων, ἡ ὑπήνη. ἡ χάρις

χοννοῦσι· γινώσκουσιν

χοννοφόρων· †σκολλυνφόρων

Κόννου ψῆφον (Ar. Vesp. 675)· παροιμία ἐπὶ τῶν μηδενὸς ἀξίων [35—38]

χοντίλος (Eupol. p. 562)· εἶδος ὀρνέου, ἢ ὄρτυξ: ἔστι δὲ καὶ ὄφις ⟨ἀκοντίλος⟩ [40—42]

χοντῷ πλεῖν· προσηκόντως ζῆν

κόνυζα· βοτάνη ἄφυλλος. τινὲς δὲ φυτόν τι εὔφυλλον ἱκανῶς. διὸ καὶ στιβάδας ἐξ αὐτοῦ ἐποίουν. ἔστι δὲ ὅτε ἐν ταῖς στέγαις ἐπέβαλ(λ)ον [ad 44] ἀντὶ σωλήνων. καὶ ἐπὶ ⟨ἔτι⟩ τὰ σαρώματα [45]

κόοι· τὰ χάσματα τῆς γῆς, καὶ τὰ κοιλώματα ⟨v. κοῖ⟩

κοπάδες (Theophr. I 3, 3)· τὰ ἐπικεκομμένα δένδρα

κόπανον· ξύλον. ὄργανον πληκτικόν

κόπασον (cf. Hippocr. III p. 634)· ἡσύχασον ⟨3554⟩

κόπελλα· αἰδοῖα, καὶ τὰ ὀστώδη τοῦ σώματος

κοπετός (Eupol. fr. XIII p. 492)· κομμός. θρῆνος μετὰ ψόφου χειρῶν

κόπηθρον· φυτὸν λαχανῶδες ἄγριον [53]

κοπίαι· ἡσυχίαι ⟨3549⟩

κόπιες· κέντρα ὀρνίθεια

κοπίζειν· ψεύδεσθαι [57]

κοπίς· μερίς, δεῖπνον, μάζα, ἄρτος, κρέα, λάχανον ὠμόν, ζωμός, σῦκον, τράγημα, θερμός (Molpis Ath. IV 140 B)

?κοπτά· μελίπηκτα

?κομπάτιον· μονόφθαλμον

κοππατίας (Ar. Nubb. 23)· ἵππος κεχαυμένος, ἐντετυπωμένον ἔχων σημεῖον τὸ κόππα, ὅ ἐστι ἀπεστραμμένον Ρ καὶ C ⟨cf. κάππα⟩

?κόπος· κοπανισμός

COD. 4 κονείδη 7 κονῆται 9 σμῖμα 14 κόνι, ἡ ἀγὼν κ. σπ. post 15 16 λευκένοντες 22 αἰδ˙ 24 κονίσασθαι ⟨28 ὁμοίου?⟩ 29 cf. 2091. 3503, 32, 45 29. 30 = 30. 29 κοννίς, ἀλέτης 31 cf. ἄκονδος 34 κόννου, ψήφων 39 κόντιλος 41 κόντος 43 κόντῳ — πρόσ.οντωζεῖν (π supra) 44 ὠλένων — δαρώματα; cf. σκόνυζα 45 cf. 3222. 4885 Steph. Byz. 402, 8 47 κόπαδες 48 ἔρεο.πλυτικόν 50 cf. κόθημα, κοτίλλιν 51 cf. 4867 55 κέντρα, ⟨sic⟩ ὀρνίθια 59 μελίπικτα

HES. Ad 3503 [αἰσθάνεσθαι ⟨3529⟩] Ad 5 [καὶ μαῖστωρ] 6 κόνις (Ι 385)· τέφρα, σποδός Ad 15 [μάχην] 24 κονίσουσι (Ξ 145)· κονιορτοῦ πληρώσουσιν ⟨3495. 3629⟩ 26 κοννάβησαν (Β 334)· ἤχησαν Ad 27 ἦχον ἐπιτελεῖ 35 κοννοειδῆ· εἰς ὀξὺ λήγων ⟨4853⟩ 36 κοννόφροσιν· ἄφροσιν ⟨κενεο—⟩ 37 κονσιστόριον· θεῖον συνέδριον 38 κονσουλάριος· ὑπατικός 40 Κοντινοῦσα· τὰ Γάδειρα οὕτως ἐκαλεῖτο ⟨v. Κοτ—⟩ 41 κοντός (I Sam. XVII 7)· δόρυ 42 κοντουβερνάλιος· συστρατιώτης Ad 44 [ἐξ αὐτῆς] 45 κονωεῖν· συνιέναι, ἐπίστασθαι ⟨3530⟩ 53 κοπήσονται (Ierem. XLIV 5)· φονευθήσονται 57 κοπιῆς (Δ 275)· ὑψηλοῦ τόπου

(Κόπρειος [Dem. 249, 13 Ar. Eqq. 899] τῆς Κόπρου) cf. 3570
κοπρεῦσαι· φυτεῦσαι ⟨4665⟩
(κόπριον θάκων· σκύβαλον) cf. 3571
κόπρος· ἥ τε τῶν κτηνῶν ἡ εἰς τοὺς κήπους βαλλομένη·
τέμενος μέγα κοπρήσαντας (ρ 299)
καὶ ἡ στάσις τῶν βοῶν. καὶ ἡ κόνις·
κυλινδόμενος κατὰ κόπ(ρ)ον (Χ 414)
κοπροσύρα· τὰ συρόμενα κόπρια
κόπτει· πενθεῖ [67. 68]
κοπτή (Dionys. Utic.)· θαλάσσιον πράσον [70. 71]
κοπτομένου· ταλαιπωρουμένου [73]
κοραγεῖν· τὸ ἀνάγειν τὴν Κόρην
κορακεύς· εἶδος ἰχθύος
κορακίας (Ar. HA. IX 19, 3)· ὁ μέλας [καὶ] κολοιός, καὶ κορακῖνος ὁμοίως
κορακῖνοι (Ar. HA. V 9, 5)· εἶδος ὄρνιθος
Κόρακος πέτρη (ν 408)· τόπος ἐν Ἰθάκῃ κληθεὶς ἐντεῦθεν, ὅ(τι) Κόραξ παῖς ὢν Ἀρεθούσης διώ(κων λαγωὸν κατὰ κρημνοῦ ἠνέχθη καὶ ἀπέ)θανεν. οὐ φέρουσα δὲ τὴν λύπην ἡ μήτηρ αὐτοῦ ἀπήγξατο. καὶ ἀπὸ τούτου Κόρακος πέτρα ὠνομάσθη, ἀπὸ δὲ τῆς μητρὸς κρήνη τῆς Ἰθάκης Ἀρέθουσα
Κορακοφοροκλείδη(ς)· ..... ἔστι γὰρ Ἱεροκλείδης ⟨v. κολ—⟩
κοράλλιον (Theophr. Lapid. c. 67)· λίθος θαλάσσιος ἐρυθρός
Κόραννος· βασιλεὺς Μακεδονίας
κόραξ· τὸ γινωσκόμενον ζῷον, καὶ ἕτερον στεγανόπουν (Ar. HA. VIII 5, 8), καὶ ἰχθῦς ποιός (Diphilus). καὶ τῶν ἀλεκτρυόνων ἄκρα ῥύγχη
κοράξαι· ἄγαν προσλιπαρῆσαι. πεποίηται παρὰ τοὺς κόρακας
Κοραξοί (Meinek. Hippon. fr. III)· Σκυθῶν γένος. καὶ τὸ γυναικεῖον αἰδοῖον
κόραξ ὑδρεύσει· παροιμία [ad 85]
κόρας (Soph. fr. 634 Df.)· ὀφθαλμούς ⟨4768⟩
κοράσσει· ὀρχεῖται. καὶ ἄκλητος ἐλήλυθε
κοράττειν· κορακεύεσθαι [89]
κόραφος· ποιὸς ὄρνις ⟨3659⟩
†κορβᾶ· ἡ τοῦ κόρματος καὶ κορυβαντίας αἰτία (Cyprii?)
κόρδαξ (Ar. Nubb. 540)· εἶδος ὀρχήσεως
σ'
ἀσέμνως κομῳ
κορδακίζουσα· αἰσχρὰ ὀρχουμένη
κορδακισμοί· τὰ τῶν μίμων γελοῖα, καὶ παίγνια ⟨3341⟩ [95]
κορδύλη· (ἀπόστημα). κορύνη. ῥόπαλον. ἢ τὸ ἐπάνω τῆς κλειδός [ad 96]
κορδύλος (Arist. HA. I 1, 7)· ἰχθῦς ποιός [98. 99]
κορέει· πληροῖ, χορτάσει (Θ 379)
Κόρεια· [ad 3601] θυσία τῇ Κόρῃ τελουμένη
κορεῖν· κοσμεῖν, καθαίρειν
κορεῖον· περικράνειον [4]
κορέννυται· χορτάζεται
κορέσαι (Soph. Phil. 1156)· διεργάσασθαι. πληρῶσαι, χορτάσαι
[ad 7] κορέσκων· ἐξυβρίζων
κόρζα· καρδία. Πάφιοι
κόρη· νύμφη, ἣν ταῖς παρθένοις ἔπεμπον. καὶ παρθένος. καὶ ἡ ὄψις
κόρην· παρθένον. ὀφθαλμόν. καὶ παῖδα
†κορθέλαι· σύστροφοι. σωροί [12]
κορθίλας καὶ κόρθιν· τοὺς σωρούς. καὶ τὴν συστροφήν [14]
κόρθιλος· ὄρνις, ὅν τινες βασιλίσκον
κόρθις· σωρός
κόρθυας· τὰ κατ' ὀλίγον δράγματα
κορθύεται (Ι 7)· διεγείρεται, καὶ εἰς ὕψος αἴρεται, μετεωρίζεται, φρίσσει, ὑψοῦται ⟨3644⟩ [19]
κορθώ (Cret.?)· βλάβη ⟨v. κοθώ⟩
κοριάλαι· τρίγλαι, ἰχθύες

COD. 63 φοιτεῦσαι 64 κυλινδου... 65 κοπρόσυρα cf. καπρ— 67 κόπτη 74 ἀπάγειν — κόρην 77 κορακόνιοι 78 παῖς ἦν Ἀ. διὸ θάνεν 80 ἐρυθραῖος 82 τί 87 κορασσεῖ — ἄκλητα 93 |μένως 96 κασίδος 97 κόρδυλος 3601 κορεία 7 κορύσκων 8 κορζία 12 κόριμακ· ἄλυτρον ὃ τινὲς σαρὸν 15 βασιλικόν ⟨17 ὄγμον?⟩ 21 τρίγλ.αι

HES. 67 κόπτε δὲ δεσμούς (Σ 379)· τοὺς ἥλους κατεσκεύαζε καὶ ἐνήργει 68 κόπρου (Σ 575)· τῆς βουστασίας, ἣν ἔνιοι μάνδραν καλοῦσιν 70 Κόπριος (Dem. 249, 13)· τῆς Κύπρου 71 κόπτριον· θακῶν σκύβαλον 73 κόπτων (σ 28)· τύπτων, ἐλαύνων Ad 85 ἐπὶ τῶν δυσχερῶν τινων τυγχανόντων 89 κοραύλη· ἀπόστημα. κορύνη. ῥόπαλον ⟨κορδύλη⟩ 95 κορδαξίας· ὀρχήσεως ⟨3592⟩ Ad 96 ἢ πανοῦργος ⟨ad κερδαλῇ⟩ 98 κόρδυς· πανοῦργος ⟨κερδ—⟩ 99 κόραξε· πόρθει ⟨κεράϊζε⟩ Ad 3601 θεραπεύεται, καλλύνη ⟨ad κορεῖ⟩ ἢ 4 κόρεν ⟨κόρση⟩· κορυφή, ἔπαλξις †καινή Ad 7 κορέων 12 κόρημα (Eupol. fr. IX 490)· κάλλυντρον, ὅ τινες σάρον 14 κορθέλαι· συστροφαί. σωροί 19 κορθύεται (Ι 7)· αἴρεται εἰς ὕψος

κορίαννον (Com.)· *τὸ κόριον, καὶ γυναικεῖον κοσμάριον χρυσοῦν*

κορίζομαι· ὑποκορίζομαι

?*κόριν* ⟨*κόρι*⟩· *τὸ κορίανδρον, ἢ μᾶλλον κορίαμβλον*

κορικῶς· γυναι(κι)κῶς, ὡς κόραι

κορινθιάζειν (Arist. p. 1095)· *μαστροπεύειν, ἑταιρεύειν*

Κορίνθιαι· αἱ πέδαι, καὶ αἱ ἀπὸ Κορίνθου τῆς πόλεως γυναῖκες (Eur. Med. 214) [28]

Κορίνθιος ξένος· [ad 29]

κοριοειδές (Epicharm.)· *κορίῳ ἢ κόρῃ ἐοικός*

κόριον· μικρὸν κοράσιον, ἢ κορίδιον. τὸ λάχανον

κορίς· ἰχθῦς ποιός (Dorio). *ἢ πόα, ἣν ἔνιοι χαμαίπιτυν* [33]

κόριφ· νεανίσκος [35]

κορκόρας· ὄρνις. Περγαῖοι

†*κορκόδρυα· ὑδρόρυα*

κόρκορος (Ar. Vesp. 239)· *εἶδος ἰχθύος. ἢ λάχανον ἄγριον*

κορκορυγή (Aesch. Sept. 351)· *κραυγή, βοή, ταραχὴ μετὰ θορύβου*

κορκυραία μάστιξ· δοκεῖ ἐκείνη χαλεπωτάτη εἶναι, καὶ παιδευομένων μάστιξ ⟨2337⟩

κορκυρεύεται· ἀπον(ο)εῖται

κορμάζειν· τέμνειν, πρίζειν

κορμῆται (Cret. Elei)· *κοσμῆται*

κορμός· πλάτη, ἀπὸ τοῦ εἰς ὀλίγον κεκορμάσθαι· πλάτη δὲ εἶδος πλοίου. καὶ ἕδρα. καὶ κώπη (Eur. Hel. 1617). *καὶ τὸ εἰς βραχὺ συντετμημένον ξύλον*

†*κορκούτης· αἰδοῖον ἀνδρῶν*

κόρνος· κεντρομυρσίνη. Σικελοί

κορνώπιδες (Oetaei)· *κώνωπες* [48]

Κόροιβος (Call. fr. CCCVII)· [ad 49]

κοροῖτις· ἀλώπηξ

κοροκόσμια· τῶν παρθένων ...... [52]

κόρος· πλησμονή, χορτασία, τρυφή. παῖς. κά(λ)λυντρον. καὶ μέτρον τι σιτικόν. καὶ πλέγμα μυρσίνης πεποιημένον (Lysipp. com.) [54]

κόρος· πλῆθος ⟨*πάθος*? *T* 221⟩ *ἀνθρώπων. καὶ τὰ νέα βλαστήματα. καὶ μέτρον*

κόρ(ρ)η· τράχηλος, ἢ τὸ ὀπίσω τοῦ τραχήλου, ἢ κρόταφος [57—59]

κόρσαι (Empedocl. 216)· *αἱ τῶν ὀφρύων τρίχες καταφέρουσαι εἰς τοὺς ὀφθαλμούς. ἢ γνάθοι. ἢ κορυφαί. ἄλλοι δὲ κεφαλάς, ἐπάλξεις, προμαχῶνας. στεφάναι πύργων. ἢ κρόταφοι. ἢ κλίμακες* ⟨3604⟩

†*κόρσακις· τράγος παρὰ Κρατίνῳ* (fr. LXI). *Δίδυμος ἤκουεν ἀπὸ τῆς κόρσης· Κόρσαι γὰρ τῆς Κιλικίας*

κόρση· κεφαλή. ἔπαλξις. κλῖμαξ. κρόταφος (Call. Dian. 78) ⟨3604⟩

κόρσιον· ῥίζα τις. ἢ νόμισμα παρ' Αἰγυπτίοις τὸ χερσαῖον λεγόμενον

κορσίς· πυγή

κορσόν· κορμόν

κορσοῦν· κ(ε)ίρειν

κορτεῖν· κροτεῖσθαι ⟨—*ῖν καὶ* ...⟩

κορσωτήριον· κουρεῖον

κορτερά (Dor. Aeol.)· *κρατερά, ἰσχυρά*

κόρτην· Πάρθοι ἐσθῆτα καλοῦσιν, ἣν λαμβάνουσι παῖδες εἰς ἄνδρας ἀφικόμενοι

κόρτος· ὁ ἐν τοῖς κυσί. †*κροτός* ⟨*κρότος*?⟩

Κορτύνιοι· οἱ Ἀρκάδες· ἡ γὰρ Κόρτυς τῆς Ἀρκάδων

κόρυ· περικεφαλαία

κορυβαντιᾷ· ἐντελετεῖ ⟨*ἐν τελετῇ* ...?⟩

κορυβαντισμός· κάθαρσις μανίας

κορυβαντιώσης· μαινομένης, ἢ ἐπιθετικῶς δαιμονιζομένης

Κορύβας· Ῥέας ἱερεύς [78]

COD. 22 *X* (h. e. *χρυσοῦν*) 29 *ἀλλαγὰς — Βελεροφῶντι.π.χενούσης — ἐπὶ τῶ — Βελεροφόντης* 31 *ἢ κορίσιον* 36 *κόρκορα* ⟨37 *κορκορόα· ὑδρορύα*?⟩ 40 *κορκοραῖα* 42 *περιζεῖν* 46 *κέντρον μ|* 49 *οἷον οἴονται* 55 Galen. lex. 504 57 *κοράδιον* 60 *ἀχαιοὶ δὲ — προμαχόνας* 63 *κορσίπιον*; cf. *κέρσα* 70 cf. *χάρτη* 72 *τῆς ἀρκά* (δ superscr.) 75. 76 = 76. 75 |*τιούσης* 75 *καθαρισμωνίας*

HES. 28 *Κόρινθος· πόλις Ἑλλάδος* Ad 29 *ἐπὶ τῶν τὰς λαταγὰς ῥιπτούντων.* [*κορίννουσι· κονιορτὸν ἐγείρουσιν*] *ἀπὸ τῆς παρ' Εὐριπίδῃ* (fr. 667) *Σθενεβοίας τῷ Βελλεροφόντῃ ἐπιχευούσης. ὡς δὲ Ἄτταλος ἐν τῷ περὶ παροιμιῶν, ἐπὶ τῶν ...., διὰ κάλλος ὡς ὁ Βελλεροφόντης* 30 *κορίσαι· ὑψῶσαι* ⟨*κορθῦσαι*⟩ 35 *κοριωντα· γαυροῦμεν* ⟨*κορωνιῶντα*⟩ 48 *κοροήν· τὸ ἄκρον τοῦ τόξου, ἢ κρικίον* ⟨*κορώνην*⟩ Ad 49 *ἠλίθιος καὶ μωρός. Ἐπὶ γὰρ τοῦ μωραίνοντος ἔταττον τὸν Κόροιβον, ἀπὸ Κοροίβου τινὸς μωροῦ καὶ ἠλιθίου μετάγοντες, ὃν οἴονται τὸν Μυγδόνος εἶναι παῖδα τοῦ Φρυγός* 52 *κορωνίδας κακῶν· κεφάλαια κακῶν. καὶ* [*αἱ*] *εἰς ἀγαθὸν ὑπεροχάς* 54 *κορούεται· ὑψοῦται, κορυφοῦται* ⟨3618⟩ 57 *κόρριον* (Theocr. XI 60)· *μικρὸν κοράσιον* 58 *κορσεύς· κουρεύς* 59 *κοράφοις· ὑποπαργαίοις* 78 *κορυγγεῖν· κερατίζειν*

†κορύγης· κήρυξ. Δωριεῖς

Κορυδαλ(λ)ός (Arist. HA. IX 36, 5)· ἡ πτηνὸν ζῷον. καὶ δῆμος τῆς Ἀττικῆς. ἡ κορυδός (Ar. Avv. 302), παρ' ἐνίων

Κορυδεύς· ὄνομα κύριον. οὗτος ἐκωμῳδεῖτο ἐπὶ δυσμορφίᾳ, καὶ οἱ παῖδες αὐτοῦ

κόρυζα· μύξα, κατάρρους. περὶ κεφαλὴν πάθος

κορυζᾷ· ξαίνει. μωραίνει

κορυζῶν· μεμωρα(μ)μένος [85. 86]

κορυθαίολος (B 816)· μαχητής, ἀπὸ τοῦ αἰολεῖν τὴν κόρυν, ὅ ἐστιν ἐπισείειν. ἢ ποικίλην ἔχων περικεφαλαίαν. ἢ εὐκίνητος

Κορυθαλία· δάφνη ἐστεμμένη. τινὲς τὴν εἰρεσιώνην. ἄλλοι δὲ ὑπερορὶ ⟨ὑπερβόρειον?⟩ θεόν

κορυθαλίστριαι (Lacon.)· αἱ χορεύουσαι τῇ Κορυθαλίᾳ θεᾷ ⟨v. κυριττοί⟩

κόρυθα περίδρομον· τὸν περιβόλαιον στέφανον [91]

†Κορυθία· αὐλήτρια

κόρυθοι· περικεφαλαῖαι

κόρυθος· εἷς τις τῶν †τροχίλων [95]

κορύθους· περικεφαλαίας

κορύθων· ἀλεκτρυών ⟨3709⟩. †αἱ νεανίδες [98. 99]

κόρυμβα (I 241)· τὰ ὑπ' ἐνίων ἄφλαστα, τὰ ἀκροστόλια, τὰ ἄκρα τῶν πρυμνῶν. τὰ ἀπεξυσμένα πρὸς κόσμον τῶν νεῶν ἄκρα, καὶ ἐπικεκαμμένα, ἅ ἐστι (κατὰ) τὴν πρύμνην καὶ κατὰ τὴν πρῷραν

κόρυμβον· τὴν ἀκρόπολιν, ἐπειδὴ ἐφ' ὕψος ἐστί. τὴν ἐπὶ τῆς κεφαλῆς τοῦ ὄρους ὕλην (Aesch. Pers. 659 Herod. VII 218). καὶ καθόλου πάντα τὰ μετέωρα, καὶ εἰς ὕψος ἀνατείνοντα κορύμβους λέγουσιν, ὅθεν κόρυς, κύρβις, κυρβασία

κόρυμβος· ὁ καυλὸς τοῦ ἀσπαράγου

?κορυμβάσι ⟨κομβώμασι?⟩· περιδρόμοις, δι' ὧν συσπᾶται γύργαθος καὶ κεκρύφαλος, καὶ δεσμοί ⟨—οῖς⟩

κόρυμνα· κόσμος τις γυναικεῖος περιτραχήλιος

†κορύναι· μύξαι ⟨3682. 4222⟩

κορύνη (H 143)· στερ(ρ)οβαρὲς ξύλον. οἱ δὲ ῥόπαλον. οἱ δὲ κολόροβον (Apio). οἱ δὲ ξύλον ἐπικαμπές

κορύνησις (Theophr. III 5, 1)· βλάστησις [3708]

κορυνθεύς· κόφινος, κάλαθος. ἀλεκτρυών ⟨3697⟩

κόρυνθος· μάζης ψωμός

κορυνῶδες· ὀζῶδες

κόρυξ· νεανίσκος ⟨v. κόριψ⟩

(κορύπτει· τῇ κεφαλῇ πλήττει) cf. 3724

κορυπτόλην· τὸν κερατιστήν ⟨4685⟩

κορυπτόλης· κερατιστής

κόρυρ (Lacones)· θριγκός [15]

κορύσσει· †κρύπτει. μάχεται. ταράσσει. αὔξει. καθοπλίζει

κορύσ(σ)εσθαι· ἐπαίρεσθαι

κορύσσεται (Δ 424)· καθοπλίζεται. ὑψοῦται

κορυσσαμένη· καθοπλισαμένη [20]

κορυστής· ἀγαθός, ἢ ὁπλίτης

Κορύστιοι· οἱ Γορτύνιοι [ad 22]

κορυ(σ)τόν· τὸ ἐπίμεστον [24]

κορυφᾷ· κορυφῇ, ἀκρωρείᾳ

κορύφαινα (Dorio)· ποιὸς ἰχθῦς

κορυφαῖος· τέλειος. ἡγεμών (Demosth. 533, 25).

κορυφή· κεφαλή. λόφος, ἀκρωτήριον

κορυφιστής ⟨ήρ?⟩· κόσμου γυναικείου τὸ περὶ τὴν κεφαλὴν χρυσίον, καὶ κεκρυφάλου (Poll. V 31) τὸ μέσον ῥάμμα

κορυφοῖ· †καταρρεῖ

κόρυφος· κόρυμβος γυναικεῖος. οἱ δὲ †μαλλον τὰ τῶν παιδίων. †κορυφάνια

κορυφοῦται (Pind. Ol. I 182)· αὔξεται. ὑψοῦται

κορυφώσασαι· ἐκτελέσασαι

†κορφῶς· ἐλαφρῶς

κόρχορον (Cret.)· λάχανον ἄγριον. καὶ στέαρ

COD. 80 κορύδος 83 κορύζει 84 κορύζων 88 ὑπερορίθεον 89 —θαλλbis 94 Τελχίνων? cf. Λύκος et Μυλάς 3700 κορυμβᾶ — ἐπικεκαυμένα 1 μεταίωρα — ἀνακτείνοντα 12 κορυπτόληπτον 14 θριγγός 30 κορυφεῖ (κατερέφει?) 31 οἱ ...κορυφάνια post 3727 35 Cf. κόρκορος

HES. 85 κόρυθα (N 188)· περικεφαλαίαν 86 κορυθαϊκῇ (X 132)· τῷ τὴν περικεφαλαίαν εὐκίνητον ἔχοντι, ἢ σείοντι, οἷον πολεμιστῇ 91 κόρυθες (M 160)· περικεφαλαῖαι
λ'
περὶ τὸ κάρα 95 κόρυθος, φαλόν (Γ 362)· περικεφα 98 κορυλλίων· ὄρνιθος εἶδος ⟨3350⟩ 99 κόρυκος ⟨κω—⟩· θυλάκιον, ἡ πήρα 3708 κορυνίτης (H 9)· κορυνομάχος, ῥοπαλομάχος 15 κόρυς (M 184)· περικεφαλαία 20 κορύσσων (B 273)· ὁπλίζων. καὶ τὰ ὅμοια Ad 22 ἢ ὁπλῖται 24 κορύτει· τῇ κεφαλῇ (v. κορύπτει)

κορωνά· ὑψηλά

κορώνεως (Ar. Pac. 628). ἀμπέλου ἢ συκῆς εἶδος

κορώνη· κόραξ. καὶ τὸ ἄκρον τοῦ τόξου, εἰς ὃ ἡ νευρὰ δέδεται (Δ 111). καὶ ὁ κρίκος τῆς θύρας. καὶ τὸ ζῷον (η 90). καὶ ὄρνεον. καὶ ἰχθῦς (μ 418). καὶ λάρος (Arist. HA. IV p. 463). καὶ εἶδος στεφάνου

κορώνη τὸν σκορπίον· παροιμία [ad 39] [40. 41]

Κορωνία· πόλις Βοιωτίας

κορωνίδες (Hom.)· καμπυλόπρυμνοι νῆες. καὶ οἱ ἐκ τῶν ἴων (Stesichorus) πεπλεγμένοι στέφανοι. κυρίως δὲ τὰ βλαστήματα

κορωνιδεύς (Cratin. fr. X p. 115)· ὁ τῆς κορώνης νεοττός

†κορώνιος· μηνοειδῆ ἔχων κέρατα βοῦς

κορωνίς· καμπυλόπρυμνος. ἢ στεφανίς

κορωνισταί (Rhodii)· οἱ τῇ κορώνῃ ἀγείροντες, καὶ τὰ ᾀδόμενα ὑπ' αὐτῶν κορωνίσματα

κορωνιῶν· γαυριῶν ⟨3635⟩

ὁ

κόρωνον· πονηρ

κορωνόπους (Theophr. VII 9)· πόα τις, ἣν καὶ κορακόποδα λέγουσιν

κορωνός (Archil. fr. 38)· ὀρθόκερως ταῦρος [52. 53]

κοσάλανον· τὸ βραχύ, καὶ τὸ δίκαιον

κοσάλεφοι· κόλαφοι, ἢ κοσάλεφοι

κοσκινόρι(ν)ος· εἰς κοσκίνου κατασκευὴν ῥινός

†κόσκιχοι· οἱ κατοικίδιοι ὄρνιθες ⟨3810⟩

κοσκυλμάτια· τὰ τῶν βυρσῶν περικομμάτια

κοσκυλματίοις (Ar. Eqq. 49)· κολακευματίοις. ἢ παραλογισμοῖς. †λιμμιδέρις

†κοσμᾶν· ἐρίζειν. ἀγνωμονεῖν ⟨cf. κολιᾶν⟩

κοσμεῖν· τίθεσθαι

κοσμῆσαι· διατάξαι (Β 553). στῆσαι. στεῖλαι [63]

κοσμητής· ἐνταφιαστής. Κουριεῖς [65]

κοσμίους· ἀνεπιλήπτους

κοσμιωτάτη· εὐκαλλώπιστος

κόσμος· καλλωπισμός, κατασκευή, τάξις, κατάστασις (Hippocr. I p. 112 K). στρατηγὸς κεκοσμημένος (Cret.). κάλλος

κόσμου ἐμπύρωσις· ὄρχησις (Menipp. Ath. 629 E). ἡ ὑπόθεσις

κόσσαβος· σκεῦος συμποτικόν, ἐφ' οὗ τὰς λάταγας ἔβαλλον ἐρίζοντες

κοσσάβους· κοττάβους [72]

κοσύμβη· δεσμός. ἀνάδεσμα, ἢ ἐγκόμβωμα. καὶ ὅπερ αἱ Κρῆσσαι φοροῦσιν, ὅμοιον ἀ(σ)πιδίσκῳ. καὶ περίζωμα Αἰγύπτιον. καὶ τὸ ἐγκομβοῦσθαι

κόσσυφος (Matro 87)· ὄνομα πτηνοῦ

κοσταί (Theophr. IX 7, 3)· κριθαί ⟨3773⟩

(κοστή· τροφή) cf. 3458

κόστος (Theophr. de odor. p. 446)· εἶδος ἀρώματος

κοστίας· κοιλίας, κόμορος

?κόσβατοι· οἱ ἐπὶ θυσιῶν τεταγμένοι ⟨κώταρχοι?⟩ [79]

†κοσώλυφος ⟨γεώλοφος⟩· βουνός, ὄχθος, ἀνάστημα γῆς. ἢ σπέρμα ⟨ἔπαρμα⟩

κοτέει (Hesiod. opp. 15)· ὀργίζεται. καὶ ὑπωπιᾷ

κοτεῖν· διεχθραίνειν, χαλεπαίνειν

κοτεῖται· ζηλοῦται, ἐπιθυμεῖται

κοτέοντες (Γ 345?)· ὀργιζόμενοι [85—88]

κοτίει (Boeot.)· φθονῇ, ζηλοῖ

†κοτίκας· ἀλέκτωρ [91]

κότινος· ἀγριέλαιος, ἢ ὁ ἐξ ἀγριελαίας στέφανος Ὀλυμπιακός. φασὶ γὰρ αὐτὸν κότινον εἶναι

κότιξις· μέλους τι εἶδος

κοτίλλιν (Ephes.)· αἰδοῖον ἀνδρός ⟨3213. 3550⟩

COD. 36 κορυνά 37 κορωναῖος Post 42 ἀκρώρεια, τέλος 45 κερατοβοῦς 46 χαμπύλος πρύμνη 47 διδόμενα 48 |ίων, γλαυρίων 51 κόρωνος ⟨54 Κόσσα λόγου?⟩ Ante 54] 70 κόσαβος 59 |τίους 64 κοσμήτης Κ. ἐ. 73 κόσυμβεδεσμός — κρισσαί 75 cf. ἀκοσταί, γοιταί 76 κοστός — ὁράματος 77 κολίας Schweigh. Ath. T. IV (IX) p. 637 80 βόθυνος (γεώλοφος?) 81 ὑποπιᾶ 88 κοτήεις 89 κοτιεῖ, φθονεῖ 90 cf. κοττός, προκόττα 94 Sic βιλλίν pudendum

HES. Ad 39 ἐπὶ τῶν δυσχερέσι καὶ βλαβεροῖς ἐπιχειρούντων 40 κορῶναι (ε 66)· ἁλίαι αἴθυιαι, κολυμβίδες. τὰ περιφερῆ σχήματα 41 κορωνίς· τὸ τελευταῖον τῆς οἰκοδομῆς ἐπίθεμα. [ἀκρώρεια. τέλος 52 κόρων ⟨κορώνη⟩· τὸ ἐπικεκαμμένον τοῦ ῥυμοῦ 53 κόσαι· κριθαί ⟨κοσταί⟩ 63 κοσμησάμενος (Β 806)· παραταξάμενος 65 κοσμήτορες (Α 16)· ἡγεμόνες 72 κοσυμβωτόν (Exod. XXVIII 4)· κροσσωτόν 79 κοσσύμβη καὶ κόσσυμβος· ἐγκόμβωμα. καὶ περίζωμα Αἰγύπτιον. καὶ τὸ ἐγκομβοῦσθαι 85 κοτέων (Δ 168)· ὀργιζόμενος 86 κοτεσσάμενος· μεμψάμενος, χολωθείς (Ε 177) 87 κοτέσσεται (Θ 391)· χολωθείη ⟨—θῇ⟩ 88 κοτήεις· στέφανος ἐξ ἐλαίας ⟨κοτινόεις?⟩. ἢ ὀργίλως διακείμενος (Ε 191) 91 κοτήλλουσα (Hesiod. Opp. 371)· τήλλουσα

(*Κοτίνουσα*· τὰ Γάδειρα οὕτως ἐκαλεῖτο) cf. 3540

κοτίς (Hippocr. II p. 223 K)

κότος· ὀργή, ἔχθρα, χόλος (*Α* 82), ἔρις ἔμμονος, καὶ ἡ ἐγκειμένη ὀργὴ εἰς κακοποιΐαν

κοτταβεῖα· † πλινθεία, ἢ † ληρωτηρία. ἄμεινον δὲ τοεῖν ἔπαθλον τῷ ἄριστα κοτταβίσαντι. † ἔπεται γὰρ τὸ καταλειπόμενον ἐν τῷ ποτηρίῳ ἐκχέοντες καὶ πειρώμενοι ψόφον ἀποτελεῖν. ὁ δὲ ἐπιτυχὼν μάλιστα τῷ ψόφῳ ἐνίκα

κοτταβίζει· οἶνον ποτηρίῳ ἀναρριπτεῖ

†*κοτταβία*· σύλῦθριξ

κοττάβινορ· ὑπόθεμα, Λάκωνες, ἐν ᾗ ⟨ᾧ⟩ οἱ κότταβοι ἐγίνοντο

κότταβος· λάταξ. Εὐριπίδης Πλεισθένει (fr. 632). καὶ παιδιὰ παρὰ Ἀττικοῖς, ἀπὸ Σικελίας παραδοθεῖσα

κόττανα· εἶδος σύκων μικρῶν. καὶ ἡ παρθένος παρὰ Κρησὶ *κοττάνα*

κοττάρια· τὰ ἄκρα τῆς κέγχρου

κόττειν· τύπτειν δορατεῖν ⟨δόρατι?⟩

κόττικοι· αἱ περικεφαλαῖαι

κοττίδικα· πλατάγη, κρόταλον

κοττοβολεῖν· τὸ παρατηρεῖν τινα ὄρνιν

κοττ†άναθρον· ἔνθα οἱ ὄρνιθες κοιμῶνται

κοττός· ὄρνις ⟨cf. προκόττα⟩. καὶ ἵππ†ων δέ τιν†ες οὕτως ἔλεγον

κοττυλ.οί· κατοικίδια.ι ὄρνεις

κοττύ†βη· τὸ φυόμενον ἐμφερὲς μύκητι

κοτύλη· εἶδος μέτρου. καὶ τρώγλη. ἢ τὸ κοῖλον τῆς χειρός, καὶ πᾶν κοῖλον· ὅθεν καὶ εἰς ὅπερ ἡ τοῦ μηροῦ κεφαλὴ ἐμβαίνει *κοτύλη* καλεῖται (Hippocr. II p. 110)

κοτυληδών (Nic. Ther. 681)· πόας εἶδος [15. 16]

κοτυλήρυτον (*Ψ* 34)· πολύ, ὥστε κοτύλῃ ἀρύσασθαι

κοτυλιαῖα· μικρά· παρὰ τὴν *κοτύλην*

κοτυλίσκος (Arist. fr. III p. 1105)· κρατηρίσκος, ᾧ χρῶνται οἱ μύσται (Nic. Thyat.).

.καὶ τὸ κοίλωμα. τινὲς τὰ μόνωτα ποτήρια ⟨ad κότυλοι⟩. καὶ πλακοῦντος εἶδος (Heracleo Ephes.). ἢ βόθρος, εἰς ὃν τὸ αἷμα τῶν τῇ γῇ θυομένων ἐνέβαλλον

κότυνα· σκύβαλα

Κοτυτώ· ὁ μὲν Εὔπολις (fr. IX 450) κατ' ἔχθος τὸ πρὸς τοὺς Κορινθίους φορτικόν τινα δαίμονα διατίθεται

κοῦα (Cyprii)· ἐνέχυρα

†*κούαγμα*· σχῆμα

κουανᾶ· μέλανα. Λάκωνες

κουάσαι (Cyprii)· ἐνεχυριάσαι ⟨3223. 4766

†*κουβηζός*· στηβεύς

†*κουκᾶ* [ad 26] κυκεῶνα ⟨Boeot. pro κυκᾷ! [27]

κουλεός· ξιφοθήκη

κουλυβάτειαν (Nic. Th. 589. 851)· κλητίαν ⟨κλύβατιν?⟩, τὴν σιδηρῖτιν πόαν, ἣν *ἐλξίνην* ἔνιοι

κουλιβός· ἡ πίτυς

†*κουμᾶσι*· τὸ τῶν ὀρνίθων οἴκημα

†*κούνημα*· κόκων, ἢ ὁ κύων

κούνουπες (Cyprii, Thessali)· κώνωπες

κουπήϊον· καμάρα ἡ ἐπὶ τῶν ἁμαξῶν γινομένη [35]

κουράνια· ἐκ μελίνης ἄλφιτα

κουράς· ἡ ἐν τοῖς ὀροφώμασι γραφή. ὀροφικὸς πίναξ. παρὰ δὲ Αἰσχύλῳ ἐν Μυρμιδόσιν (fr. 138) ἀμφιβάλλεται *ἐνκουράδι*. ἔστι δὲ *ἐγκουρὰς* ὀροφικὸς πίναξ (3850) [38—40]

κούρειον· Σοφοκλῆς Ἀνδρομέδᾳ (fr. 122)·

† ἡμίουτον κόριον ἠρέθη πόλει.
νόμος γάρ ἐστι τοῖς βαρβάροις θυηπολεῖν
βρότειον ἀρχῆθεν γέρος τῷ Κρόνῳ

κουρέων (Plat. Civ. 373 C)· τῶν κακοτιλτῶν

κουρεύς· ὄρνις ποιός, ἀπὸ τοῦ φθέγγεσθαι ἐμφερὲς ἤχῳ γναφικοῦ μαχαιρίου

κουρεῶτις (Plat. Tim. 21 B)· μηνὸς τοῦ Πυανεψιῶνος ἡμέρα, ἐν ᾗ τὰς ἀπὸ τῆς

COD. 95 Rectius κοττίς 97 *κοτταμία* — ἀμείνω 98 cf. καταρίζει 3800 |ενος cf. Phavor. 1097, 49 1 λάδαξ — πληθενεῖ — παιδεία 4 *κοττεῖν* 10 κοττυλειοὶ — κατοικίδιαρι (cf. κόσκικοι) Post 11] 3817 κοτύλαια 14 |*ήδων* 17 *κοτύλη*· ῥυτόν 18 μόνον Cf. π 2570 23 *κούαμα*, μέλαν 26 cf. γυγαί 29 *κουλιβατίαν* — σιδηρίτην — ὄνιοι 33 *κουνοῦνες* 36 μελήνης 37 ὀροφήμασι — ἀμφιβάλλει (cf. ἐγκου —) 41] post 3859 κουρίον 42 *κουρεώνην*, τὸν ἀκουντίτην, ἢ ἀκοτιλτήν 43 γναφικῷ μαχαίρῳ 44 ἐμῇ

HES. 3815 *κοτυληδόνες*· αἱ τοῦ πολύποδος πλεκτάναι 16 *κοτυληδόν*, ὄφις (ε 433)· ἐπὶ τοῦ πολύποδος τῶν πλεκτανῶν. αἱ γὰρ ἐν τοῖς ποσὶν αὐτοῦ κοιλότητες *κοτυληδόνες* λέγονται ⟨cf. πρῆθμα⟩ Ad 26 πάππων. ἢ ⟨*κοκυάων*· πάππων; cf. 3303⟩ 27 *κουδεόν* (*Λ* 220)· Ἰακῶς τὸ κολεόν 35 *κοῦραι* (*Β* 598)· κόραι 38 *κουράτεροι* (*Δ* 315)· νεώτεροι 39 *κουράτωρ*· τροφεύς, παιδοκράτωρ 40 *κουράων* (*Ζ* 247)· παρθένων. θυγατέρων

κεφαλῆς τῶν παίδων ἀποκείροντες τρίχας Ἀρτέμιδι θύουσιν [45]

Κουρῆτες (*I* 529)· τῆς μὲν δευτέρας συλλαβῆς περισπωμένης οἱ τὴν Πλευρῶνα κατοικοῦντες, διὰ τὸ κουρικῶς ἀνα(δε)δέσθαι τὰς κόμας. Κούρητες (*T* 248) δὲ προπαροξυνομένου τοῦ ὀνόματος νεανίαι. καὶ ἔθνος Κρητῶν [47. 48]

Κουρήτων στόμα [ad 49]

κουριᾶν· κομᾶν. κουρᾶς ἐπιδεῖσθαι [51]

κουρίδες (Sophro)· καρίδες, ἢ τὰς μικρὰς ἐγχλώρους, τὰς δὲ ἐρυθρὰς καμμάρους [53]

κουρίδιον· παρθένιον, καὶ τὴν ἐκ παρθενίας ἄνδρα. Λάκωνες δὲ κουρίδιον καλοῦσι (τὸν) παρ' αὐτοῖς τετράχειρον Ἀπόλλωνα

κουριζόμενος· ὑμεναιούμενος, διὰ τὸ λέγειν γαμουμέναις·

σὺν κούροις τε καὶ κόραις (Aesch. fr. 42)

ὅπερ νῦν παρεφθαρμένως (Didymus) ἐκκορεῖν λέγεται

κουρίζων (χ 185)· ἀκμάζων, νεάζων, νέος ὑπάρχων

κουρὶξ (χ 188)· τῆς κόμης

κουρὶξ αἰνυμένους (epic. inc.)· τῆς κόμης λαμβανομένους. ἢ νεανικῶς, παρὰ τὸν κοῦρον· ἢ τῶν τριχῶν, παρὰ τὴν κουράν· ἢ τῆς κόμης ἀπρὶξ δράξασθαι, λίαν, καὶ βίᾳ. τινὲς δὲ ἀνδρικῶς καὶ νεανικῶς

κούριξαν· ἀπέκειραν

κουριῶν· κουρᾶς δεόμενος. καὶ διαφέρειν φασὶ κομᾶν καὶ κουριᾶν. τὸ μὲν γὰρ κομᾶν ἐστιν ἐπιμελούμενον τρίχας ἔχειν· κουριᾶν δὲ τὸ κατὰ συμφορὰν ἄλλως καθιέναι κόμην [61]

κοῦρος· παῖς, νέος, υἱὸς ἄρρην, νεανίας, νήπιον ⟨—ος⟩ [63]

κουρότερος· νεώτερος

Κουροτρόφος (Call. Del. 276)· παιδοτρόφος. ὑφ' ἑτέρων ἡ Δημήτηρ (Ar. Thesm. 300)

†κουρῶν· πρέπων [67. 68]

κούταρον· τῶν † ὀσπητίων. τοῦ βοὸς ἡ σὰρξ ὑπὲρ τὰ ἄρθρα

κουτίδες· συκαλλίδες

κουτίδια· δίκτυα τὰ πρὸς τὰς συκαλλίδας

κοῦφα· τὰ μὴ βαρέα

κουφίζει (Eur. fr. 577)· μετεωρίζει

κουφικὸν τρόπον· τὴν κωμητικὴν ὄρχησιν

κουφολογία (Thuc. IV 28, 4)· φλυαρία

κοῦφον· † κόπον. μετέωρον

κοῦφος· ἐλαφρός. ταχύς. γοργός. εὔ(σ)καιρος (onomast.)

κουφόσκευος· οὐ βαστάζων τὴν πανοπλίαν

κοὐχί (Arist. fr. XVIII p. 958)· καὶ οὐχί

κόφινος· μέτρον χωροῦν χοᾶς τρεῖς (Strattid. fr. I p. 768)

κοχλίαι· τὰ ἐσθιόμενα ζῶα. καὶ τὰ ἐν τοῖς ὀργάνοις ξύλινα

κόχλος· τοῖς θαλαττίοις ἐχρῶντο πρὸ τῆς τῶν σαλπίγγων εὑρέσεως. καὶ ὁ στρόμβος

κοχύ· πολύ. πλῆρες

κοχυδεῖ (cf. Theocr. II 107)· ῥεῖ ἰσχυρῶς καὶ μετὰ ψόφου καὶ λάβρως

κοχυδεῖν· ὑπερχέειν

κοχῶναι (Ar. fr. XIV p. 1145)· τὸ ἱερὸν ὀστοῦν τὸ τῆς ῥάχεως πρὸς τῷ δακτυλίῳ. οἱ δὲ τοῦ ἱεροῦ ὀστέου τὰ ἑκατέρωθεν μέρη. τίθεται δὲ καὶ ἐπὶ τοῦ ἰσχίου

κοχώνα (Ar. Eqq. 424)· τὰ ἰσχία, καὶ τὰ ὅμοια

†κόψα· ὑδρία

(κόψειον· cf. 3482)

†κόψενα· παραστάτης, χαλκός

κόψεν· ἔπληξεν, ἐπάταξε τὴν θύραν, ἔκρουσε. κατέαξεν

†κοψία· χύτρα

κόψεσθε· προσοχθιεῖτε (*succensebitis*)

(κοψίχεια cf. 3482)

κόψιχος (Ar. Av. 806)· εἶδος ὀρνέου, ὃ κόσσυφος παρ' ἐνίων λέγεται. τάσσεται δὲ καὶ ἐπὶ τοῦ θαλασσίου (Ar. HA. V 11, 1)

κοῶ· αἰσθάνομαι [95. 96]

κ(ο)ῶν· εἰδώς

κράανον· τέλεσον

COD. 46 πλευράναν — κώμας 50 κουρίαν 54 παρὰ δὲ αὐτοῖς τετραχείρ.. (cf. κυνακίας) 55. 56. 57 = 57. 56. 55 55 ὑμεναιόμενος γ. δ. τ. λ. ⟨56 cf. ῥιζῶν⟩ 58 κουριξαινομένους — κόρης Post 59] 3841 κουρίον 60 δεομένων 72 βαθέα 73 μεται| 74 κομητικὴν 76 μεταί| 78 ὁ β| 79 κουχίον 80] post 3873; cf. 2763 81 χώα 82 πρώτης; cf. στρόμβος 83 πλῆθος 84 κοχυδέρει 85 ὑπερζέειν 87 κόχωνα 88 ὑδρεία

HES. 45 κούρη (Hom.)· κόρη 47 Κουρήτεσι (*I* 547)· Κρησίν 48 Κουρήτων (*I* 545)· ἔθνος Κρητῶν Ad 49 ἐδόκουν εἶναι μάντεις .... θεσπ[εσ]ιῳδὸν στόμα 51 κουρίας· ὀροφικὸς πίδαξ ⟨3837⟩ 53 κουριδίης (*A* 114)· ἐκ παρθενίας γαμετῆς 61 κοῦροι· παῖδες, νέοι (*A* 470), ἄρρενες 63 κουροτέροισι (*Δ* 316 φ 310)· κούροις, νέοις 67 κουστωδία (Matth. XXVII 65)· βοηθεία στρατιωτική 68 κουστωδίας· τοῦ τῷ δεσμωτηρίῳ ἐπικειμένου στρατεύματος, ἢ συναγωγῆς 95 κοεῖ· αἰσθάνεται 96 κόν· εἰδός

κραᾶρα (Lacones)· κόσκινον. ἢ ὄρυγμα ⟨καίατα?⟩

κράβος· ὁ λάρος

†κραγιον· σύνστριμμα ἐν κεφαλῇ

κραγόν (Ar. Eqq. 487 κραυγαστικῶς)

Κράγον· κραυγήν. βόημα. καὶ ὄρος

κραγών· ἔνυδρον ζῷον. καὶ εἶδος καρίδος (Arist. HA. IV 2, 1)

κραγγών· κίσσα

κραδαίνειν· κραδεύειν, σείειν, τινάσσειν

κραδαί(ν)ει (Aesch. Prom. 1049)· σείει, τινάσσει [3908]

κραδαίνων (Ar. Ach. 965)· ὁμοίως

κράδαλοι· κλάδοι συκῆς [11]

κράδεμνον (Eur. Phoen. 1490)· κάλυμμα. στεφάνη. μίτρα. τὸ ἐπικράνιον στεφάνωμα

κράδη· συκῆ. κλάδος. καὶ ἀγκυρίς, ἐξ ἧς ἀνήπτοντο οἱ ἐν ταῖς τραγικαῖς μηχαναῖς ἐπιφαινόμενοι

κραδησίτης (Hipponax?)· φαρμακός, ὁ ταῖς κράδαις βαλλόμενος

κραδία καὶ κραδίη· καρδία [16. 17]

κραδίης νόμος (Hipponax)· νόμον τινὰ ἐπαυλοῦσι τοῖς ἐκπεμπομένοις φαρμάκοις, κράδαις καὶ θρίοις ἐπιραβδιζομένοις

κραδίης τυρός· ὁ ὑπὸ τοῦ ὀποῦ τῆς κράδης πησσόμενος

κραδοφάγος· συκοφάγος, ἰσχαδοφάγος. σημαίνει δὲ καὶ τὸν ἀγροῖκον [21]

κραίνειν (Soph. OC. 449)· τιμᾶν. βασιλεύειν

κραίνουσι· πληροῦσι, παρέχουσι. τιμῶσι. βασιλεύουσιν (θ 391)

κραίνων (Soph. OC. 296)· ὁμοίως

κραιπάλη (Ar. Ach. 277)· ἡ ἀπὸ τῆς χθιζῆς μέθης κεφαλαλγία

κραιπαλώσας· μεθυσ(άσ)ας

κραιπνά· ταχέα, ὀξέα

κραιπνόν· ταχύ, ὀξύ [29. 30]

κραῖρα· ἡ κεφαλή, [ad 31] καὶ ἀκροστόλιον ⟨3921. 3973⟩

κραῖροι· στόλοι νεῶν. μέτωπα. κεφαλαί

Κραχαλίδαι (Aeschin. p. 68, 38. 43)· τῶν Κρισσαίων βασιλεῖς. ἢ διάφορον γένος

κράματα· κεράσματα

κραμβα†τέλος· ξηρὸς καὶ καπυρός

κράμβαλα· μνημεῖα

κραμβαλίζουσιν· καπυρίζουσι. κατασείουσιν

κράμβη· ῥάφανος, καὶ ἕτερα λάχανα [39]

κραμβ.ῖον (Hippocr. II p. 782)· τὸ κώνειον

κράμβον· καπυρόν τινα γέλωτα καὶ ξηρόν φασιν ⟨4181⟩ [ad 41]

κραμβότατον (Ar. Eqq. 539)· καπυρώτατον

κράμβωτον· ἰκτῖνος τὸ ζῷον

κράνα· κεφαλή

κρᾶναι· κρῆναι τέλειαι. καὶ αἱ τῶν ὑδάτων. καὶ ἐπιτελέσαι (Aesch. Ag. 144)

κραναῆς (Γ 201)· τραχείας

†κραναοίκορον· μοῖρά τις τοῦ ἱερείου

κραναόν· ὑψηλόν. τ(ρ)αχύ. (πλατύ. σεμνόν. ἰσχυρόν. ὀχθῶδες)

Κραναοῦ υἱός· Ῥαρός

κραναῶν πόλιν (Ar. Av. 123)· τὰς Ἀθήνας ἀπὸ Κραναοῦ

κράνεα χηλευτά (Herod. VII 89)· πλεκτὰ ἐκ σχοίνου, ἢ ἄλλης τινὸς ὕλης μαλάκια

?κραναῆ· τὰ προσκεκολλημένα συρίγγια, εἰς ἃ τὰ πτερὰ ἐμβάλλεται

κράνεια· λεπτοκάρυα [54]

κράνεσι (Ar. Pac. 1257)· περικεφαλαίαις

κρανέω· ἐπιτελέσω

κράνη· περικεφαλαῖαι

κρανία· τόξον (Eur. fr. 782). εἶδος δένδρου. περικεφαλαῖαι (Boeot.)

κρανίξαι ⟨2272⟩· ἐπὶ κεφαλὴν ἀπορρῖψαι

Κράνιοι (Thuc. V 35)· τῆς Κεφαλ(λ)ηνίας αὗται τέσσαρες ..... Κράνιοι

COD. 3901 Forte (ἐπι)κράνιον σύστρεμμα· (τὸ) ἐν κ. 2. 3 κραγόν, κραυγήν. κράγον, βοήθημα καὶ ὄρος 6 κραδεύειν· κραδαίνειν 13 ἀγγυρίς — ἀνίπτοντο 20 κραδαφ| 33 κρι..έ.. βασιλεῖς 34 κράμβατα ⟨35 κραμβαλέος? κράμβα· γέλως!⟩ δ' 40 κραμβίον 42 cf. 4182 45 cf. κροῦναι 48 cf. 3961 50 κράνδην — κραν α' 53 |κάρια 55 κρανέσι 57 κράνηος περικεφαλαι 58 |λαία ⟨ad κράνια = κράνεα⟩

HES. 3908 κραδαινόμενον· σειόμενον (P 524), τινασσόμενον, ταρασσόμενον 11 κραδάων (Π 213)· σείων 16 κραδίην ἐλάφοιο (Α 225)· δειλότατον 17 κραδίης (Κ 10)· καρδίας 21 κραι.ρα· κεφαλή. καὶ ἀκροστόλιον ⟨3931⟩ 29 κραιπνοῦσι· ταχέσιν (Π 671), ὀξέσιν 30 κραιπνότερος· ὀξύτερος (Ψ 590), ταχύτερος Ad 31 ἢ κραίρα 39 κρᾶμα (Tim. Locr. 95 E)· κέρασμα, καὶ εὔκρατον Ad 41 ἢ τὴν κράμβην 54 κρανέεσθαι (Ι 622)· τελέσαι, τελειῶσαι

Κράν.ιον (Xen. Hell. IV 4, 4)· [ad 61] γυμνάσιον

(κρᾶνον· κεφαλή)

κράνος· περικεφαλαία [63]

κραντῆρες· ὀδόντες (Arist. HA. II 4)· οἱ ὕστερον φυόμενοι, οἱ λεγόμενοι, σωφρονιστῆρες. οἱ δὲ τόπου Κεφαλληνίας

κραντήριοι· οἱ κραίνοντες, καὶ ἐπιτελοῦντες

κρᾶξαι· βοῆσαι, ἠχῆσαι

κράος· ἐν ᾧ τὴν γῆν σκάλλουσι. καὶ ἡ σκαλευομένη [ad 67] ἄμπελος

Κράπαθος· ἡ Κάρπαθος [69]

κραπαταλίας· ἀνεμώδης, καὶ ἀσθενής. καὶ ἀνίσχυρα λέγων. ἄμεινον δὲ ληρώδης

κραπαταλοί· ἰχθύες τινές

κραπαταλός· παρὰ πολλοῖς ὁ μωρός. ἢ νόμισμα (Pherecr. fr. IV p. 288) [73]

κρᾶς· κρέας. τινὲς δὲ κεφαλή ⟨κράς Simm. Rhod.⟩

†κράσβολα· κόλλαβοι δερμάτινοι ⟨2281⟩

κρασέρα· ἀλευρόττησις [77]

κρᾶσις· κέρασμα

κράσπεδα (Soph. fr. 558)· τὰ ἐν τῷ ἄκρῳ τοῦ ἱματίου (κε)κλωσμένα ῥάμ(μ)ατα, καὶ τὸ ἄκρον αὐτοῦ

†κραστῆναι· διάκονοι γυναῖκες

κραστήρια· τῶν ἐνηλάτων αἱ κεφαλαί, καὶ συμβολαί, καὶ τὰ ἄκρα [82—84]

κραταιᾶς (Callim. fr. LXVI 1)· ἰσχυρᾶς

κραταίγονον· βοτάνη μεθ' ἧς πλέκουσιν

κραταιγός (Theophr. III 15, 6)· δένδρον

κραταιγύαλοι (T 361)· στερροὶ κατὰ κύτη, τουτέστιν τὰ ὅπλα [89]

κραταίλεων (Aesch. Ag. 667)· ἔδαφος ἐκ σκληροῦ λίθου γεγονός

κραταίλεων· ἡ Νιόβη

κραταιόν (Aesch. Prom. 427)· ἰσχυρόν [ad 92]

κραταίπεδον οὖδας (ψ 46)· λιθόστρωτον ἔδαφος

κρατεῖ· [ad 94] κρύπτει (sch. Aesch. Ch. 78). κυριεύει. [ad 94] ἄρχει

κράτει· δυνάμει [ad 95] [96]

κρατέοντα· κρατοῦντα, ἰσχύοντα [98]

κρατεροφ†όρος· γενναῖος [4000]

κρατερώδοντες· καρτερούμενοι

κρατερώματα· μίξις χαλκοῦ καὶ κασ(σ)ιτέρου [3. 4]

κρατευτάων (I 214)· τῶν βάσεων, ἐφ' ὧν οἱ ὀβελίσκοι τίθε(ν)ται πρὸς ὄπτησιν [6]

κρατῆρες· σιτλία, σκυφία

κρατηρίσκοι· οἱ τοῦ ὀφθαλμοῦ, καὶ μήκωνες ⟨q. v.⟩ λέγονται [9]

κράτιστα· καλά. κρατούμενα

κρατιστεύει· δυναστεύει, κυριεύει

κράτιστος· ἰσχυρότατος, δυνατώτατος

κρατόδετον (σφενδόνην· δεδεμένην). τὰ ἄκρα τῆς σφενδόνης (κεφαλὰς ἐκάλουν) [14—15a]

κρατύνει (Aesch. Prom. 150)· κρατεῖ

κρατύνεσθαι· ὀχυροῦσθαι

κρατυνάμενος· ὀχυρωσάμενος (sc. ἀρχὴν)

κρατυνθέν· κρατηθέν, βεβαιωθέν

κρατυντήρια (Democrit.)· κατισχύοντα

κρατύς (Π 181) [ad 21] [22]

†κραύγαρ· ὁ ἰσχυρός

κραυγή· βοή. ἢ νόσημά τι παιδίοις ἐπιφερόμενον, ὃ καταβλάπτει [ad 24]. καὶ γὰρ ἡ γραῦς ἐριφία ⟨col. 360, 12⟩ ἀκρίς ἐστιν ἡ λεγομένη βασκανία

COD. 61 κρα...ν 67 cf. κράφα, ἀγρίφη 71 κραπάταλλον 72 κραπάταλλος 75 κελλάβοι 76 κράσσεα, ἀλευρωτίς ⟨3899⟩ 78 κράσις 81 |ρίαι, τῶν ἐνηλακτῶν ⟨3091⟩ 88 κύτην 92 οὖδας pro ἰσχυρόν 93 ἰσχυρὸν pro οὖδας 99 |φροσι· γενναίοις 4001 |όδοντες 13 |ώδετον ⟨3983⟩ 24 γ.αῦς ἐριφιακρίς

HES. Ad 61 πλατύ, ὑψηλόν. σεμνόν. ἰσχυρόν, ὀχθῶδες. καὶ ἡ κεφαλή. ἢ 63 κρατῶν· βασιλεύς Ad 67 [ἀμπέλων ἡ] 69 Κράπαθα (B 676)· τὴν Κάρπαθα, νῆσον Ῥόδου 76 καράρα· πέπονθε τὴν κεφαλήν ⟨καρηβαρᾶ⟩. οἱ δὲ βοῶν πυρετός (Ar. HA. VIII 22, 2). καὶ ἀκροστόλια νεῶν ⟨3931⟩ 77 κρᾶσιν (K 152)· κεφαλήν. καὶ κράτεσφιν (K 156) 82 κράστιν (Aristoph. fr. CXCIV)· Ἀττικοί. διὰ τοῦ γ οἱ νῦν γράστιν φασίν· ἔστι δὲ ὁ χλωρὸς χόρτος ⟨Moeris⟩ 83 κραστόδετον· σφενδόνην δεδεμένην· τὰ γὰρ ἄκρα τῆς σφενδόνης κεφαλὰς ἐκάλουν ⟨4013⟩ 84 κρᾶτα (θ 92)· κεφαλή(ν) 89 Κράταιϊς· προπαροξυτονεῖται, τὸ κύριον ὄνομα τῆς μητρὸς τῆς (Σ)κύλλης (μ 124). τὸ δὲ (προ)περισπώμενόν ἐστιν ἐπὶ τοῦ Σισύφου προσηγορικόν (λ 597) Ad 92 ἡ λιθόστρωτον ἔδαφος Ad 94 μένει — δυνάμει Ad 95 κεφαλῇ (Γ 336) 96 κρατέει (Λ 79)· κρατεῖ, καὶ ἄρχει 98 κρατερόν· ἰσχυρόν (Λ 326), δυνατόν (M 129) 4000 κρατερόφρονος (δ 333)· βουληφόβου ⟨—ρου⟩ 3 κρατερώνυχες (κ 318)· ἰσχυροὺς ὄνυχας ἔχοντες 4 κρατευταί· ὀβελίσκοι 6 κράτει· νίκῃ. ἀρχῇ, ἐξουσίᾳ 9 κρατί (E 743)· κεφαλῇ 14 κρατός (E 7)· τῆς κεφαλῆς 15 κράτος· βασιλεία. ἰσχύς, δύναμις (I 25). δόξα. ἐξουσία (Hebr.) 15a κρατὸς λιμένος (I 140)· τῆς ἀρχῆς τοῦ λιμένος Ad 21 ἄρχει, ἐξουσιάζει ⟨ad κρατύνει⟩ 22 κραυαίνει· φροντίζει ⟨κηραίνει⟩, ἐπιθυμεῖ ⟨κροαίνει⟩ Ad 24 [τοῖς παιδίοις]

κραυγίας· ἵππος, ὁ ὑπὸ κραυγῆς καὶ ψόφου ταρασσόμενος [26]
κραυγός· δρυοκολάπτου εἶδος
†κραυγόν· ποιὸς ὄρνις
κραυρότερον (Plat. Tim. p. 60 C)· ξηρότερον [30]
κραῦσον (Cretice?)· τὸ πῦρ
κράφα· ᾧ οἱ κηπουροὶ τοὺς †βόλους ἀπάγουσιν
κρεάγρα· ἐν ᾗ αἵρεται τὰ κρέα (Ar. Eqq. 772). ἁρπάγη, καὶ λύκος, ἐν ᾧ τὰ ἐκ τῶν φρεάτων ἀνέλκουσι
†κρεάνας ἐλπίδας
κρέας· καὶ τὸ σῶμα ἔλεγον (Ar. Ran. 190), καὶ τὸ διδόμενον τοῖς Ἀρεοπαγίταις. ἡ γὰρ ἐξ Ἀρείου πάγου βουλὴ κρέας ἐλάμβανεν [36. 37]
κρεῖον (Ι 206)· ἀγγεῖον, εἰς ὃ κρέα βάλλεται [39. 40]
κρείττονας· τοὺς ἥρωας οὕτω λέγουσιν. δοκοῦσι δὲ κακωτικοί τινες εἶναι. διὰ τοῦτο καὶ οἱ παριόντες τὰ ἡρῷα σιγὴν ἔχουσι μή τι βλαβῶσι. καὶ οἱ θεοὶ δέ. Αἰσχύλος Αἰτναίαις (fr. 10)
κρειττόνων· ἐναρέτων
κρείων· [ad 43], ἄρχων, κρατῶν, ἰσχύων (Callim.)
κρέκει· κιθαρίζει
κρέκελος· θρῆνος
κρέκοντα· κερκίζοντα [47. 48]
κρεμβαλιάζειν (Hermipp. fr. V p. 391)· κογχύλια καὶ ὄστρακα συγκροτοῦντας εὔρυθμόν τινα ἦχον ἀποτελεῖν τοῖς ὀρχουμένοις
κρέμβολα· ἐφ' οἷς τὰς κρόκας ἐντυλίσσουσιν αἱ γυναῖκες
κρέμυον (Boeoti)· κρόμυον
κρέξ· κορυφαία. καὶ ὀρνεόν (Arist. HA. IX 1, 17) τι, ὃ τοῖς γαμοῦσιν οἰωνίζεται (Euphor. p. 41). τάσσεται δὲ καὶ ἐπὶ τριχός
(κρεωδαίτης· ὁ δαιτρός) 4269

κρήγυον (Α 106)· ἀγαθόν, ὠφέλιμον, ὑγιές (Hippocr. I p. 238 K)
κρήδεμνα· τὰ χείλη
κρήδεμνον· ἐπιβόλαιον, ὅ ἐστι κεφαλόδεσμος (Χ 470), ᾧ χρῶνται αἱ γυναῖκες. κατὰ μεταφορὰν καὶ τὰ τείχη λέγεται κρήδεμνα (Π 100): στεφανίς. καὶ κόσμος
†κρήδεσμον· κεφαλόδεσμον (Χ 470!) [57]
κρήηνεν· ἀπετέλεσεν, ἐτελείωσεν
κρηθεῖν· κακολογεῖν (cf. ἀκρηθής)
κρῆθμον (Callim. fr. LXIV)· λάχανον
κρήϊα (Philet. Ath. 645 D)· ζῴδια
κρήϊον (Iones)· κρεοθήκη
κρήϊον· ἐπίκοπον, κρεοδόχον λέβητα
κρημνοβάτης· νευροβάτης
κρημνός· ὄχθος, ἐξοχὴ πέτρας, καὶ ὄρους βάθος, χάος
κρηνάγχη· ἀρχὴ ἐπὶ τῆς ἐπιμελείας ὕδατος [67]
κρήνη· πηγή, ὕδωρ ἀγώγιμον [69]
Κρηνιᾶς· τοὺς Κεφαλλῆνάς τινες
κρηνιῶν· καρηβαρῶν
κρηνοφύλαξ (Athen.)· ὁ τὴν κρήνην φυλάσσων
κρηπίδων βάθροις (Eur. Tro. 16)· βωμῶν
κρηπίς· ὑποβάθρα, θεμελίωσις (Herod. I 93). ὑπόδημα. λέγεται δὲ καὶ τὸ περίθεμα τῶν ἐγχύτων πλακούντων. καὶ περὶ τὴν ἀρχιτεκτονίαν τῆς κτίσεως, ἐφ' οὗ οἱ στυλοβάται. ἀπὸ ταύτης οἱ ποιηταὶ τὰς καταρχὰς καὶ θεμελίους λέγουσιν
κρῆσαι· κεράσαι, ἐπιχέαι (ε 254?)
†κρησίαι· καλλίονες
κρησίπαιδα· ἐν Σαμιακῇ θυσίᾳ ἡ λέξις φέρεται. δῆλον ὅτι μέρη ἱερείων λέγεται
Κρήσσας· Κρητικάς, ἀπὸ Κρήτης
κρησφύγετα (Herod. V 124)· τὰ πρὸς †τῆς χειρὸς στεγνά. καὶ ὀχυρώματα. σπήλαια. διαλανθάνοντες τόποι
Κρῆτα τρόπον (Simonides)· τὸ παιδικοῖς χρῆσθαι [81]

COD. 30 ποιήσει 31 τὸν πυρετόν, cf. 1921 41 κακότυχοι — βλαβοῦσι — αἰτναίας 42 ἀρετῶν 46 κρέκαντα, κερκύζοντα 52 οἰωνίεται — ἐπίτροχος 58 κρήϊνεν 60 κρηθμόν 62 κρήϊνον, κρεω] Forte κρήϊνον Laconicum est 66 [άγγη 70 κρηνίας 73 καὶ βάθρων 74 περὶ θεμάτων — στυλοβῶται 78 κρήσας, κρητικός 80 κρητὰ τόπον — παιδικὴν

HES. 26 κραυγάζει· βοᾷ (col. 308, 32), καλεῖ 30 καυροώς (L. ΚΛΠΡΟϹ)· νόσος μελισσῶν, ὅταν σκώληκας καὶ (ἀ)ράχνας ποιήσῃ 36 κρέατα (γ 33)· κρέα 37 κρέασι (Μ 311)· συμποσίοις 39 κρείουσα (Χ 48)· καλλιστεύουσα (non Callim.) 40 κρεῖσσον (ζ 182)· κρεῖττον, βέλτιον, κάλλιον Ad 43 βασιλεύων (Β 609) 47 κρεμῶ· κρεμάσω (Η 83?) 48 †κρέμων· ἐκρέμασα 57 κρήϊνον· τέλεσον, ἐπιτελείωσον (Α 504) 67 κρηνῶν (—έων Η 129)· πηγῶν, ὑδάτων 69 κρήϊνον, ἔλδωρ (Α 41. 504)· τελείωσον τὸ ἐπιθύμημα 81 Κρήτηθεν (Γ 233 Call. Del. 309)· ἀπὸ Κρήτης

κρητήρ· ὁ φάρυγξ. καὶ τὸ οἰνοχόον ἀγγεῖον

?κρατῆρας· τοὺς κρατοῦντας [84]

κρητήριον· ἐπίχυσις· καταχρῆσαι γὰρ τὸ καταχέαι

κρητίζειν· [ad 86]

Κρητικόν (Eupol. fr. XXXVI p. 560)· ἱματίδιον λεπτὸν καὶ βραχύ. τὰ γὰρ τοιαῦτα Κρητικὰ ἔλεγον. καὶ γένος ὀρχήσεως

Κρητικὸν μέλος (Cratin. fr. X p. 144)· οὕτω Κρῆτες ῥυθμοὶ ἐλέγοντο ἀπὸ Κρητῶν. καὶ γένος ὀρχήσεως

κρῖ (δ 41 al.)· κριθή. εἶδος ὀσπρίου. ἢ γένος τι

κριδδέμεν (Stratt. fr. III 7 p. 781)· γελᾶν. Βοιωτία δὲ ἡ λέξις

κριβάνας (Alcman)· πλακοῦντάς τινας

κρίβανος· ὁ βαῦνος τῶν κριθῶν. κριθαῖς γὰρ τὸ πρότερον ἐχρῶντο, καὶ βαύνους τὰς καμίνους ἔλεγον. καταχρηστικῶς δὲ καὶ ὁ λέβης

κρίγδανον· πέλτη, ἀσπίς

κριγή· ἡ γλαῦξ (Hipponact. fr. XXXIX)· οἱ δαίμονες, εἴδωλα

κρίδιον· ὁ μικρὸς κριός

†κρίες· ἡ χελιδών

κρίζει (Menand. fr. CCXCIV)· ὀξὺ αὐλεῖ

κρίζειν· κεκραγέναι [99. 4100]

κρίθα· κρίθινον. καὶ ἵππου ἀρρώστημα

κριθή· πυρόν. ἢ τὸ τοῦ ἀνδρὸς μόριον. ἢ ὀφθαλμῶν ἐπανάστασις παρὰ ἰατροῖς (Hippocr. III p. 436)

†κριθόγιτον· †ἀπόβρωμα κριθῆς

κριθόκανον· σπέρμα μελανθίῳ ὅμοιον

κριθοφυλακία· ἀρχὴ ἐπὶ τῆς ἐξαγωγῆς τῆς κριθῆς ἢ σίτου

κρίθων· ἐπώνυμον ἀνδροκιδάλου

κρίκα· κρίκον

κριθῶν ὄχλος· ἐν Τροφωνίῳ (Cratini)· παρέθηκε δὲ παίζων τὸ ἀργύριον

κρικάδεια· τὸ ἐναλλάξαι τοὺς δακτύλους ὥσπερ †κρυβούς

κρίκεν (Π 470?)· ἐψόφησεν, ἔτρισεν

κρίκος· κίρκος, ἔνθα ἡ κώπη εἰσέρχεται [12. 13]

κρίματα· ψῆφοι, δίκαι

κριμνῆστις· πλακοῦντος εἶδος

κριμνούς· λευκάς τινας βοτάνας

κριμνός (Callim. fr. CCV)· ἡ κριθή [18]

κρίνα· ἄνθη καλλίπνοα εὐωδιάζοντα. ἢ μάζα (Attici). ἄμεινον δὲ θυμιάματα ἢ τὸ †μέλι φυρατὸν ἡδὺ τὸ λευκόν

κρῖναι (Thuc. VI 39)· τάξαι. χωρίσαι. δοκιμάσαι. δικάσαι. ἐπιλέξασθαι

κρίναιμι· ἐπιλέξαιμι

κρινάμενοι· ἐπιλεξάμενοι [23. 24]

κρίνατο· ἐπελέξατο. ἐδίκασεν

κρῖνε (Aesch. Eum. 433)· δικάζε. καὶ τὰ ὅμοια

κρίνειν· ἀριθμεῖν. χωρίζειν. ἀνακρίνειν, συγκρίνειν [ad 27]

κρινεῖς· διαχωρίσεις

κρίνθη· διεκρίθη. ἐχωρίσθη [30]

κρίνη· κνίδη ⟨3139; κνίφη· κνίδαι?⟩

κρίνομαι· δικάζομαι

κρινόμεθα· μαχόμεθα. διαλυόμεθα

κρινομένους· ἀναιρομένους, ἀποθνήσκοντας

κρί(ν)ον· τὸ ξηρόν. τάσσεται καὶ ἐπὶ πτωχοῦ, καὶ νεκροῦ, καὶ ἐκπεπτωκότος. καὶ σχῆμα χορικῆς ὀρχήσεως (Apollophanes)

κρίνοντες (Β 446)· διαχωρίζοντες

κρίξαι· ἠχῆσαι, φωνῆσαι [38. 39]

κριός· ῥόπαλον πολιορκ(ητ)ικόν (Xen. KII VII 4, 1). καὶ τὸ τῶν προβάτων ἄρσεν. ὄργανον ἀσπίδων. Ἀθηναῖοι (Hegesandr.) δὲ τὰς τραχείας κόγχας καλοῦσι κρείους. καὶ παρὰ Ταραντίνοις †τὰ μεταλλικὰ ἀναγράφεται κριός. καὶ παρὰ τοῖς ἀρχιτέκτοσι μέρος τι τοῦ Κορινθίου κίονος

κριὸς ἀσελγόκερως· ἦν ἐν τῇ ἀκροπόλει κριὸς ἀνακείμενος μέγας χαλκοῦς. ἀσελγόκερων δὲ αὐτὸν εἶπε Πλάτων ὁ κωμι-

COD. 82 κρητηρά 83 κρητῆρας· τοὺς ἀκρατοῦντας? 88 κρῆται 89 κρί 90 κριάδεμεν γενᾶν 94 κρίγη 4101 κρίθα Confundit κριθαί et κριθᾶ 6 κρίθον 9 κρικαδιᾶν — .ρυβούς (cf. ἐγκρικάδεια) 15 κριμνίτης? 17 κρίμνον Suid. 18 ʾριγε (cf. κρυμνεῖ) 26 κρῖναι 35 χωρικῆς ⟨cf. εὐκρινής⟩ 40 ὁ τῶν — ὄργανον ἀσπίσων — κριούς

HES. 84 κρατῆρας στήσασθαι ἐλεύθερον (Ζ 523)· εἰώθασι τῷ Διὶ ὑπὲρ ἐλευθερίας ἱστάναι τοὺς πολεμίους ἀπωσάμενοι Ad 86 ἐπὶ τοῦ ψεύδεσθαι καὶ ἀπατᾶν. ἔταττον δὲ τὴν λέξιν ἀπὸ (τοῦ) τοὺς Κρῆτας ψεύστας εἶναι 99 κριζόν ⟨—τόν⟩· ἐπίλεκτον, διάφορον 4100 κρίζαος ⟨κνύζα⟩· ψώρα. κρίζα 12 κρῖ λευκόν (Ε 196)· κριθὴν λευκήν 13 κρῖμα (Rom. III 8)· ἀνταπόδοσις θεοῦ 18 κριμνεῖ· ἔρριγε, πέφρικεν ⟨κρυμώσσει?⟩ 23 κρινάμενος (Λ 696)· ἐπιλεξάμενος 24 κρίνας· ἐπιλέξας (Ζ 188). χωρίσας Ad 27 ἔνιοι κρινόμεθα ἀντὶ τοῦ μαχόμεθα. ἢ διαλεγόμεθα ⟨4133⟩ 30 κριθέντας (Υ 141)· χωρισθέντας 38 κρίον (Ι 206)· ἀγγεῖον 39 κριόντων (Θ 31)· βασιλευόντων

κὸς (p. 688) διὰ τὸ μέγαν εἶναι, καὶ συναριθμεῖ αὐτῷ τόν τε δούριον ἵππον .... τὸ γὰρ ἀσελγὲς οὐ μόνον ἐπὶ τοῦ ἀκολάστου ἔταττον οἱ παλαιοί, ἀλλ' ἔστιν ὅτε καὶ ἐπὶ τοῦ μεγάλου· καὶ γὰρ ἄνεμον ἀσελγῆ λέγουσιν, ὡς Εὔπολις (p. 559). ἄμεινον δὲ τὸν ἀσελγόκερων δέχεσθαι εἶναι τὸν κυρίττοντα, καὶ οἱονεὶ ἐξυβρίζοντα τοῖς κέρασιν

κριὸς (τὰ) τροφεῖα ἀπ(έ)τισε· παροιμία [ad 42]

κριοῦ διακονία· ὅταν προ(σ)τάσσωμεν παιδία διακονῆσαι, λέγομεν· δώσω σοι εἰ τύχοι ἀστραγάλους, ἢ ἰσχάδας. καὶ ὁ κριὸς οὖν εἶπε, †κατέλειψε τοῦ ἀστραγάλου σοι δώσω

κριοφάγος· θεός τις, ᾧ κριοὶ θύονται [45]

Κρίσαμις Κῷος [ad 46] [47]

κρισίαι· τάξεις ἱππικαί

κρίσιν· ἀκολουθίαν

κρίσις· ἀνάκρισις

κρισσός· ἡ ἐν ταῖς δρυσὶ γινομένη διάφυσις, ὅθεν ῥέει ὁ ἰξός. ἢ ἡ ἐν τοῖς ἄρθροις διάφυσις σκληρὰ καὶ ὀζώδης

†κρίσμιον· φυλάκιον

κριτάν (Dor.)· κριτήν

κρίτανος· τέρμινθος

κριτάς· ὀδόντας [56. 57]

κριτός· ἄριστος. [ad 58], ἐπίλεκτος

Κριῶθεν (Ar. Av. 645)· ἀπὸ δήμου. ἔστι γὰρ ὁ Κριωεὺς δῆμος φυλῆς τῆς Ἀντιοχίδος

κροαίνων (Z 507 O 264)· τοῖς ποσὶ κρούων· ὁ ἐπιθυμῶν

†κροβάντιον· πολίον

Κρόβυζοι (Herod. IV 49)· γένος Θρᾳκῶν [63]

κροιός (Cyprii)· νοσώδης, ἀσθενής

Κροίσειοι στατῆρες· τινὰ (......)

κρόκα (Hesiod. opp. 538)· κρόκην

κρόκη· πέμματος εἶδος. ἢ ῥοδάνη

κρόκκαι (Lycophr.)· παραθαλάσσιοι ψῆφοι

κροκάλαι· ψῆφοι. ἀκταί. ἄμμος

κρόκαλον· τὸ πανοῦργον παιδίον

κροκόδειλος· †τὴν τύλην, καὶ τὸ ζῷον, καὶ (τὸ) ἐν τῷ Νείλῳ, καὶ τὸ χερσαῖον

κροκόπεπλος (Θ 1)· κροκοειδῆ ἱμάτια ἔχουσα

κρόκος· τὸ †κροτόν. †καὶ ἀλεκτρυόνες οἱ τὸν τράχηλον τοιοῦτον ἔχοντες †κρόκη

κροκόττας· ζῷόν τι τετράπουν Αἰθιοπικόν

κροκύδες· γνάφαλα

κροκυλεγμός· τὸ κολακευτικῶς τὰς κροκύδας ἀπολέγειν τῶν ἱματίων [77]

κροκύς· ἡ †ἐχίδνιος βοτάνη

κροκώδης· τινὲς ὡς δυσλύτων ὄντων τῶν ἐκ τῆς κρόκης δεσμῶν, ἔνιοι δέ, ὡς κρόκου φυομένου ἐκεῖ. τινὲς δὲ κροκώδη, ἐκ κροσσῶν συνεστραμμένων

κρολίαζε (Lydi)· πλησίαζε θᾶττον

κρόμβος· ὁ κόνδυλος. καὶ ὁ καπυρός

κρομβότατον· καπυρώτατον. κατακεκονδυλωμένον

κρόμμυα (Eupol. fr. V p. 550)· τὰ κρομμυοπώλια [84]

Κρόνια· ἑορτὴ ἑκατομβαιῶνος μηνὸς Κρόνῳ

Κρονίδαρ (Lacon.)· πολυετής

κρουνικαὶ λῆμαι (Ar. Plut. 581)· παρὰ τὴν παροιμίαν γέγονε, τὴν χύτραις λημᾶν καὶ κολοκύνταις, ἐπὶ τῶν ἀμβλυωττόντων

Κρόνιον· ἑορτήν. ἢ παλαι..

κρόνιππον (Ar. Nubb. 1070)· παλαιόν

Κρονίωνας· παλαιοὺς ἀνθρώπους

κρονιώτερα (Plat. Lysid. p. 112, 17)· ἀρχαιότερα

Κρόνοι (Com. inc. CCCXI b)· παλαιοί

Κρόνου πυγή· τὸ ἀρχαῖον καὶ ἀναίσθητον κρέας. ἀπὸ τοῦ Κρόνου

COD. 41 τὸν κρείττονα καὶ 42 πλάττουσιν 54 κρίταμος Diosc. II 156 55 κρίτας 59 κριωθεὶς δ| 62 κροβυζοί 65 κρειΐσειοι, 66 ἡ κρόκη 70 κροκαλεῖτο, π. Cf. κρωκαλέον 72 ἔχοντα 76 κροκύλεγμος — κρόκυδας 79 κρώσσων 80 Col. 294, 13 81 cf. 3941 Confusa sunt κρόμβος, κρομβός 82 Cf. 3942 83 αν, τὰ κρομμωπωλια 91 κρονικ| 93 κέρας

HES. Ad 42 ἐπὶ τῶν ἀχαρίστων ἐστί. τὰς φάτνας γὰρ οὗτοι πλήττουσιν [οἱ κριοί] 45 Κρῖσα (B 520)· πόλις Φωκίδος Ad 46 ἦν πολυθρέμματος. τούτῳ φασὶν ἔγχελυν ἐπιφαινομένην κατ' ἔτος τὸ κάλλιστον τῶν προβάτων ἀφαρπάζειν. καὶ τὸν Κρίσαμιν ἀνελεῖν. φαινομένην δὲ ἐν τῷ (αὐτῷ) ὄναρ κελεῦσαι καταθάψαι αὐτήν, τὸν δὲ μὴ φροντίσαντα πανγενεὶ (cod. —ῆ) ἀπολέσθαι 47 κρίσεως (LXX)· δοκιμασίας 56 κριτήριον (Daniel. VII 10. 26)· δοκιμαστήριον, δικαστήριον 57 κριτικὸς ἐνθυμήσεων (Hebr. IV 12)· διακρίνων λογισμούς Ad 58 ἐπιλελεγμένος (H 434) 63 κρόβαλος· ὁ ὁμαλλὸς τῶν παίδων, καὶ αἱ τρίχες τῶν αἰδοίων 77 Κροκύλια (B 633· βοτάνη 84 κρόμμυον· τὸ πρωὶ ὄψον τῷ πότῳ (Λ 629) προσφάγιον· ἐρεθιστικὸν τοῦ οἴνου, τὸ δριμὺ κρόμμυον

†κροντᾷ· κατασήπεται

Κροντίδαι· μάντεων γένος [96]

κρόξ· κρόκη [98]

κρόσσας (M 258)· κλίμακας καὶ προκρόσσας ἄλλας ἐπ' ἄλλαις. τινὲς δὲ τὰς κεφαλίδας τῶν τειχῶν, ἢ προμαχῶνας, ἢ στεφάνας τῶν πύργων, ἢ τὰ κρηπιδώματα. καὶ γὰρ κροσσοὺς ἄχρι νῦν, τὰ κατώτατα τῶν ἱματίων. ὃ καὶ βέλτιον. καὶ γὰρ τὸ ὄνομα τῆς κλίμακος ἐγίνωσκεν ὁ Ὅμηρος, καὶ οὐδέπω ἦν πολεμικὰ ὄργανα

κροσσούς· τὰ κάτω τῶν ἱματίων τὰ ῥαμματώδη

κρόσταλλος (Cyprii)· εἶδος ὑέλου

†κρόστινα· φυλακτήρια [4203]

κροταλίζει· κρούει ταῖς χερσίν

κρόταλον (Ar. Nubb. 260 Eur. Cycl. 104)· περίτριμμα. κρότημα

κροταφίς· σιδηρᾶ σφῦρα †ἀκμή, (ἐκ) τοῦ ἑτέρου ὀξὺ ἔχουσα, ἐκ δὲ τοῦ ἑτέρου κρόταφον

κροτεῖ· κρούει

?κρόταφος· κόρρη

κρότημα (Eur. Rh. 499 Soph. fr. 823)· ἐπὶ τῶν δολίων τάσσεται

κροτήσας· κτυπήσας ταῖς χερσίν [11]

κροτήσουσιν· ἐπαινέσουσι

κροτητά (Eur. fr. 470)· ἐκγεγλυμμένα. εὐτίνακτα. ἐπιτετρημένα

κρότοι (Plat. Legg. 700 C)· εὐφημίαι, ἔπαινοι [15]

κρότοι· οἱ κροτῶνες

†κροτονία· σταφυλή. αὐλίς

κρότων· οὕτω καλεῖται, ὅ τινες κίκι Αἰγύπτιον, οἱ δὲ σησαμῆν ἀγρίαν (Hippocr. II p. 865). καὶ τὸ ζῶον τὸ ἐν κυσὶ καὶ βουσὶ γινόμενον (Ar. HA. V 17, 9). ἄλλοι δὲ πυρσός ⟨πῦος? (Hippocr. II p. 267)⟩

κροτώνη (Theophr. I 8, 6)· τὸ ἐπιγινόμενον τοῖς δένδροις, μάλιστα τῇ ἐλαίᾳ

κρότωνος ὑγιέστερος (Menand. p. 161)

κρουερ.' (Lacon.)· τοῦ φοβεροῦ

†κροῦμαι· μύξαι ⟨3705⟩

κροῦναι· τὰ ἄφορα δένδρα ⟨h. e. γρῶναι⟩

κροῦναι· κρῆναι τέλειαι ⟨3945⟩

κρουνοί· ῥεῖθρα, ὀχετοί, ὑδάτων ἐκβολαί

κρουνοφόρον· οὕτω καλεῖταί τι τῶν ἐν ταῖς ναυσίν [27]

κρούπανα· ξύλινα ὑποδήματα (Cratin. fr. CLIII). καὶ κλεῖς. καὶ κρουπέζια καὶ κρουπεζοφόρος, ὁμοίως

κρουπα†λίας· κλεῖδας

κρουπεζούμενος ⟨—υμένους?⟩· τὰ ξύλινα σανδάλια κρουπέζια λέγεται, καὶ ὑποδήματα ξύλινα, μεθ' ὧν τὰς ἐλαίας πατοῦσι. θέλει οὖν δηλοῦν, τοὺς τραχεῖς πόδας ἔχοντας

κρούπετα· ὑψηλὰ ἢ ξύλινα ὑποδήματα, ἢ γυναικεῖα

?κρύπτει· σκώπτει ⟨col. 707, 28⟩

κρουσιδημῶν (Ar. Eqq. 859)· κρουσιμετρῶν. ἀπὸ τῶν ἐν τῷ μετρεῖν ἀπατώντων

κρουσιμετρεῖν· ἐλλιπῶς μετρεῖν καὶ ἐνδεῶς. οἱ γὰρ φαύλως μετροῦντες συνέκρου(ο)ν τὰ μέτρα εἰς τὸ ἀποπίπτειν τὰ μετρούμενα. ἐντεῦθεν καὶ τὸ παραλογίζεσθαι παρακρούεσθαί φασιν

κρουσίης· ἐλλιπής (e. c. μέδιμνος)

κρουσίθυρον· μέλος τι οὕτως ἐκαλεῖτο

κροῦσιν· τὴν ὑπόκρισιν, τὸν παραλογισμόν. καὶ μουσικὸν ὄνομα [ad 37]

κροῦσις· τὴν πρὸς τὸ λεγόμενον ἐν ταῖς ζητήσεσιν ἀντίρρησιν καὶ παράκρουσιν οὕτω φασίν

κρουτεῖται ⟨scrutatur⟩· κοκκύζει

κρυβάζει· ἀποκρύπτει ⟨4657⟩ [41. 42]

κρυβηλός· κρυπτὸς πύργος

κρύβες· νεκροί

κρυβησία· νεκυσία

κρυβήτας· τετελευτηκότας

κρυερήν· ψυχράν. κρυσταλ(λ)ώδη

COD. 95 Κρητίδαι Phot. 178, 15 Κρεοντίδαι Th. Bergk. Pind. N. VI 41 97 κρόκος 99 κρόσσαι. κρόσσας, κλίμακας ἄλλας 4200 κρωσσοὺς — ῥαμα| 1 ὑέλλου 6 κρόταλος ᵃ pr. m. mutatum in κρόταφος 8 κρούς 9 cf. μυλώτατον 13 κρόττα, ἐκπεπαυμένα — |μμένα ⟨15 κρότωνες· ὁμοίως Hippocr. II p. 267?⟩ 16 κρότονοι, κρότονες (cf. col. 242, 7788 et κ 3671) 18 κικαὶ αἰγύπιον — σισαμὶν (ζῶν est κροτών) 28 cf. ἀμφίλινα 33 κρουσιμετρεῖν — ἀπαντώντων 34 λετρούμενα 35 κρουσιής 36 |ρος, μέρος τὶ 39 |κίζει

HES. 96 Κρόντωνας· ὁμοίως ⟨4215⟩ 98 κρόπιον· ἀξίνη δίστομος ⟨276. 4275⟩ 4203 κρόρας πύργων (M 258)· τὰς ἀναβαθμίδας τῶν τειχῶν 11 κροτήσατε χεῖρες (Ps. XLVI 1): ἐπαινέσατε ταῖς χερσίν 15 †κρόττονες· ὁμοίως ⟨4196⟩ 27 κρουνῶν (Δ 454)· ῥευμάτων Ad 37 καὶ †τῶν πρὸς τὸ λέγειν ἐν ταῖς ζητήσεσιν ὑποκρούονται 41 κρύβδα (Σ 168)· κρυφιμένως 42 κρύβδην (λ 454)· λάθρα

κρυερόν· φρ(ι)κτόν. μισητόν. ἀναιδές. φοβερόν. ἐλεεινόν, οἰκτρόν, δεινόν, χαλεπόν. πονηρόν, κακόν, δυσχερές [49]
κρυμνός ἢ κρυμός· πάγος, ψῦχος, μέγα ῥῖγος (Eur. fr. 683, 3)
† κρυμυεῖ ⟨—ώσσει⟩· ῥιγᾷ, πέφρικε
κρυόεσσα (*E* 740)· φρικτή. μισητή. τραχεῖα [53]
κρύος (Aesch. Sept. 834)· ῥῖγος, ψῦχος [55]
κρυπτεύομαι (Eur. Hel. 541)· ἐνεδρεύομαι
κρυπτάδιος· λαθραῖος [58. 59]
κρυφανδόν· κρυφίως
κρυφῇ (Soph. Ant. 85)· λάθρα, ἀδήλως, κρυπτῶς
† κρυφίνους· ὑπούλους
κρυψίνους (Xen. *KII* 1 6, 19)· δόλιος, πανοῦργος
κρυώδους· φρικώδους
κρώβιον· δρέπανον ⟨4275⟩
κρωβύλος (Thuc. I 6)· ὁ μαλλὸς τῶν παίδων, ἢ ὁ κόρυμβος τῆς. ἐκ πλοκῆς γάρ ἐστιν ἀνηνεγμένη ἀπὸ μέσου τοῦ μετώπου ἐπὶ τὴν κορυφήν. οὕτω δὲ καὶ ὁ ῥήτωρ Ἡγήσιππος, καὶ † δήγγος ἐκαλεῖτο Κρωβύλος (Aeschin. 9, 35. 10, 31). καὶ ὁ μαλλὸς τῶν αἰδοίων
Κρωβύλου ζεῦγος· παροιμία [ad 67]
κρώζειν· ὡς κόραξ κράζειν [69]
κρωκαλέον· παιδίον πανοῦργον ⟨4170⟩
κρωμακόεν· κρημνῶδες ⟨v. κλω—⟩
κρῶμαξ· σωρὸς λίθων
Κρῶμνα· πόλις Παφλαγονίας (*B* 855), καὶ † Θεσσαλίας [74]
κρωπίον· δρέπανον. τινὲς δὲ διὰ τοῦ β κρώβιον ⟨4265⟩
κρωσσοί· ὑδρίαι, στάμνοι, λήκυθοι
† κρωτάνεροι· βάνα.σοι. πολῖται. καὶ ἐξελευθεριῶται [78]
κτᾶναι· φονεύειν, ἀνελεῖν
κτάνειν· κτείνειν
κτάνθεν· ἀπώλοντο
κτάρα (Callim. fr. XXXVIII 1)· ἰχθῦς βραχύτερος πάντων ⟨v. ἴκταρα⟩ [83]
κτᾶται· ὠνεῖται [85]
κτᾶτο· ἐκτήσατο: ἀπέθανεν ⟨κτάτο⟩
† κτεανήχης· πένης
κτέανον· κτῆμα [89—92]
κτείς· κτένιον
κτεατίσασθαι· κτήσασθαι
κτένας (Aesch. Ag. 1594)· τοὺς τῶν χειρῶν καρποὺς καὶ τῶν ποδῶν. καὶ τὰ [σ]τήθη. μεταφέροντες ἀπὸ τῶν εἰς τὰς τρίχας ἐπιτηδείων κτενῶν. λέγουσι δὲ καὶ τὰς νωτιαίας πλευράς
κτένια· τῶν κιθαρῶν οἱ ὑπερέχοντες ἀγκῶνες λέγονται [97]
κτενωτή· ὑφαντή
κτενωτὴν τρίχα· τὴν ἐφαπτίδα. κτενωτὴν τὴν ὑφαντήν, τρίχα δὲ ἐπεὶ τὰ ἔρια τρίχες εἰσὶν τῶν προβάτων [4300]
κτέρεα (α 291)· ἐντάφια
κτέρες· νεκροί. καὶ ἀκτέριστοι οἱ ἄταφοι
κτερίζω· κτῶμαι. † σκυλεύω. ἐνταφιάζω
κτερίσαι καὶ κτερίξαι (α 291)· θάψαι, ἐνταφίασαι
κτερίσαι ⟨—σματα?⟩· πάντα τὰ εἰς τιμὴν τοῖς κατοιχομένοις ἐπιφερόμενα
κτηδών· τριόδους
κτήματα· πάντα τὰ ὑπάρχοντα
κτήνεα (Call. Dian. 125)· βοσκήματα
κτήνη (Aesch. Ag. 122)· χρήματα [10]
κτησάμενος· λαβών. ἔχων [12. 13]

COD. 51 cf. 4118 et στιβιᾶν 57 ἀρχαῖος 60 κρυφάνδων 62 κρυψίνους Cyr. κρυφίμους? 65 κρόβον 66 κροβαλὸς ὁ ὅμαλος — κρόβουλος καὶ ὁμαλὸς 67 κροβύλου 71 κρωμακ.εν, κριμνῶδες 73 Κρώμνα 75 κρόπιον — κρόβιον ⟨4198⟩ 77 κρωτᾶνερ (Lacon.)· οἱ? ⟨80 κτανεῖν? καίνειν?⟩ 83 κτᾶσθαι 84 ὀνεῖται 87 πύνης 4305 κατεχομένοις ἐπιφέρομεν 6 κτήδων, τριώδους (Phot.) 8 χρήματα 9 βοσκήματα

HES. 49 κρύμα (*E* 488)· εὔρυμα 53 κρυόεσσα ἰωκή (*E* 740)· ἡ φρίκη καὶ φοβερὰ βοή 55 κρυπτάδην (*Z* 161)· λαθραίᾳ, κρυφιμαίᾳ 58 κρύσταλος (ξ 477)· τὸ πεπηγὸς ὕδωρ ὑπὸ κρύους 59 κρύφαλον· σαβάκανον ⟨κεκρύφαλον· σαβακάθιον⟩ Ad 67 ταττομένη ἐπὶ τοῖς ὑπερβαλλούσῃ κεχρημένοις πονηρίᾳ. μετενήνεκται δὲ ἀπὸ πορνοβοσκοῦ τινος ...... 69 κρωδετής, ὁ δετρός 74 κρώζει (Ar. Av. 2)· κράζει (ordo κρώζει· κεκράξεται) 78 κτᾶ (*Φ* 236)· ἔκτεινε Ad 79 [κτᾶν·] 83 κτάσθαι (*O* 558)· ἀναιρεθῆναι. κτανθῆναι 85 κτάτεσι (*E* 154)· κτήμασι 89 κτεάνων (Greg. Naz. C. XVI 5 p. 104 Dr.)· κτημάτων 90 κτέαρ (Greg. Naz. C. XVI 6 p. 104 Dr.)· δῶρον. κτῆμα. γέρας. σκεῦος 91 κτεάτεσι (*E* 154 al.)· κτήμασι, χρήμασιν (Greg. Naz. C. XVI 7) 92 κτείνει (ι 408)· φονεύει, ἀναιρεῖ 97 κτενώμεθα (*Λ* 667)· ἀναιρούμεθα 4300 κτέρας (*K* 216)· κτῆμα 10 κτηνωδέστερα· ἀλογώτερα (cf. Nicet. David p. 3, 13)· κτήνη γὰρ τὰ ἄλογα 12 κτῆ-
δ
σις (Prov. VIII 18)· πλοῦτος 13 κτήτορες (Act. Ap. IV 34)· οἰκί κτῆσται

κτιδέα (Κ 335)· γένος περικεφαλαίας. καὶ κτὶς δέ ἐστι ζῷον ὅμοιον γαλῇ, οὗ τὸ δέρμα εὔθετον εἰς περικεφαλαίας. τινὲς δέ φασι δορὰν λύκου

κτιλεύσασθαι ἢ κτιλώσασθαι· συληθῆναι ⟨συνεθίσαι?⟩

κτιλίς· τιθασσός. πρᾶος. ἡγεμών

κτίλον (sch. Pind. P. IV 31)· συνήθη

κτίλος (Γ 196)· ὁ προηγούμενος τῆς ποίμνης κριός

Κτιμένη· κατῳκισμένη. καὶ πόλις Θεσσαλίας

κτίμενον· τὸ οἰκούμενον

κτίσαι· ἱδρῦσαι. οἰκίσαι (sch. Aesch. Prom. 815). ἄρξασθαι [22. 23]

?κτίτερ· κτίστης

κτίται (Eur. Or. 1621)· κτίστορες

(κτιῶ)· κτίσω. θήσω. ἀπάρξομαι. ποιήσω

κτυπεῖ· τῇ χειρὶ κρούει [28]

κτυπία· ὁ ἐπιθαλάμιος κτύπος

κτυπίων· τῶν ἐπικρουμάτων τοῦ θαλάμου, ἃ ἐπικτυποῦσιν ἔξωθεν, ὅταν συγκατακλίνηται τῷ νυμφίῳ ἡ γημαμένη

κτύπος· ψόφος. βροντή

†κτύναι ἢ κτοῖναι· χωρήσης προγονικῶν ἱερείων. ἢ δῆμος μεμερισμένος

κτωμένοις· κεκτημένοις

κύαθος· σταγών, μικρὸν μέτρον. ἢ ἀντλητήριον [35]

κυαίνων· ἔγκυος ὤν [39]

κυαμεύειν· κληροῦσθαι

Κυαμίτης· ὁ †πάγκος καλούμενος

κύαμος· ὄσπριον. [ad 40] ἢ ὁ κλῆρος. καὶ τὸ ὑπὸ τὴν θηλὴν τοῦ μαστοῦ πρῶτον συνιστάμενον γάλα. καὶ τὸ Αἰγύπτιον (Hippocr. II p. 850 K) κιβώριον λεγόμενον καὶ †χαλούμενον ⟨κολοκάσιον?⟩

κυαμοτρώξ (Ar. Eqq. 41)· ἐν ταῖς διαψηφίσεσι κυάμοις ἐχρῶντο καὶ ἐλάγχανον κυάμῳ, καὶ τοὺς τὸν λευκὸν κύαμον λαβόντας εἰληχέναι ἐνόμιζον

κυάμῳ ἐκκλησιαστικῷ· ψήφῳ

κυάμῳ πατρίῳ· Σοφοκλῆς Μελεάγρῳ (fr. 370), ὡς καὶ τῶν Αἰτωλῶν τὰς ἀρχὰς κυαμευόντων. διεκλήρου(ν) δὲ αὐτὰς κυάμῳ καὶ ὁ τὸν λευκὸν λαβὼν ἐλάγχανεν. ἀνάγει δὲ τοὺς χρόνους, ὡς καὶ ἐν Ἰνάχῳ (fr. 268). κυαμοβόλως ⟨—ολῶ σε?⟩ δικαστήν [44—46]

κυανέων (Hesiod. Opp. 497 = 528)· Μαύρων, Αἰθιόπων

κυανόν· εἶδος χρώματος οὐρανοειδές

κυανόπεζα· μελανόπους (cf. Λ 628)

κυανός· θαλάττιον ὕδωρ. καὶ ὄρνις (Ar. HA. IX 18, 3) [51]

κύαρ· τὸ τῆς ῥαφίδος τρῆμα (Hippocr. II p. 97). καὶ τὸ τῆς κώπης †τοῦ μήλου

Κυάρη· ἡ Ἀθηνᾶ

†κυβάβδα, αἷμα. Ἀμαθούσιοι

Κύβαβος· θεός (Combabus)

†κυβαΐζοντες· λάσωνες [57]

κυβάσαι· καταστρέψαι ⟨cf. γυβᾷ⟩

?κύβας· συρός

κύββα· ποτήριον

κύβεθρα· τὰ τῶν μελισσῶν ⟨cf. σίμβλαι⟩

κυβεῖον (sch. Aeschin. 8, 22)· τόπος, εἰς ὃν συνῆσαν κυβεύσοντες· ὃ νῦν τόπον δεξιόν

Κύβελα· ὄρη Φρυγίας. καὶ ἄντρα. καὶ θάλαμοι

Κυβέλη· ἡ μήτηρ τῶν θεῶν

κυβερνᾷ (Menand. p. 213)· ἰθύνει. διοικεῖ [66]

κύβεσις ἢ κίβισις· πήρα

κυβεῦσαι· παῖξαι. [ad 68] χλευάσαι

κυβευτήν (Soph. fr. 862)·

σοφὸν κυβευτήν, ἀλλὰ μὴ στένειν τύχην

τὸν τοῖς κύβοις χρώμενον. ἐπιστήμην γάρ τινα ἐδόκουν τὸ [δὲ] δεξιῶς χρῆσθαι. ἐπιστημονικωτέραν τὴν πεττείαν τῆς κυβείας ἐνόμιζον

†κυβέβις· γάλλος. κίναιδος. μανιῶν ⟨4639⟩

γγ

COD. 21 οἰκῆσαι 26 θύσω ⟨30 κτυπιῶν⟩ 35 ου β' 40 μεστοῦ 41 εἰνηχέναι 42 ἰνκαστικῷ Post 42] 39. 38 43 καὶ ὅταν λ| ⟨50 ὄρνις] κύανος⟩ 52 τρίμμα 62 κυβείου — συνίεσαν κυβεύσοντες — τόπος δεξιός ⟨63 θαλάμαι?⟩ 65 θύει 67 ἡ Cf. 2594. 2600 69 τυχεῖν

HES. 22 κτίσμα (Sirac. XXXVIII 45)· ποίημα, οἰκοδόμημα 23 κτίστης (LXX)· ποιητής, πλάστης 28 κτυπίων (Η 479)· κτύπων. βροντῶν 35 κυάθους (Exod. XXV 29)· σκαφιώλια. ὠάρια σιδηρᾶ, οἷα κύαθος. δέχεται ὑγροῦ τινος οὐγγίας δύο 39 κυαιστεωμά-

γ'

ριοι· βασανισταί Ad 40 φάβα με 44 κυανέη (Ε 345)· μελαίνη. φαιά 45 κυανέῃσι (Λ 528)· φαιαῖς. μελαναῖς 46 κυάνεος· μέλας. σκοτεινός· ἐλέλικτο δράκων (Λ 38) μέλας ἐν τῷ ἀναφορεῖ 51 κυανοχαίτης (Υ 144)· μελανόθριξ. Ποσειδῶν 57 κύβ, τὸν ἔνθου...ντα, ἢ τὸν Ἑρμῆ ⟨κύβηβον — κύβον⟩ 66 κυβερνήσεις (I Cor. XII 28)· προνοητικαὶ ἐπιστομαὶ ⟨—ῆμαι⟩ καὶ φρονήσεις Ad 68 ταβλίσαι.

κυβηβᾷ· θεοφορεῖται. κορυβαντιᾷ

Κυβήβη· ἡ μήτηρ τῶν θεῶν. καὶ ἡ Ἀφροδίτη ...... καὶ Φρυγῶν (Charon Lamps.). [ὁ] παρ' ὃ καὶ Ἱππωναξ φησί·

καὶ διόσκουρος Κυβήκη καὶ Θρηΐκη Βενδῖν

ἄλλοι δὲ Ἄρτεμιν καὶ ὑποδήματα (—ά τι?) παρὰ Ἀρκάσιν

κύβηβος (Cratin. fr. IX p. 65)· ὁ κατεχόμενος τῇ μητρὶ τῶν θεῶν

κυβηλικὸν τρόπον (Com. an. CXLV) ⟨4536⟩

κυβηλιστάς (—ικτάς)· καὶ κοβάλους †τὰς κακούργους λέγει

κύβηλις (Lycophr. 1170)· μάχαιρα. ἄμεινον δὲ πέλεκυν, ᾧ τὰς βοῦς καταβάλλουσι

κυβηλίσαι· πελεκίσαι· κύβηλις γὰρ ὁ πέλεκυς [77. 78]

κύβηλις· τινὲς τὴν τυροκνῆστίν φασιν. ἔπαιξεν δὲ ὁ Κρατῖνος (p. 198) παρὰ τό·

χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν

†κύβη· κυβευτήν

†κύβηνα· σκήνωμα [82]

κυβησίαν (κύβησιν?)· πήραν

κυβησίνδα· ἐπὶ κεφαλήν, ἢ τὸ φορεῖν ἐπὶ νώτου, ἢ κατὰ νώτου ⟨2599⟩

†κυβισίς· κήλη

κυβητίζω (κυβιστάζω?)· ἐπὶ κεφαλὴν ῥίπτω

κυβιτίζω (Epicharm.)· τοῖς ἀγκῶσι πλήττω

κυβιτόν (Siculi)· ὁ ἀγκών

κύβον (Ath. 114 A)· τετράγωνον (ἄρτον)

κύβος· πᾶν τετράγωνον. ἢ σχῆμα γεωμετρικόν. καὶ ἀριθμός τις. καὶ ᾧ οἱ κυβευταὶ χρῶνται. ἐκαλεῖτο δὲ τοῦ βόλου σχῆμα. καὶ παρὰ τοῖς μεταλ(λ)ικοῖς κύβος. καὶ οἱ Σαλαμίνιοι λέγουσι κύβον τὸ τοῦ ἱματίου σημεῖον, Πάφιοι δὲ τὸ τρύβλιον. (ἡ ὀσφύς)

κύβωλα· ἀγκῶνα. [ad 91] ἢ μεγάλα ὀστᾶ, καὶ ὠλέκρανα ⟨4719⟩ [92—94]

κυδάγχας· μάχας. λοιδορίας

κυδαγχόμενα· λοιδορούμενα

κυδάζει· ταράσσει. λοιδορεῖ

κυδάζεσθαι (Aeschyl.)· λοιδορεῖσθαι

κυδαίνει· τιμᾷ, θαυμάζει. ἐγκωμιάζει [4400]

κυδαίνεται· δοξάζεται, σεμνύνεται

κυδαλίμη· ἔνδοξος, τιμία

Κυδαντίδαι (Hyperides)· δῆμος τῆς Πτολεμαΐδος φυλῆς

κυδαξόμενα· λοιδορησόμενα [5]

κύδαρ· τάφος ⟨2451⟩

κύδαρος (Antiphan. fr. LXXXIX)· νεὼς εἶδος

κυδάττειν· ἐπιφωνεῖν

κύδεϊ γαίων (Α 405)· τῷ καθ' ἑαυτὸν ἀξιώματι (γαυριῶν)

κύδηνεν (Ψ 793)· ἐδόξασεν. ἐμετεώρισε κατὰ διάνοιαν

κυδιάνειρα· μεγάλους καὶ ἐνδόξους τοὺς ἄνδρας ποιοῦσα [12]

κυδίας· τὰ ἄνθη τῶν ὀδόντων

κύδιμος· ἔνδοξος, σεμνός, τίμιος (cf. Greg. Naz. C. VI 21 p. 221 Dr.)

κυδίμων (Pind. Ol. XIV 34)· τὰ αὐτά

κύδιον (Eur. Alc. 960)· κρεῖττον, αἱρετώτερον [17]

κύδιστε· [ad 18] σεμνέ, τιμιώτατε

κύδνος· κύκνος

κυδοιμός (Κ 523)· πόλεμος. θόρυβος, ταραχή

κυδοιδοπᾷ (Ar. Pac. 1152)· ταράσσει, θορυβεῖ, κυκᾷ [22]

κῦδος· δόξα, ἀρετή, νίκη, τιμή, ἀριστεία· λοιδορία, κακολογία (κύδος)

κυδρή· [ad 24] σεμνή, τιμία, ἔντιμος

κυδρός· ἔνδοξος, καὶ τὰ ὅμοια. γαυριῶν. πεποιθώς. (Ἴων) Εὐρυτίδαις (fr. 13). †συγκοπὸν Καλλίστρατος πεποιθώς [26]

Κύδωνες (γ 292 Call. Iov. 45 D 197)· ἔθνος

κυδώνιον· μέγα, καὶ ἀξιόλογον. ἢ ἀπατηλόν, δόλιον. λοίδορον (Aeoles). καὶ τὸ

COD. 71 κυβῆκαι — κορβαντιᾷ 71ª κυβήκη — ἱππόναξ καὶ ὑπ... Ἀρκάσιν ante [ἡ] 72 κύβηκος 75 κυβηλίς 76 πελεκῆσαι 79 κύβιλις — τυροκνιστήν — θεὸν — κυβινδίν 82 h. e. κύβηνδις (pro κύμινδις)· γλαῦξ ⟨83 κίββα, κίρβα, κύβεσις κίβισις κύαβη⟩ 90 κῦβος — μεταλικοῖς cf. 4391 et Simarist. Ath. IX 399 A 91 κύβλα, κῶλα. ἡ ὀσφὺς ἢ μ. ἠολέκρανα 97 κυδάσσει ⟨4408⟩ Tarentini? Post 98] 4404 4409 κυδηγαίων 10 κύδηνεν — ἐμεταιώρησε 12 ἡ — δοξάζουσα 21 κυδοιδοπεῖ (cf. ἰδοιδοπεῖ) 25 εὐρύτιδις

HES. 77 κυβηστήρ, πηδήτας (Eur. Phoen. 1158)· τινὲς ὀρχηστὰς ποικίλους 78 κυβηακή· πραγματεία. κύβευμα 82 κυβήναις· γλαῦξαις ⟨4401⟩ Ad 91 [ἡ ὀσφύς] 92 Κυδαθῆναις· ἔνδοξος Ἀθηναῖος 93 Κυδαθηναῖος· δῆμος τῆς ἀφυλῆς τῆς Πανδιονίδος ἐν ἄστει 94 Κυδαθόν· ὁμοίως 4400 κυδάναν· τὴν γλαῦκα ⟨4382⟩ 5 κυδάϊ· ἀρετῇ 12 κυδιανείρῃ (Ζ 124)· τῇ τοὺς ἄνδρας δοξαζούσῃ 17 κυδιόων· σεμνυνόμενος. χαίρων (Ο 266). δόξῃ ἐπαιρόμενος (Ζ 509) Ad 18 ἐνδοξότατε (Α 122) 22 κυδοιμῶν (Iob. XXVIII 25)· θορύβων, ταραχῶν Ad 24 ἔνδοξος (Σ 184) 26 κυδύλιον· ἔνδοξον (κύδιμον)

μῆλον. Κυδωνία δὲ πόλις Κρήτης. καὶ τὸ φυτόν (Arist. fr. CXCVII)
κυέει· ἐγκυμονεῖ, ἐν γαστρὶ ἔχει
κύει· ἐγκύμων ἐστί, γεννᾷ [31]
κύεσσαν (Dor.)· κύουσαν [33]
Κυζικηνοὶ στατῆρες (Dem. 914, 11) [ad 34]
κύημα (Plat. Civ. 461 C)· τὸ κατὰ γαστρός. καὶ ἡ προβολὴ τῶν φυτῶν (3229)
κυηρόν· ἔγκυον. ἁπαλόν, βλαστόν
κυήσατο· ἐν γαστρὶ ἔσχεν [38]
Κυθέρεια (Hesiod. Th. 198)· ἡ Ἀφροδίτη. καθ' †Ὅμηρον μὲν †οὐχ ὅτι προσέκυρσε Κυθήροις, ἢ ὅτι κευθόμενον ἔχει ἐν ἑαυτῇ τὸν πάσης ἐρωτικῆς φιλίας ἐξηρτημένον τὸν κεστὸν ἱμάντα, ἤγουν τὸν ποικίλον. ἢ ὅτι οἱ ἐρῶντες ἐν αὐτοῖς κρύπτουσι τὸ ἐρωτικὸν πάθος
κυθηγενέσι (Callim.?)· κρυφογενέσιν
Κύθηρα (Pherecr. p. 322 Thuc. IV 53)· νῆσος Κρήτης. καὶ πόλις Θεσσαλίας (Θαλασσία?). τινὲς δὲ νῆσον πρὸ Μαλέου. Μάλεον δὲ ἀκρωτήριον τῆς Λακωνικῆς [42]
κυθηροδίκης Thuc. I. I.)· ἀρχή τις τὰ ξενικὰ διοικοῦσα
Κύθηρος (Dem. 1041, 12)· δῆμος τῆς Πανδιονίδος φυλῆς
Κυθήρων· Ἀφροδίτης ἡ πόλις (Κύθηρα)
κυθνώλης· ἐξώλης (4627). ἔνιοι δὲ πεποιῆσθαι τὴν λέξιν φασί(ν) ἀπὸ Κύθνου τῆς νήσου· ἀπολέσθαι γὰρ αὐτὴν ὑπὸ Ἀμφιτρύωνος (Aristot. Zenob. IV 83)
κυθνωνύμου (Antimach. EtGud. 352, 7)· [ad 47]
κυθνόν· τὸ ἄκυον φάρμακον. καὶ πολύκυθνα πολύσπερμα. κυθνὸν γὰρ τὸ σπέρμα
κυθώδεος· δυσόσμου
κυίντατα· οἰκτρότατα (4619)
κυΐσκει· συλλαμβάνει
κυΐσκεται· ἔγκυος γίνεται
κυκᾷ· ταράσσει τὰ κάθυγρα ἄλφιτα (κ 234?)
Κύκαλα· δῆμος τῆς Αἰαντίδος φυλῆς [55. 56]
κυκῇ (Dor.)· ταράσσει
†κύκημα· τάραχος [59]
κυκήθραν· ταραχήν [61]
κυκήσεων· ταραχῶν [63]
κύκκαρος· τὸ ἐλάχιστον
κύκλα (Ε 722 al.)· οἱ κύκλοι. τροχοί. ἢ χοροί
κυκλάζει· κύκλῳ περιέρχεται
κυκλαίνει· στρογγυλοῖ
κυκλάμινος· πόα τις ὑπὸ τῶν ῥιζοτόμων [69. 70]
κυκλήσομεν (Η 332)· ἀνάξομεν, ἐπ' ἁμαξῶν κομιοῦμεν
κύκλιοι αὐλοί· οὕτω τινὲς ἐκαλοῦντο. εἶεν δ' ἂν οἱ χορικοί
κυκλιοδιδάσκαλον (Ar. Av. 1403)· κύκλιον χορὸν διδάσκοντα
κύκλιοι χοροί· .....
Κυκλοβόρος (Ar. fr. inc. LXXXVI)· ποταμός. τινὲς δὲ χαράδραν μετὰ ψόφου ῥέουσαν
κύκλοι· τροχοί. ὀφθαλμοί (Soph. OT. 1270)
κύκλος· περίβολος. καὶ ἐν ἀγορᾷ τόπος, ἔνθα σκεύη καὶ σώματα πιπράσκονται. καὶ ἐν ταῖς κωμῳδίαις ὑπότροχόν τι κατασκεύασμα. καὶ παρὰ τοῖς γεωμέτραις ἐπίπεδον σχῆμα ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον. καὶ εἶδος ἱππασίας
κυκλοτερές (Δ 124?)· περιφερές. ἐπικαμπές
κύκλους καὶ τροχούς· τὰ τείχη. τροχὸν δὲ τὸ τεῖχος, ὡς Σοφοκλῆς Ἡρακλεῖ (fr. 208)· Κυκλώπιον τροχόν
κυκλοφορούμενος· κατὰ κύκλον φερόμενος
†κυκλογάλων· γλίσχρων, σμικρολόγων

COD. 37 κυήσας ⟨39 Ἡσίοδον μὲν οὖν?⟩ 41 προμαλέου προμάλεον 43 κυθηροδιη 46 κυθμώλης — κύδμου 47 ἢ τοῦ ἂν 49 cf. ὕσκυθα 53 ἢ τὰ 57 κυκεῖ 62 κυκησ, κυκέων, ταραχῶν 68 κυκλάμενος 71 κυπλείσομεν 72 κύκλειοι 73 κύκλειον, ὁ — κυκλεῖον 74 κύκλειοι 78 κυκλω| 79 ἡρακλέα κυκλώπιον

HES. 31 κυέουσαν (Ψ 266)· ἔμβρυον ἐντὸς ἔχουσαν 33 κυζιθμός (π 163)· ἡ ἀσαφὴς τῶν κυνῶν βοή ⟨4578⟩ Ad 34 διεβεβόηντο ὡς εὖ κεχαραγμένοι. πρόσωπον δὲ ἦν γυναικὸς ὁ τύπος 38 κύθεν (γ 16)· ἔκρυψεν, ἐκάλυψεν 42 Κυθηρίῳ (Κ 268)· τὸ ἐκ Κυθήρων Ad 47 αἰσχρὸν κλέος ἔχοντος. ἢ οὐ ἂν τις ἐπικρύψειε τὸ ὄνομα διὰ τὰς συμφορὰς (καὶ) τὰς πράξεις. ἢ ἀξίου κεκρύφθαι 55 κυκεῶ (Plat. Civ. III 408 B)· κυκεῶνα ⟨Moer.⟩ 56 κυκειῶ (Λ 623)· πόμα ἐκ πολλῶν βοτανῶν συγκείμενον φαρμακίας, ποτὸν δηλητήριον 59 κυκηθήτην (Λ 129)· ἐταράχθησαν, δυϊκῶς 61 κυκεῶ (κ 290)· κυκεῶνα. ἐξ οἴνου καὶ μέλιτος καὶ ὕδατος καὶ ἀλφίτων ἀναμεμιγμένον πόμα. κατὰ ἀποκοπὴν τῆς να συλλαβῆς. τὸ δὲ αὐτὸ καὶ μετὰ τοῦ ῑ κυκίω (Λ 623) 63 κυκήσωμεν (Η 332)· ἐπανάξωμεν 69 κύκλετε· ἀκούσατε ⟨κέκλυτε⟩ 70 κύκλευον ⟨κυκεών⟩· εἶδος πόματος ἐξ εἰδῶν συγκείμενον

Κυκλώπων ἕδος (Trag. adesp. fr. 212)· ἐπειδὴ Κύκλωπες ἐτείχισαν τὰς Μυκήνας
Κυκλώπων (non ζ 5)· χαλκέων
κύκνος (Callim. Ap. 5)· ὄρνεον [85]
κυκύιζα· γλυκεῖα κολόκυντα
κύκυον· τὸν σικυόν ⟨cucumis⟩
κυκῶν· ταράσσων. ἀναζέων [ad 88] [89. 90]
κύλα· τὰ ὑποκάτω τῶν βλεφάρων κοιλώματα. τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς †μῆλα. τὰ ὑπώπια ⟨4505. 4515⟩
κυληβίς· κολοβή ⟨4511⟩
†*κυλικία*· ἰδιὰτοῖς ἐπὶ τόπον. Ἰόβας
κυλικήρυτον αἷμα· ὡς τὸ κοτυλήρυτον, οἷον πολύ
Κυλικράνων· Πολέμων (fr. LVI) φησίν, ὅτι τοὺς ὤμους κεχαραγμένοι ἦσαν κύλικες. οἱ δὲ τοὺς ὑπὸ τῇ Οἴτῃ Ἡρακλεώτας ἀπό τινος ...... ὠνομάσθαι (Hermipp. fr. IV p. 97) [96. 97]
κύλινδροι· †ὄφεις. καὶ σφραγῖδος εἶδος (Plin. h. n. XXXVII 5). καὶ ὅλμοι ⟨q. v.⟩. καὶ λίθοι στρογγύλοι [99]
κυλίνθιον· προσωπεῖον ξύλινον ⟨4583⟩
κύλιξ· κοτύλη, ποτήριον
κυλίχνη (Arist. fr. XI p. 1153)· φιάλη. καὶ ἡ ἰατρικὴ πυξίς
κυλιχνίδες (Achaei fr. 14)· πυξίδες. ἄλλοι λιβανωτίδες. ἕτεροι ἀγγεῖα κεραμεᾶ. ἄλλοι κύλικας. ἄλλοι πυξίδας ἰατρικάς (Hippocr.)
κύλλα· σκύλαξ. Ἠλεῖοι
†*κύλλαβοι*· ὑπώπια ⟨4491. 4515⟩ [4506. 7]
κυλλάραβις· δίσκος. ἢ γυμνάσιον ἐν Ἄργει
κύλλαστις (Arist. fr. I p. 1047)· ἄρτος τις ἐν Αἰγύπτῳ ὑποξίζων ἐξ ὀλύρας [10]
†*κυλλήβδην*· κολοβόντα. οἱ δὲ κέρατα κολόβια παρ' Ἱππώνακτι (fr. 122)
?*κυλαίνων κάτω*· Σοφοκλῆς Φαίδρᾳ (fr. 620). τὰ ὦτα καταβαλών, ἧπερ οἱ σαίνοντες ..... ποιοῦσιν·
ἔσαιν' ἐπ' οὐρὰν ὦτε κυλαίνων κάτω
οἷον·
οὐρῇ μέν ῥ' ὅγ' ἔσηνε καὶ οὔατα κά(β)βαλεν ἄμφω [13]
Κυλλήνιος (ω 1)· ὄνομα κύριον
† *κύλλια*· ὑπώπια μελανά ⟨4491. 4505⟩ [16. 17]
κυλλός (Hippocr.)· χωλός. καμπύλος. ⟨κολόχειρ⟩
?*κόλλοβος*· ξηρὰς συκῆ ⟨cf. μύσηλοι⟩
κύλλου πήρα· ζητοῦσι διὰ τί τὸ πορνεῖον Κύλλου Πήραν Ἀριστοφάνης εἴρηκεν ἐν Δράμασιν ἢ Κενταύρῳ (fr. IX)·
τὸ δὲ πορνεῖον Κύλλου πήρα.
ἔστι γὰρ χωρίον Ἀθήνησιν ἐπηρεφὲς καὶ κρήνη. ἀντὶ δὲ τοῦ Πέραν (Theognost. 101, 11) πήραν ἔφη
Κυλών(ε)ιον ἄγος· ἀπὸ ἱστορίας. τοῦτο δὲ λέγει σαφῶς Θουκυδίδης (I 126)
κῦμα· ὕδατος ἐπιδρομὴ βιαία. καὶ τὸ ἔτι ὂν ἐν τῇ κοιλίᾳ. καὶ τὸ γεννώμενον κύημα (Aesch. Cho. 128 Eur. fr. 107)
κυμάδας· ἐγκύους [24]
κυμαίνεται (Pindar.)· ταράσσεται
κυμαίνουσα· ταράσσουσα. οἰδαίνουσα. ὑπερβλύζουσα
κύμαρος· κόμαρος. βόστρυχος ⟨4506⟩ [28]
κυμάτια· τὰ χείλη, διὰ τὸ κυμαίνειν. ἢ αἱ ὑπεροχαί, παρὰ τέκτοσι καὶ λιθοποιοῖς (Exod. XXV 10?) [30]
κυματοφορτίδες· κόγχοι
κυματωγή (Herod. IV 196)· ῥαχία. αἰγιαλοῦ ὑπαγωγή
κύματα· ὑδάτων ἐπιδρομαὶ βίαιοι. κυήματα ⟨3229⟩. τὰ γεννώμενα. καὶ τὰ (ἐν) ταῖς κοιλίαις ἔτι ὄντα· καὶ δένδρα. καὶ ὄρη
κύμβαι (Empedocl. 226 Sz.)· ὄρνιθες [35. 36]
κύμβαλον· βακύλιον. [ad 37] εἶδος ὀργάνου μουσικοῦ

COD. 82 ἐτείχησαν (cf. Τιρύνθιον) 92 *κυληβίς*, ἄκαρπος κράμβη Theognost. 21, 19 94 *κυλίκρανον* — κύλικες — ὑπό τισι τῇ — ὀνομᾶσθαι 96 *κυλινδεῖ* 98 ὄρχεις! — πόλεμοι καὶ λίθοι 4500 προσώπιον (ΚΥΛΙΘΡΟΝ? cf. κύριθρα κυριττοί) 2 πῆξις 3 λιβανατρίδες — κεράμεα 4 *κύλλας*, κύλαξ 8 *κυλαραβίς* 9 *κυλλάς* τις — ὑπὸ ῥιζῶν ἐξολλύρας 11 cf. 4492 ἱππόνακτι 12 ἅπερ — ἔσται ἐπούρανὦτικυθλάννων. καὶ τὸ — οὔρημεν, ῥογέσηνε 18 μονόχειρ post 4517 20 διὰ τὸ π| — ἐπιφερὲς (cf. 2685) 26 οὐδεῦσα 27 κύτταρος Phot. 193, 2 34 cf. κόμβα

HES. 85 *κυκοίας*· προγόνους ⟨3303. 3826⟩ Ad 88 θρηνῶν ⟨κωκύων⟩ 89 *κυκοῦντος*· θρηνοῦντος 90 *κυκλοστάθμοις* (Hagg. I 4)· ὑψηλοῖς ⟨v. κολοστ—⟩ 96 *κυλίνδει* (P 688)· ἐπιφέρει. κυλίει 97 *κυλίνδεσθαι* (Λ 147)· ὁμοίως 99 (........) κυλινδούμενος (Θ 86), κυλιόμενος (Χ 414), περιστρεφόμενος 4506 *κυλλαίνει*· θυμαίνει ⟨σκυδμαίνει⟩ 7 †*κύλλαιος*· βόστρυχος ⟨4527⟩ 10 †*κυλλατούς*· τοὺς ὀφθαλμούς 13 *Κυλλήνη* (Β 603)· ὄρος Ἀρκαδίας 16 *κυλινδέσθαι* (Λ 147)· κυλίεσθαι 17 *κυλλοποδίων* (Σ 371)· χωλός 24 *κυμάγχη*· ἡ εἱρκτή ⟨κυν—⟩ 28 *κύματι κωφῷ* (Ξ 16)· ἤχῳ 30 *κύματι κωφῷ* (Ξ 16)· τῷ μὴ ἠχοῦντι, ἀλλ' ἀρχομένῳ μεγεθοῦσθαι 35 *κύμβαδον*, ἀκρότατον (Ο 535) 36 *κυμβαλικὸς* ⟨κυβηλ—⟩ *τρόπος*· τῷ πελέκει κακουργῆσαι Ad 37 βαβούλιον

κύμβας· ὄρνιθας. καὶ ... κοίλας καὶ περιφερεῖς. καὶ εἴδη ποτηρίων

κύμβαχος (Ε 586)· ἐπὶ κεφαλῆς, καὶ ἄνω τοὺς πόδας. καὶ τὸ ἀνώτατον μέρος τῆς περικεφαλαίας

κύμβη (Soph. fr. 123)· νεὼς εἶδος. καὶ ὀξύβαφον. καὶ πήρα ⟨cf. κύββα, κίββα⟩

κυμβίον (Com. V p. 555)· εἶδος ποτηρίου, καὶ πλοίου

κύμβοι· τὰ †ἐμπωλήματα ⟨ἐκπώματα?⟩ [43]

κύμβος· κοῖλος μυχός. βυθός. καὶ κεραμίου πυθμήν (Nic. Al. 129)

†κυμβατευταί· ὀρνιθευταί

κύμηχα· κύαμον

κύμινδις (Ξ 291)· εἶδος ὀρνέου

κυμίνδ†αλα· καταστροφή. Ταραντῖνοι

⟨κύμινον [Menand. fr. CCCLXIII]· τοῦτο ἐπὶ μικρολόγου ἔταττον⟩

κυμινοπρῖσται (Ar. Vesp. 1348)· οἱ φειδωλοί. ὁμοίως καὶ καρδαμογλύφοι

κυνάγχη· τέχνη, μηχανή. ἔνιοι τὸν διὰ χειρῶν δεσμόν. οἱ δὲ τὸ κυνάγχα (Hipponact. fr. 1) ἀντὶ τοῦ κλέπτα. καὶ νόσημα κυνῶν. καὶ ἀνθρώπων πνιγμός. καὶ εἱρκτή ⟨4524⟩

κυμορρόον· τὸν ὑπὸ τῶν κυμάτων ῥοῦν

κυνάδα(ς Theocr. XV 19 p. 483 Mein.)· κυνόσβατον, ἢ φυτόν, ὅπερ τὰς αἶγας νέμεσθαί φασιν

κυνάδες· αἱ ἀπομαγδαλιαί

Κυνάδης Ποσειδῶν· Ἀθήνησιν [ἐν]τιμᾶται

κυνάδης (Thessali)· ἀπελεύθερος

κυναίδης· λίαν ἀναιδής

κυνακίας· ἱμάντες, οἱ ἐκ βύρσης τοῦ σφαγιασθέντος τετράχειρι Ἀπόλλωνι βοὸς ἔπαθλα διδομένου

κυναλώπεκα (Ar. Eqq. 1067)· ἔνιοι κυνοφθόρον. οἱ δὲ διελόντες, κύνα ἄδικον ἀπέδοσαν

κυναλώπηξ (Com.)· Φιλόστρατον λέγουσιν οὕτω τὸν Ἀθηναῖον κωμῳδοῦντες. ἢ ἐξ ἀλώπεκος καὶ κυνὸς Λακωνικοὺς κύνας φασὶ γίνεσθαι

κυνάμυια (Φ 394)· ἀναιδής, ἰταμή, καὶ θρασεῖα. ὁ μὲν γὰρ κύων ἀναιδής· ἡ δὲ μυῖα θρασεῖα

κύναρος (ἄκανθα Soph. fr. 646)· φυτόν τι. καὶ μήποτε ἡ κυνόσβατος, διὰ τὸ τραχὺ (καὶ) ἀκανθῶδες· κύνα γὰρ ξυλίνην τὴν κυνόσβατον ὁ θεὸς ⟨oraculum⟩ λέγει [61]

κυνδάλη· παιδιά τις. καὶ οἱ μὲν ὑπομνηματισταὶ κυνδάλας τὰς (σ)κυτάλας ἀπέδοσαν, οἱ δὲ τὰ γεωμετρούμενα σχήματα· κακῶς. Κυνδάλους γὰρ ἔλεγον τοὺς πασσάλους καὶ κυνδαλοπα†ίστην τὸν πασσαλιστήν

†κυνδός· ἄπαικτος. ἀπαράλλακτος

Κύνδων· ποταμὸς ἐν Ἑλλησπόντῳ. οἱ δὲ ἐν Πελοποννήσῳ

†κυνεάγας· κυδώδων

κυνεγκέφαλος· ὁ τῆς ῥάχεως ἀπὸ κεφαλῆς εἰς τὰ αἰδοῖα φερόμενος γόνος

κυνέη (σ 377)· κυρίως μὲν ἡ ἐκ κυνείου δέρματος περικεφαλαία. καὶ ἡ οἰκία ⟨4579. 4632⟩

κυνεῖ· φιλεῖ. προσκυνεῖ

κύνειον θάνατον (Ar. Vesp. 898)· ἄγαν φοβερόν

†κυνελφεῖ· κρύπτει [71. 72]

†κυνέπασαν (Com. inc. CXLVI)· ἐξέδειδον σαν· ἔνιοι κυνέπασαν τὸ αἰδοῖον ἐπιτάνσπον οἷον ἐπέπασαν

†κυναιρίου, ἢ κυνουρίου· ἀργολύκου

κύνες· τοῦ ἵππου τῆς ὁπλῆς μέρος (Xen. Eq. I 15). καὶ ἧλοι (η 91). καὶ οἱ δράκοντες [76]

Κυνετίαν· ἤτοι Ἄρεως κόρην. ἢ Ἀθηνᾶν. ἢ Πειθώ [78]

κυνῆ (Soph. fr. 251)· περικεφαλαία. πέτασος. πῖλος Ἀρκαδικός. ἡ οἰκία ⟨4567. 4632⟩

κυνῆ Βοιωτία (Dem. 1377, 10)· ἐγένοντο γὰρ διάφ(ορ)οι. ἀλλ' αἱ ἐν Βοιωτίᾳ καλαὶ κυναῖ, ἃς οἱ κατ' ἀγρὸν ἐφόρουν

κυνηδόν (Ar. Nub. 491 Soph. fr. 650)· ὡς κύων

κυνθάνει· κρύπτει ⟨4570⟩

κύνθιον· προσωπεῖον ξύλινον ⟨4500⟩

COD. 51 τῶν — δεσμῶν — εἱρατή 50. 51 = 51. 50 53 ἀπὸ μαγδαλίας 55 Heuzey *le mont Olympe* p. 483 57 κυνάλοπι, ἐνταχυνόφθορον (sch. Call. D. 94) 58 ἢ ἐξαλήπεκος 60 ἢ κυνὸς βάθος — ξυλίνη τὴν κυνὸς βάτον ὁ θς̅ 70 ΚΥΝΘΑΝΕΙ? 72 κυναῖος 75 cf. μεσοκύνια 79 πεττάσος 83 προσώπιον

HES. 43 κύμ[β]ινον (Menand. fr. CCCLXIII)· τοῦτο ἐπὶ μικρολόγου ἔταττον 61 κύνας ἀργούς (Λ 50)· λευκούς, ἢ ταχεῖς κύνας 71 κύνεουν (ρ 35)· ἐφίλουν 72 κύνεος (Ι 372)· ἀναιδής 76 κύνεσι (Λ 4)· τοῖς κυσί 78 κυνζηθμός (π 163)· ἡ ἀσαφὴς τῶν κυνῶν βοή ⟨4578⟩

κυνίας· πίλους (Cretic.). ἢ χείρ (Maced.)
κυνίζει· μετὰ βλακ(ε)ίας περιπατεῖ
κυνίξεις ⟨—ιες?⟩· ἀκροβολισμοί
†κυνίσφειλον· ἀπατητικόν
Κύννα (Ar. Eqq. 765 Pac. 754)· ὄνομα πόρνης
Κύνν(ε)ιος· Ἀπόλλωνος ἐπίθετον
Κυννίδαι (Lycurg. or.)· γένος Ἀθήνησιν, ἐξ οὗ ὁ ἱερεὺς τοῦ Κυννείου Ἀπόλλωνος
κυνοβάμων· ἵππος τις οὕτω προσαγορεύεται
κυνοβλῶπες· κύνειον ὁρῶντες
κυνόγλωσσον (Nicand. fr. 71, 3)· πόα τις
κυνοδέσμη· δεσμὸς ἀκροποσθίας
κυνοειδής· ἀναιδής. κυνώπης
κυνοθαρσής (Theocr. XV 53)· ἀναιδής
κυνόκεντρον· πόα τις
κυνοκεφάλαιον· πόα τις, ἣν τινες ἀνεμώνην καλοῦσιν
κυνόμαλα· τὰ κοκκύμηλα [4600]
κυνοπρῖστις· ζῶόν τι
κυνοραῖσται· κροτῶνες [ad 2]
κυνοραϊστέων (ρ 300)· τῶν κροτώνων· ἀπὸ τοῦ ῥαίειν, ὅ ἐστι φθείρειν
κυνόροδον (Theophr. IV 4, 8)· κρίνον, ὅμοιον ὑακίνθῳ
κυνορχίας· βόλου ὄνομα
κυνός· τυφλοῦ [ad 6]
Κυνόσαργες· τόπος ἱερός. ὠνομάσθη δὲ ἀπὸ τοιαύτης αἰτίας. Διόμου φασὶ θύοντος Ἡρακλεῖ, κύων ἁρπάσας τὰ μηρία, ἔφευγε διωκόμενος. ἐκλήθη δὲ ὁ τόπος οὕτως, ἢ ἀπὸ τῆς λευκότητος τοῦ κυνός, ἢ τοῦ τάχους
κυνὸς μέλη †τοῦ οὔρεσθαι ⟨τὸ ὠρύεσθαι?⟩
κυνοσσόοι· θηρευταί [10]
Κυνόσουρα (Herod. VIII 76)· φυλὴ Λακωνική· καὶ ἄκρα τοῦ Μαραθῶνος, πρὸς τὴν Εὔβοιαν τετραμμένα. καὶ ἡ μικρὰ ἄρκτος.
καὶ πᾶς χερσοειδὴς τόπος. †καὶ οἱ Κυδωνιασταὶ οὕτω καλοῦνται
†κυνόλφη· σίλφη
κυνοῦπες· ἄρκτ†ος. Μακεδόνες
κυνοῦραι· ἀστράγαλοι
κυνουρία (Lycoph. 99)· ὅπου μετὰ χειμῶνος κῦμα ἐκβάλλει
κυνοῦχος· θυλάκιον, βαλάντιον, ἢ μαρσίππιον
κυνοφθαλμίζεται· ἀναιδῶς ἐμβλέπει
κυνόφαλοι (Com. an. fr. CXLVII)· Κορίνθιοι φυλή
κύντατα (Eur. Suppl. 807)· οἰκτρότατα ⟨4450⟩
κύντατον· ἀναιδέστατον. οἰκτρότατον. αἰσχρότατον
κύντερον (Θ 483)· ἀναιδέστερον. χαλεπώτερον. χεῖρον [22]
κύνυ· πίεσμα, τὸ ἀπὸ στεμφύλων ποτόν. Κύπριοι [24]
†κυνῶ· ἀσφάλειά τις. καὶ οἷον †ἀποχειχένωται
κυνώ· ἡ ἀναιδεστάτη
κυνώλης· ἐξώλης ⟨4446⟩
κυνῶπες· ἀναιδέστατοι [29. 30]
κύος (Ar. fr. inc. XXXIV)· κύημα †ἔγκυος. τὸ ἐν γαστρί
κύπαι· εἶδός τι νεώς. καὶ αἱ ἐξ ὕλης καὶ χόρτου οἰκήσεις ⟨4567. 4579⟩
κύπαλον· †μεμειρασμένον
Κυπάρα· ἡ ἐν Σικελίᾳ κρήνη Ἀρέθουσα
κυπαρίσσι†α· εἶδος ἀλεκτρυόνων [36. 37]
κύπασσις· περίζωμα. καὶ χιτῶνος εἶδος
κυπάται· κίναιδοι, μαλακοί
κύπελλα (Γ 248 Nicand. fr. 140)· ποτήρια
κύπελλον (Α 596)· εἶδος ποτηρίου ἄωτον ⟨τετραώτου?⟩
κύπερα (Iones)· τὰ σχοινία ἐκ κυπείρου πεπλεγμένα [43]

COD. 84 πῖλος — I. q. χύνις = χείρ (male Lobeck. φθείρ) 89 |νιος 90 |είον 62 κύνιον 94 ἀκροπαθείας 95 κυεῖς· ἀναιδεῖς κυνώπεις 4602 κρότωνες 3 |στένων — ῥέειν 5 |όρχιας 6 πόλις] Κῦνος B 531 7 Διώμου — θύοντες — μ.ρία 9 κυνοσσοῖοι 11 κυνὸς οὐρὰ — μαρανθῶνος 13 cf. κρουπεύς et κνωπεύς 23 κυνύπισμα — πότον (cf. λάκυρος) ⟨25 κυνώ — καὶ Ἴων ἀποκεκύνωται?⟩ 26 κυνώη c| στρ 28 ἀνεδ| 30 ἐγκα 38 κυπασίς

HES. 4600 κυνόμυια (Greg. Naz. C. XXXIV 6 p. 236)· ἀναιδής, καὶ ἰταμή, καὶ θρασεῖα. τοιαῦτα γὰρ τὰ ζῶα ὁ κύων καὶ ἡ μυῖα Ad 2 οἱ τοὺς κύνας πιπίζοντες ⟨Byzant.⟩ Ad 6 ἢ πόλεως (ὄνομα) 10 κυνός· ἀναιδοῦς 22 κυνεῖν· τὸ ἀσπάζεσθαι 24 κυνήρη· θρηνητική ⟨κινυρή⟩ 29 κυνωπίδους (δ 145)· ἀναιδεῖς ὄμμασι 30 κυνῶπις (λ 423)· ἀναιδής, ἰταμή 36 Κυπαρισσηίς (B 593. 519) καὶ Κυπάρισσος πόλις ⟨—εις⟩. καὶ τὸ δένδρον (ε 64) 37 κύπαρος· κυπάρους τὰ κοῖλα ἔλεγον ἀγγεῖα καὶ χωρητικά. διὰ τοῦτο καὶ τὰς τῶν σφηκῶν κατατρίσεις, καὶ τὰς τῶν αἰδοίων βαλάνους, ἐκ μεταφορᾶς κυπάρους λέγουσι. ὁ δὲ Θεόφραστος προάνθησίν τινα τῆς πεύκης καὶ τῆς πίτυος κύπαρον προσαγορεύει 43 κύπειρον (Φ 351)· ἄνθος ἵπποις ἐδώδημον

κύπειρος· φυτόν, ὃ καὶ ἐρίσκηπτον
κύπη· τρώγλη
Κυπρία πάλη· ἣν ἔνιοι πάμμαχον καλοῦσιν, οἱ δὲ ἄγροικον καὶ ἀπάλαιστρον· διὰ τὸ τοὺς ἐν Κύπρῳ ἀτέχνως παλαίειν [47]
κυπρῖνος (Arist. HA. II 9, 4)· ἰχθῦς ποιός
κύπριον· τὸ ἀρνόγλωσσον
Κύπριος βοῦς· ἐπὶ κοπροφάγου (καὶ) εἰκαίου τάσσεται τοῦτο, ἐπειδὴ οἱ Κύπριοι βόες κοπροφαγοῦσιν
Κύπρις (Abydeni)· πόρνη
κυπρογενέος προπόλου (Poet. lyr. Gr. fr. 133 p. 1071)· προαγωγόν
κύπρος· μέτρον σιτηρόν (Alcaei). ἢ κεφάλαιον ἀριθμοῦ (cifrae)
κυπτάζειν (Ar. Pac. 730)· διατρίβειν, στραγγεύειν. καὶ ἐνασχολεῖν. ἐπικύπτειν. καὶ χρονίζειν
κύπτει· κάμπτει, ἑαυτὸν κλίνει [56]
κυρβάδωμεν· κρύψωμεν ⟨4240⟩
Κύρβαντες (Soph. fr. 777 Call. Iov. 46)· Κορύβαντες
†κυρβάσια· ἐπιπλέον κροῦσιν
κυρβασία (Ar. Av. 486)· ὀρθὴ τιάρα. ταύτῃ δὲ οἱ Περσῶν βασιλεῖς μόνοι ἐχρῶντο. καὶ κορυφὴ ἀλέκτορος
κυρβ.άσαι· ἀποσκιρτᾶν ⟨col. 190, 26⟩
κύρβις (Ar. Av. 1354)· στήλη τρίγωνος, ἢ ξύλινος ἄξων, ἐν ᾧ τὸ παλαιὸν οἱ νόμοι ἐγράφοντο [63]
κύρει· ὑπάρχει, τυγχάνει
†κυρεῦσαι· φυτεῦσαι ⟨3563⟩
κυρηβάζεσθαι· λοιδορεῖσθαι. διαμάχεσθαι
κυρηβάσασθαι (Cratin. fr. LXIX)· διαμαχέσασθαι. ἀπὸ τῶν κριῶν καὶ τῶν τράγων· ἔνθεν καὶ τὸ κυρίσσειν
κυρηβάτης καὶ κύρηβος· ὁ ἀσελγὴς ἐν τῷ λοιδορεῖν
κυρήβια (Ar. Eqq. 254)· τῶν κριθῶν τὰ ἀποβρέγματα, καὶ κυάμων λέπυρα, καὶ τὰ τῶν κέγχρων ἄλφιτα
†κυρῆναι·
Κυρηναῖοι λίβες· ....
Κυρήνη (Ar. R. 1328 Th. 98)· πόρνη τις οὕτως ἐκαλεῖτο δωδεκαμήχανος, διὰ τὸ τοσαῦτα σχήματα Ἀφροδισίων ποιεῖν
κυρία ἐκκλησία (Ar. Ach. 19)· μία κυρία ἐκκλησία ἤγετο Ἀθήνησιν, ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονεῖν ἔδει
κυριάζεις· ἀποκακεῖς [75]
κυρίζεσθε· τρίβεσθε
κύριθρα· προσωπεῖα ξύλινα
(Κυρῖνος Laur. Lyd. I 5 p. 125 Bonn.)
κυρίξει(ν Aeschyl. Bassar.) [ad 78]· κέρασι μάχεσθαι
κύριον· ἴδιον, αὐθεντικὸν γραμμάτιον
Κῦρις· ὁ Ἄδωνις ⟨cf. Κῖρις⟩ [ad 80]
κυρίσσει· κερατίζει, τύπτει μετὰ τῆς κεφαλῆς ⟨4701⟩ [ad 81]
†κύριθον· τὴν σφαῖραν ⟨3224?⟩
κυριττοί ⟨—αί?⟩· οἱ ἔχοντες τὰ ξύλινα πρόσωπα κατὰ Ἰταλίαν, καὶ ἑορτάζοντες τῇ Κορυθαλίᾳ γελοιασταί
κυρίττειν· πλήσσειν
κυρίττιλος· κορύπτης. πλήκτης ⟨3587⟩
κυρίττον (cf. Aesch. Pers. 310)· [ad 86]
κυρίττοντες (Plat. Civ. 586 B)· κερατίζοντες, κεφαλαῖς πλήσσοντες
κυρίως· βεβαίως, ἰσχυρῶς, ἀσφαλῶς
κυριωτάτη ἡμέρα· ἐν ᾗ τελειοῦται τὰ συμφωνηθέντα καὶ εἰσενεχθέντα
κυρκανᾷ· κυκᾷ, ταράσσει (Hippocr.)
κύρμα (Ε 488)· κύρημα, ἐπίτευγμα. πολλοῖς ἐγκεκυρηκὼς πράγμασι (Ar. Av. 431)
κύρνα· κρανία
Κυρνιᾶται· ἐπεὶ Κύρνον ᾤκησαν, Τυρρηνοί
†κύρνικα· κώδια ⟨σισύρνια?⟩
κύρνοι (Maced.)· οἱ νόθοι
κυροῖ· βεβαιοῖ, πιστοῖ
κῦρον (Arist. fr. III p. 1093)·

οὔτ' εἶπον οὐδὲν πρὸς σὲ κῦρον, ὦ γύναι
σοὶ ἀνῆκον, εἰς σὲ τεῖνον

κῦρος· ἐξουσία (Trag.). ἢ παῖς
Κῦρος· ἀπὸ τοῦ ὑπὸ κυνὸς τεθράφθαι. ἢ ἀπὸ τοῦ ἡλίου· τὸν γὰρ ἥλιον οἱ Πέρσαι κῦρον λέγουσιν. ἄλλοι βόθυνον ⟨γῦρος⟩. καὶ ὄνομα ποταμοῦ ⟨—ῶν?⟩. καὶ κύριον ⟨ad κυρόν⟩

COD. 44 ἐρεῖσκῆπτρον 48 κύπρινος 49 ἀργ| 51 κυπρίς (gl. δ 838) 52 κυπρογένεος, πρόπολον, πρόαγγον 53 σιτήριον 54 κυππάζειν, διατρίζειν στρατεύειν — ἐναισχύνειν 68 κυρίβια 66—68| post 75 κυριβ| 77 προσώπια cf. κυλίνθιον κύνθιον κυριττοί 83 |θαλλίᾳ 85 |ολος ⟨—όλης?⟩ 87 κυριώτης 91 ἐνκεκύριχος πρᾶγμα 93 κυρνίατα, ἃ ἐπὶ 97 κύρον — οὐδὲ πρὸς κύρον

HES. 47 κυπρίζουσαι (Cant. Cant. II 14)· ἀνθοῦσαι 56 κυπτόν (Baruch. II 18)· ταπεινούμενον 63 κύρε (Ψ 821)· ἐπιτυχεῖν ἐστοχάζετο 75 κυρίας (I sai. XL 10)· τῆς κατὰ φύσιν ὑπαρχούσης δυνάμεως Ad 78 ἢ κυρίζῃ Ad 80 ἢ πλέγμα τι, σχοινίον ἢ κυρτίς Ad 81 ἢ βοᾷ ⟨κηρύσσει⟩ Ad 86 ἐν γαστρὶ ἦν

Κυρράνη (Menand. fr. CCCLXIV)· *ὄνομα γυναικείας θεοῦ* [4701]

κῦρσαι· ἐπιτυχεῖν

κύρσαν· ἐνέτυχον

Κυρσανίας Λακωνικῆς

κυρσάνιοι· τοὺς μειρακίσκους οὕτως ἔλεγον (Ar. Lys. 1248) [6]

κυρσερίδες (Elei)· *τὰ τῶν μελισσῶν ἀγγεῖα. κυψελίδες* [8]

κυρσίον· μειράκιον

κυρτά· οἰδοῦντα (*N* 799?). *μεμισημένα. ἔνιοι δὲ οὐκ ἀγαθά. ὑπὸ δὲ τῶν Ταραντίνων κόπρον καὶ τὰ ἔντερα τὰ δεκτικὰ κόπρων καὶ σκυβάλων τῶν βρωμάτων*

κυρτεύς· ἁλιεύς

Κυρτιάδαι· δῆμος τῆς Ἀκαμαντίδος φυλῆς [13]

κυρτιάς· Κελτοὶ τὰς ἀσπίδας ⟨v. *καιτρέαι*⟩

κυρτίς (Archil. fr. 177)· *ὀρνιθοτροφεῖον* (*ἢ πλέγμα τι, σχοινίον* ⟨4680⟩)

κυρτόν· τὸ κυρίως κυρτόν (Sosicr. com. IV p. 691) [ad 16]

κύρτος (Plato)· *ἀγγεῖον σχοινῶδες, ᾧ οἱ ἁλιεῖς χρῶνται. καὶ τάλαρον*

κυρῶ· τυγχάνω [19. 20]

κυρῶ· κρατύνω, βεβαιῶ

κυρωτῆρες· ἄρχοντες [23]

κυσαμένη (Hesiod. Th. 125)· *κυήσασα· ἄκυθον γὰρ* ⟨*δὲ*?⟩ *τὸ ἀτόκιον*

κυσανίζει· ὁμιλεῖ

κύσας· φιλήσας

κύσεν (*π* 21)· *ἐφίλησεν*

κυσέρη· πυθμήν. χάσμα [29]

κυσθοκορώνη (Com. an. CXLVIII)· *νύμφη*

κυσιᾷ (Com. an. CXLIX)· *πασχητιᾷ*

κυσοβάκκαρις (Com. an. CL)· *ἤτοι τὸν κυσὸν μυρίζων· ἢ τῷ κυσῷ μυριζόμενος*

κυσοδακνιᾷ· ψωριᾷ

κυσολάκων (Com. an. CLI)· *Ἀρίσταρχός φησι τὸν Κλ(ε)ινίαν οὕτω λέγεσθαι τῷ κυσῷ λακωνίζοντα. τὸ δὲ τοῖς παιδικοῖς χρήσασθαι λακωνίζειν ἔλεγεν*

κυσολαμπίς· ἡ περιλαμπομένη ταῖς νυξὶ κανθαρίς

κυσονίπται (Com. an. CLII)· *πόρνοι· ἀπὸ τοῦ παρακολουθοῦντος*

κυσός· ἡ πυγή. ἢ γυναικεῖον αἰδοῖον

κυσοχήνη (Com. an. CLIII)· *εἶδος δεσμοῦ. οἱ δὲ εὐρυπρωκτίαν. οἱ δὲ ξύλον* [*ἐν*] *ἐν ᾧ ἁμαρτάνουσαι αἱ πόρναι ἐδεσμεύοντο*

κύστεροι· ἀγγεῖα τῶν μελισσῶν. καὶ † *τυρίσκοι* ⟨*ὑρ*—⟩

κύστη· ἄρτος σπογγίτης

κύστιον· τὸ ἁλικάκκαβον

κύστις· ἡ φῦσα (cf. Ar. Nub. 405)

† *κύτη· μεγέθη*

κύτινοι· τῆς ῥοιᾶς τὰ πρῶτα ἐξανθήματα ⟨4729. 4770⟩

? *κύταρον· ζωμήρυσις*

κύτταροι· οὕτω τὰς τρήμας τῶν κηρίων ἔφη Ἀχαιός (fr. 49). *τινὲς δὲ σφῆκας. καὶ τὰ τῆς πεύκης καὶ πίτυος προανθοῦντα στροβίλια. καὶ πυθμένες. καὶ τῶν αἰδοίων αἱ βάλανοι* (Ar. Th. 516). *καὶ τῶν βαλάνων τὰ ἀγγεῖα*

(*κύτταρος· κυττάρους τὰ κοῖλα ἔλεγον ἀγγεῖα καὶ χωρητικά. διὰ τοῦτο καὶ τὰς τῶν σφηκῶν κατατρήσεις καὶ τὰς τῶν αἰδοίων βαλάνους ἐκ μεταφορᾶς κυττάρους λέγουσι. ὁ δὲ Θεόφραστος προάνθησίν τινα τῆς πεύκης καὶ τῆς πίτυος κύτταρον προσαγορεύει*) cf. 4637

κύτος· σῶμα. ὄγκος (Soph. El. 1142). *χώρημα* [ad 47]

[ad 48] *τὸ δεκτικὸν χώρημα, καθὼς ποτήριον* [ad 48] [49]

κύφελλα (Callim. fr. CCC)· *τὰ νέφη. νεφέλη γνοφώδης, ὀμίχλη, ὀμιχλῶδες κατάστημα*

κύφερον ἢ κυφήν· κεφαλήν. Κρῆτες

κυφόν (*β* 16)· *καμπύλον. κυρτόν. διὰ γῆρας ἐπικεκυρτωμένον* (Ar. Ach. 703)

COD. 4700 *κυρρανή* Phot. 191, 25   4 cf. *σκυρθαλίας*   5 *κυρακίσκους*   7 cf. *κύβεθρα, κύστερος*   10 *κύρτα*   12 *Κυρτεῖδαι* C. I. n. 192   ⟨24 *δὲ τὸ ἄτοκον*?⟩   31 *κυσίαι, πασχητίαι*   32 *κυσοβάκχαρις* — *κυσσὸν μερίζων* — *μερ*| 33 *κυσοδακνία, ψωρία*   34 |*λακῶν*   35 *καθαρίσειν* (cf. *πυρολαμπίς*)   39 cf. ad 4707   40 *σπογγίτις*   45 *ζώμη ῥύσις*   46 *στροβήλια*   ⟨51 *κυφέραν*?⟩   53 *κυφῶν*

HES. 4701 *κύρρασι* (Ar. Eqq. 272)· *τοῖς κέρασι*[*ν ἐπιτυχεῖν*] *κρούσαντ..*   6 *κύρσας* (*Γ* 32 *Ψ* 428)· *ἐπιτυχών, εὑρών, κύριος γενόμενος*   8 *κύριος· ἄρχων, βασιλεύς*   13 *κυρσεῖν· τοῖς κέρασιν ἐπιτυχεῖν* ⟨*κυρίσσειν*⟩. *εὑρεῖν* ⟨*κῦρσαι*⟩. † *εὑρίσκω* ⟨*ὑρρίσκω*⟩   Ad 16 *καὶ τὸ ὑψηλὸν καὶ μετέωρον κῦμα* (*Δ* 426)   19 *κυρῶδα· ὀλέκρανα* ⟨*κύβωλα*⟩   20 *κυρώκω* (*ε* 267)· *θυλάκω* ⟨*κωρύκω*⟩   23 *κύσαι* (*ω* 236)· *τῷ στόματι φιλῆσαι*   29 *κυσήγη· ῥοιά* ⟨*κύτινοι· ῥοᾶς ...*⟩   Ad 47 *βάθος* (schol. Psalm. LXIV 7)   Ad 48 *κυττοί·* — *ἢ εἶδος ἄνθους Διονυσιακοῦ* ⟨*κιττός*⟩   49 *Κύτορον* (*B* 853)· *πόλιν Παφλαγωνίας*

κύφων (Cratin. p. 42 Posidipp. p. 528)· ὅπερ ἔνιοι συνάγχην καλοῦσιν. δηλοῖ δὲ καὶ δεσμὸν ξύλινον ἢ ξύλον βασανιστικὸν κολαστήριον, ᾧ †κατέτεμνον τοὺς θανάτῳ κατακεκριμένους. τάσσεται δὲ καὶ ἐπὶ πάντων τῶν δυσχερῶν καὶ ὀλεθρίων (Archiloch. fr. 178). ἔστι γὰρ καὶ χιτῶνος εἶδος. καὶ κυφωνισμὸς ἐπὶ τῶν τιμωριῶν. καὶ ἐπικεκαμμένη ῥάβδος ⟨currus⟩ κύφων

κυχράνος (Ar. HA. VIII 14, 6)· εἶδος ὀρνέου ⟨2610⟩

κύψαι (Archil. fr. 34)· ἀπάγξασθαι

κυψέλαι καὶ κυψελίδες· ὁ ἐν τοῖς ὠσὶν ῥύπος συνιστάμενος (Com. V p. 559). καὶ τὰ σιτηρὰ ἀγγεῖα (Ar. Pac. 631). καὶ τὰ κενὰ σμήνη. καὶ τοῦ ὠτὸς τὸ ἔγκοιλον. καὶ τῆς καμίνου μέρος τι

κυψέλη· πλεκτὸν ἀγγεῖον μελισσῶν

κυψελίδες· μελισσοφάτναι

κυψελίς· ὁ ἐν τοῖς ὠσὶ ῥύπος

κύψελον· κύβερτον μελισσῶν

κύψελος (Ar. HA. IX 21, 1)· ὄρνις ποιός, ὅμοιος χελιδόνι

κύων· ὁ ἐλαυνομένου τοῦ σιδήρου τοῦ ἀργοῦ ἐξαλλόμενος σπινθήρ (Eubul. fr. 1 7 p. 242). οἱ δὲ τὴν Ἐρινῦν (Aesch. Cho. 924). οἱ δὲ τὴν νόσον τὴν οὕτω λεγομένην κύνα. δηλοῖ δὲ καὶ τὸ ἀνδρεῖον μόριον. καὶ τὸ ὑλακτοῦν ζῷον. καὶ τὸν ἀναιδῆ (Φ 481). καὶ τὸ ἄστρον (Χ 29). καὶ τὸ θαλάσσιον ζῷον (μ 96). καὶ ὑπὸ τῶν κυβευτῶν βόλον τινά, ὃς Χῖος καλεῖται

κύων ἐπὶ δεσμά· παροιμία [ad 63]

κύων παρ' ἐντέροισι· παροιμία ἐπὶ τῶν μὴ δυναμένων ἀπολαύειν τῶν παρακειμένων

κῷα· ἐνέχυρα

κωάζειν· ἀστραγαλίζειν ⟨4792⟩. ἐνεχυράζειν ⟨3223. 3824⟩

κωαθείς· ἐνεχυριασθείς

κῶας (γ 38)· κώδιον. τάπητα [post 68] [69]

κώβαλοι· κύτινοι ῥοιῶν ⟨4744⟩

κῶβαξ· ὁ μέγας τέττιξ

κωβήλη· συνουσία

κωβηλίνη· ἠπήτρια. καὶ βελόνη

κωβῖτις (Ar. HA. VI 14, 4)· ἡ λευκὴ ἀφύη

Κωδάλου χοῖνιξ· παροιμία, ὡς μείζοσι μέτροις κεχρημένου ἀγορανόμου

κωδία (Ξ 499)· κωδίς. κεφαλὴ χωρὶς σώματος [77]

κώδιον (Philemo p. 10)· σκῦλον, ἢ δέρμα προβάτου χωρὶς σώματος ⟨v. κύλου h. e. κοῦλον⟩

κωδύα (Theophr. Ath. 72 C)· ἡ τῆς μήκωνος κεφαλή [80]

†Κωδ.ης· γένος ἰθαγενῶν Ἀθήνησιν ⟨4816⟩

κωδωνίσας (Anaxandr. p. 168)· πειράσας. ἠχήσας

κωδωνίσαι· δοκιμάσαι. διαπειράσαι. ἀπὸ τῶν φυλάκων, οἳ τοὺς κώδωνας ἐκρότουν ἐπὶ πειρασμῷ τῶν γρηγορούντων

κωδωνίσω (Ar. Ran. 78)· δοκιμάσω. ἀπὸ τῶν ἵππων, ἢ ὀρτύγων

κωδωνοφορῶν (Ar. Avv. 841)· οἱ περιπολάρχαι ἐπὶ τοὺς φύλακας ἐρχόμενοι, κώδωνα διέσειον, καὶ οὕτως ἐξεπείραζον τὸν καθεύδοντα. ἀπὸ δὲ τῶν ὀρτύγων ἡ χρῆσις. τοὺς γὰρ ὑπομείναντας τὸν ἦχον τοῦ κώδωνός φασιν ἐπιτηδείως ἔχειν πρὸς μάχην. φασὶ δὲ καὶ τοὺς ἵππους τοῖς κώδωσιν ἐξετάζεσθαι

κώδων (Aesch. Sept. 399)· σάλπιγξ, ἠχεῖον, κύμβαλον. μήκων. κάλυξ

κῶθα· ποτήρια

κῶθος (Nic. fr. 141)· κωβιός

†κωθύλους· ὄνους ⟨κανθηλίους?⟩

κώθων· ἄτακτος μέθυσος ⟨ἀκρατοκώθων⟩. μόνωτον ποτήριον κεράμειον (Com.). εἶδος ποτηρίου ⟨3220⟩

κωθωνίσαι· μεθύσαι ⟨3219⟩

Κῶια (Ar. HA. II 2, 10)· ἀστράγαλοι ⟨4766⟩

κώϊον· ἐνέχυρον ⟨ad 4765⟩. καὶ ἱμάτιον ⟨4860⟩

κώκαλον· †παλαιόν. καὶ εἶδος ἀλεκτρυόνος [95—97]

κωκυτός· κοπετός, θρῆνος, ὀδυρμός

COD. 53 κυφῶν ἢ ... κατακεκριμένους post 52 55 cf. ἔκυφεν 56 |λλίδες — ὑποσυνιστάμενος — σκήνη — ἔγκυλον 58 κυψέλικες 65 cf. κοῖον κοῦα κώιον κῷον 73 ἠπίτρια καὶ βελόνη] post 72 74 κωβῆτις· ἡ λευκία φυλή (76 κώδεια, κώδη?) 79 κωδία, μύκονος 82 κωδονήσας 83 |νῆσαι 84 |νήσω 85 διασεῖον — ἐκπείραζον 86 ἤχιον κάμβαλον μύκων 88 κῶθυ 90 μονόωτον 91 |νῆσαι

HES. Ad 63 ἐπὶ τῶν ἑαυτοὺς εἰς κολάσεις ἐπιδιδόντων. λέγεται δὲ καὶ βοῦς ἐπὶ δεσμά Post 68 ὀφθαλμούς ⟨3586⟩ 69 κώβαλα· πανουργήματα ⟨κο—⟩ 77 κωδίκιλλα· σύμβουλα ἀρχαί 80 κῶδιξ· βιβλίον νόμιμον 95 κωκύει (θ 527)· βοᾷ. θρηνεῖ, κλαίει 96 κωκύσασα (Σ 71)· θρηνήσασα 97 κώκυσε (Σ 37)· μετὰ θρήνων ἀνεβόησε

? κωκυτοιρεῖν· θρηνεῖν
κωκυτός· θρῆνος, καὶ τὰ ὅμοια (X 447). καὶ ὄνομα ποταμοῦ ἐν ᾅδου (κ 514)·
Κωκυτὸς ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ
κῶλα· πύδες. σκέλη. ὀστᾶ. μέλη ⟨3304⟩. κερκίδες
κωλαβοί· λάσταυροι [4803]
κωλακρέται (Ar. Av. 1541)· ἀργυρικοὶ ταμίαι, οὓς τινες οἴονται μόνου τοῦ δικαστικοῦ προΐστασθαι
† κωλανιζόμενοι· τάχει χρώμενοι ἀνέμοις ἴσῳ [6. 7]
κωλέα· μέρος κρέατος. [ad 8] τινὲς σκέλος ὑὸς ὀπίσθιον. ἢ Περσικῆς τὸ ἐδώδιμον
κώλειρ (Lacon.)· τὸ προτιθέμενον ἆθλον τοῖς ἀγωνιζομένοις
† κωλετήναις· ἀσκαλαβώταις ⟨4823⟩
κωλήν· κωλεός
κωλῆνες (Eur. fr. 678)· ἀκροκώλια
κωλίαν (Boeot. Cret.)· ἰγνύαν. τὴν γαστροκνημίαν. τὴν κνήμην
Κωλιάς (Herod. VIII 96)· ἀκτὴ εἰς θάλασσαν ἐξέχουσα· καὶ ἴσως διὰ τὸ κώλῳ .....
Κωλιάς (Ar. Lys. 2)· Ἀφροδίτης ἐπὶ Κωλιάδος ἐστὶν ἱερὸν ἐν τῇ Ἀττικῇ. ὁ δὲ τόπος λέγεται Κωλιάς, ἐπεὶ ἐκκείμενός ἐστιν, ὅμοιος ἀνθρώπου κώλῳ. ἔστι δὲ καὶ Δήμητρος ἱερὸν αὐτόθι πολύστυλον
Κωλιεῖς· γένος Ἰθαγενῶν, ὅπερ ἐκ τῆς Κωλιάδος ⟨4781⟩
κωλική· Σικελική ⟨Σκυθική ?⟩
κώλοισι (Callim. ep. LXX 3)· ποδίοισι ⟨ποσί⟩
κωλύμη (Thuc. I 92)· † μεμφώδη
Κωλυσαμένας· ὁ Ἐμπεδοκλῆς οὕτω καλεῖται, ὡς ὑπισχνούμενος ἐφέξειν τοὺς ἀνέμους
κωλύσω· λυπήσω
κωλυτήρ· σημεῖόν τι ἐν θυτικῇ. καὶ θυσία τις κωλυτήρια
κωλώτης (Ar. HA. IX 2, 7)· ἀσκαλαβώτης. ἔλεγον δὲ αὐτὸν καὶ γαλεώτην· δοκεῖ δὲ αὐτὸς εὐστόχω(ς) ἅλλεσθαι περὶ τὰς μυίας
κῶμα (Ξ 359)· κοίμημα, ὕπνος ληθώδης. καταφορὰ ὕπνου βαθέος (Nic. Al. 458)
κωμάδδειν (P. Lyr. Gr. fr. 11 p. 1029)· ὀρχεῖσθαι
κωμάζει (Anacreo)· κῶμον ἢ (δρᾶμα) ᾄδει. ὑβρίζει μετὰ μέθης
κῶμαι· ἀγυιαί, ῥῦμαι
κωμαίνει· νυστάζει
κωμακόν (Theophr. IX 7)· ἀρωματικόν τι
κωμαστήν (Ar. Nub. 606 ?)· τρυφῶν μετ' ᾠδῆς
κωμαστοῦ· τοῦ κωμάζοντος, τερπομένου μετ' ᾠδῆς
† κωμᾶται· μαγεύει
κώμη· ἄμφοδον, χωρίον
† κωμική· Ἀττική ⟨Cyrill.⟩
† κωμαίνεσθαι· κείρασθαι
κωμῆτις (Arist. Lys. 5)· γείτων. Κῶμαι γὰρ τὰ ἄμφοδα
† κωμμωνία· χοροκόσμια
κῶμοι· ἀσελγῆ ᾄσματα πορνικά, συμπόσια, ᾠδαί
κῶμος· εἶδος ὀρχήσεως ἢ μέλους τινός
κώμυθα (Cratin. fr. CLVII Theocr. IV 18)· δάφνην, ἣν ἱστῶσι (πρὸ) τῶν πυλῶν. δηλοῖ δὲ καὶ δέσμην χόρτου, καὶ τὰ κατ' ὀλίγον τῶν δραγμάτων
κωμῳδοί· κωμικοί, τραγῳδοί, καὶ χορευταὶ τραγῳδοί, οἱ τραγικοὶ ποιηταὶ διδάσκαλοι
κωμῳδούμενοι· παιζόμενοι παρὰ τὴν τραγῳδίαν
κωμῳδοῦντες· θριαμβεύοντες, πομπεύοντες [44]
κώνα· βέμβιξ ⟨κῶνος⟩
κωνᾶν· περιδινεῖν
..νεῖ· περιέρχεται
κωνεία· νάρθηκα ⟨4851⟩. καὶ πόας εἶδος (Ar. R. 1051)
οἶμος· ὁδός. κύκλος. τρίβος. ὅθεν καὶ τῆς ἀσπίδος κύκλους οἴμους ἐκάλεσαν

οἰμωγαί (Hom.)· θρῆνοι, ὀδυρμοί, στεναγμοί

οἰμώζει· τὰ αὐτά

⟨οἰμωκτί⟩· τὸ οἰμῶξαι

οἰμώξειαν (Soph. Ai. 962)

οἶν (Ar. Pac. 1076)· συνῄρουν τὸ ὄϊν ἀρρενικῶς Ἀττικοί [306]

Οἰνάδας ἀκτάς· ἀντὶ τοῦ Οἰνωάτιδας

οἰνάδες· ἀμπελώδεις τόποι

Οἶναι· οἱ μὲν τῆς Ἀτταλίδος, οἱ δὲ τῆς Πτολεμαΐδος φυλῆς εἶναι [10]

Οἰναῖοι τὴν χαράδραν· παροιμία [ad 11]

οἰνάνθη (Cratin. fr. I V p. 73)· ἡ ἔκφυσις τῆς ἀμπέλου. ἔστι δὲ καὶ ἕτερον φυτὸν οὕτω λεγόμενον [13]

οἴναρα (Theophr. IX 14)· τὰ τῆς ἀμπέλου φύλλα ⟨306⟩

οἰναρίζειν (Ar. Pac. 947)· φυλλολογεῖν. ἀμπέλους ἐργάζεσθαι

οἰναρίς (Hippocr. II p. 875 K)· κληματίς

οἰνάς (Ar. HA. V 11, 2)· εἶδος περιστερᾶς ἀγρίας [18]

οἰναχθής· μέθυσος. μεθύων

οἴνη· ἡ ἄμπελος (Hecataeus)· καὶ κυβευτικὸς λέγεται κόλος, ὁ κενὸς καὶ ἀντικείμενος τῷ ἑξίτῃ. Ἀχαιός (fr. 59) [ad 20]

COD. 68 οἰκοτρίβου 69 οἰκοτρίβαιον Poll. III 76 (70 Confusa sunt οἱ κούρια et οἰκουρία) 71 μέλιττ., 73 οἰκοφθόρας 87 σήκωμα an σιάλωμα? 300 οἰμός 4 οἰμωξία 5 συνεῖρον 7 οἰνομαείτιδας 9 ἰτταλίας 11 φ.σὶ δὲ δῆμον 13 Poll. VI 22 ⟨γοίνακες, εἶναξ⟩ 17 .ῖνας ⟨313⟩ 18 οἰνατίς, ἀρτέμιδος τὴν ἔνοιτον 20 λόγος βόλος Ἀχαῖος] ὁ καὶ Χῖος?

HES. 74 οἰκτείρημα (Ierem. XXXI 3)· ἔλεος 77 οἶμον· κύκλον. ἔνθεν καὶ παροιμία κέκληται, τὸ παροδικὸν διήγημα. ἔστι δὲ λόγος ὠφέλιμος. καὶ ὁδός 78 οἴκτιστα (χ 472)· ἐλεεινά 81 οἰκτρίβαντα· ἐμβάται ⟨ὀκρίβαντες⟩ Ad 84 ἐλέου ἄξιος 86 οἰκωφελείη (ξ 223)· εὐπορία, ἐξ ἧς ὁ οἶκος ὠφελεῖται 88 οἶμαι· νομίζω, ὑπολαμβάνω Ad 95 οἰμῆσαι· ᾖσαν 306 οἶνα· τὰ τῆς ἀμπέλου φύλλα ⟨314⟩ 10 οἳ ναίουσιν (Β 130)· οἵτινες οἰκοῦσιν Ad 11 τεθειμένη ἐπὶ τῶν ἑαυτοῖς κακόν τι προσελκομένων. φησὶ δὲ Δήμων, ὅτι τῆς Ἀττικῆς ἐστι τόπος Οἰνόη. οἱ δὲ ἐνταῦθα γεωργοῦντες, παροχετεύοντες τὴν ἄνω φερομένην χαράδραν, ἀρδεύειν τὰ δένδρα καὶ τὰς ἀμπέλους ἐπεχείρουν· ὕδατος δὲ πολλοῦ γενομένου συνέβη καταρραγέντα τὸν ποταμὸν τῶν κτημάτων πολλὰ διαφθεῖραι, καὶ τῶν τόπων δὲ τοὺς κύκλους (fora) ἐγχῶσαι 13 οἰν†άς (Lycoph. 358)· γένος κόρακος ⟨322⟩. οἱ δὲ ἀγρίαν περιστεράν ⟨317⟩ 18 Οἰν.ᾶτιν (Eur. Herc. f. 379)· Ἄρτεμιν τὴν ἐν Οἰνώῃ τῆς Ἀργείας Ad 20 Οἰνίζειν γὰρ τὸ μονάζειν κατὰ γλῶσσαν

οἰνήρυσις (Ar. Ach. 1067)· ἀγγεῖον, ὡς κοτύλη, μεθ' οὗ τὸν οἶνον ἀντλοῦσιν

οἰνιάξ· εἶδος κόρακος ⟨313⟩ [23]

οἰνίζειν· τὸ μονάζειν κατὰ γλῶσσαν ⟨320⟩ [25. 26]

οἰνιστήρια (Eupol. fr. XXVIII[a] p. 473)· Ἀθήνησιν οἱ μέλλοντες ἐφηβεύειν, πρὶν ἀποκείρασθαι τὸν μαλλόν, εἰσέφερον Ἡρακλεῖ μέτρον οἴνου, καὶ σπείσαντες τοῖς συνελθοῦσιν ἐπεδίδουν πίνειν. ἡ δὲ σπονδὴ ἐκαλεῖτο οἰνιστήρια

οἰνοβαρής· οἴνῳ βεβαρημένος. μέθυσος (cf. *Α* 225)

οἴνοπα (*Α* 350)· μέλαν. οἰνώδη τῇ χροιᾷ [30]

(*οἰνόπη*· ἀμπέλου μελαίνης εἶδος) 914)

οἰνόπληκτον· οἰνωμένον [32. 33]

οἰνόπτα(ι Eupol. p. 510)· ἀρχὴ εὐτελὴς (Ἀθήνησιν), καθ' ἣν θρυαλλίδας καὶ λύχνους καὶ τὰ τοιαῦτα δεῖ τὸν αἱρεθέντα ἄρχοντα παρέχειν

Οἶνος· Διόνυσος

οἰνόσπονδοι θυσίαι· ἐν αἷς οἶνος σπένδεται (Poll. VI 26)

Οἰνότροποι (Simonid. fr. 23)· αἱ Ἀνίου θυγατέρες

οἶνος ἀμπέλινος (Herod. II 60)· τοῦτο δηλοῖ καὶ ἐξ ἑτέρων γένεσθαι οἶνον

Οἰνούσιος (Alcman.)· εἶδος ἀμπέλου

οἰνοῦσσα (Ar. Plut. 1121)· μάζα οἴνῳ πεφυραμένη. ἢ ἡ διακονοῦσα τοῖς συμποσίοις

οἰνοῦσ(σ)αι καὶ *οἰνοῦτ(τ)αι* (Attici)· τοιαῦται [42]

οἰνόφλυξ (Xen. Apol. 19)· αἰσχρός. μέθυσος

οἰνόφλυξ· μέθυσος. ὁ κακεπίθυμος οἴνου. οἰνοφερής, πάροινος

οἰνοχίτωνας ἐλαίας· ......

οἰνοχοεῖ (Xen. *ΚΠ* I 3, 8)· οἰ(νο)χοεύει [ad 47]

οἰνοχόην (Hes. Opp. 742 Eupol. p. 559)· τὴν κατάχυσιν. τὸ ἀγγεῖον [49]

(*Οἰνωᾶτιν* [Eur. Herc. fr. 379]· Ἄρτεμιν τὴν ἐν Οἰνῴῃ τῆς Ἀργείας) 318

οἰνῶνες (Xen. Hell. VI 2, 6)· αἱ ἀποθῆκαι

οἰνῶντα (Iones)· μονήρη ⟨458⟩

οἰνῶπα (Soph. OT. 211)

οἰνωπόν· πορφύρεον (Err. Or. 115 Bacch. 438), μέλανα. (ἀμαυρόν. οἰνοειδές)

οἰνωροί· οἱ ἱεραγωγοὶ Διονύσου

οἴνωτρον· χάρακα, ᾗ τὴν ἄμπελον ἱστᾶσι. Δωριεῖς

οἰνώψ· οἰνοψ. μέλαν

οἶξας· ἀνοίξας [58—60]

οἰόζωνον (Soph. OT. 846)· μονόστολον [62]

οἰόθεν οἶος (*Η* 39. 226)· ἐκ μόνου μόνος. τουτέστι μόνος πρὸς μόνον [64]

οἴοιτο· νομίζοι ἀρκούντως ἔχειν [ad 65] [66. 67]

ὀϊόμενον· οὐκ εἰδότα. νομίζοντα (non *Δ* 12)

οἷον· ὁποῖον. μόνον. τρόπον τινά. δυνατόν. καθάπερ. ἢ ποιόν [70]

οἷον ἔτυχεν· ὁποῖον ἐγένετο [72—74]

οἱονεὶ χειᾶς· ὥσπερ φωλεοῦ

οἷόν τε (Herod. I 91)· δυνατὸν λέγουσιν

οἰὸς ἀώτῳ· προβάτου ἄνθει, τουτέστιν ἐρεῷ περιβολαίῳ (α 443)·

ἔνθ' ὅ γε παννύχιος κεκαλυμ(μ)ένος οἰὸς ἀώτῳ

καὶ αὐτὸ δὲ τὸ ἔριον *οἰὸς ἄωτον* λέγεται

οἷος· ὁποῖος (*Β* 192): ἢ μόνος (οἶος *Δ* 118) [79]

οἰοπόλος· ἔρημος, ἐν ᾗ τις μόνος ἀναστρέφεται

COD. 21 μεθ' ᾧ ⟨cf. γοινάρυτις⟩ 29 *οἰνοπὰ* — οἰνόδη ⟨194⟩ 31 *οἰνοπέπηκτον*, οἰνόδεσμον 33 *οἰνοποντάζει* 39 οἰνουσία? 43 |φρυξ 46 ἐλάτας (cf. δρύες οἰνοχίτωνες) 52 *οἶνοπα* 53 *οἰνοπὸν* 54 οἰεραγωγοί 55 *οἶνοτρον* 56 *οἶνωψ*, οἶνοψ 61 |*ζωον* 66 οἴομαι 72 *οἰονεί* 75 *οἰονιχιασταὶ* 77 *οἰοσαῶται* — ἐρέω — αὐτῶ — οἰοσάωτον

HES. 23 *οἰνιεῖς*· ταχεῖς. ὀξεῖς ⟨cf. οὔνιος et προὔνεικοι⟩ 25 *οἰνίζεσθαι* (Θ 546)· οἶνον ὠνεῖσθαι 26 *οἰνίζοντο* (*Η* 472)· ὅμοιον 30 *οἰνοπέδοιο* (α 193)· οἰνοφόρου, ἀμπελοφύτου γῆς 32 *οἰνωπόν* (Simonid. Anth. Pal. VII 20, 2)· μέλαν. ἀμαυρόν. οἰνοειδές 33 *οἰνοποτάζει* (ζ 309)· εὐωχεῖ. οἰνοποτεῖ. πίνει 42 *οἰνοφλυγίαι* (Philo VM. I 22 p. 163 Nicet. David. 170, 27 Dr.)· μέθαι Ad 47 τὸ κιρνᾶν ⟨ad οἰνοχοεύειν *Β* 127⟩ 49 *οἰνοχόος* (ι 10)· ὁ ἐπικέρνης 58 *οἴξασα* (Ζ 89)· ἀνοίξασα 59 *οἶο*· οἴω σου (ο 511). μόνω (*Ν* 781). αὐτῶ ⟨Υ 235⟩ 60 *οἰοβίοισι* (Greg. Naz. C. XLVI 11 p. 237)· μονοβίοις 62 *οἰόθεν*· μονοχόθεν 64 *οἷοι*· ὁποῖοι (*Η* 227). ἢ οἵ, οἵτινες Ad 65 ἢ ὑπολάβοι (χ 12) 66 *ὀΐομαι* (*Α* 78 al.)· νομίζω, ὑπολαμβάνω 67 *οἶομεν*, *οἶος* (*Η* 226)· μόνος πρὸς μόνον 70 *οἶον* (*Δ* 397)· ἅπαξ ἕνα 72 *οἱονεί*· ὡσπερεί 73 [*οἰονεῖς*] *οἰήσεις*· δοκήσεις 74 *οἰονίζει*· μαντεύει 79 *οἷος νόος* (*Β* 192)· ὁποία διάνοια, οἷος νοῦς

οἰοπόλῳ (N 473 al.)· ἐν ᾧ ὄϊες πολοῦσιν, ἢ μόνος τις πολεῖται· τουτέστιν ἐρήμῳ χωρίῳ

ὁ ἴουλος (Call. fr. XLIV)· ἡ πρώτη τοῦ γενείου βλάστη [83]

οἰο†φάγῳ σιδήρῳ· οἷον μηλοκτόνῳ [85. 86]

οἵπερ ἄν· ὅσοι περ ἄν, οἵπερ δή, οἵτινες [88—92]

οἰρῶν· ἡ ἐκ τῆς καταμετρήσεως τῆς γῆς εὐθυωρία [94—99]

οἶσθας (Cratin. p. 80)· οἶδας. ἑκατέρως Ἀττικῶς

ὀϊσθῆναι· ο(ἰ)ηθῆναι. δόξαι

ὀϊσθείς· αἰσθόμενος. εἰκάσας. δόξας (non I 453)

†οἰσθλά· ἀγαθά (οἱ ἐσλά?) [404. 5]

οἶσον· κόμισον, φέρε. ἢ σχοινίον (Antimach. fr. CII)

οἰσοφάγος (Hippocr. II p. 106)· βρόγχος [ad 7]

οἰσπάτη· προβάτων κόπρος, ῥύπος

οἰσπωτή (Soph. Ant. 310)· τῆς οἰὸς ὁ ῥύπος. ὁ δὲ Δίδυμος τὴν τῶν προβάτων [10]

οἰστά (Thuc. VII 75)· φορητά, ἐλαφρά, κοῦφα [ad 11]

ὀϊστεύει· τοξεύει

οἰστεῦσαι· τοξεῦσαι

οἰστέον (Soph. Ant. 310) [ad 14]. κομιστέον

οἰστός· ἐλαφρός, κοῦφος, φορητός. τόξευμα [ad 15]

οἰστρεῖ (Theocr. VI 27?)· ἐκμαίνει

οἰστρηλατεῖται· μαίνεται

οἰστρηλατούμενοι· πυρούμενοι

οἴστροις (Eur. I. T. 1456)· μανίαις

οἰστροπλῆγος (Soph. El. 5)· τῇ μανίᾳ πληγείσης

?ὀϊστούχου φαρέτρας· διστοὺς ἐχούσης. καὶ εὐστόχου

οἶστρος (Aesch. Prom. 568)· ἐρεθισμός, ὁ λεγόμενος μυῖα. μανία. ἀφροδισίων πύρωσις, ἔ(κ)καυσις. λύσσα. φόβος. καὶ εἶδος πτηνοῦ (χ 300), ὑφ' οὗ κεντιζόμεναι αἱ βοῦς σκιρτῶσιν, ὁ μύωψ καλεῖται [23]

οἰσυΐνῃσι (ε 256)· πλέγμασι τοῖς ἀπὸ οἰσύας γεγενημένοις, ἢ λύγοις. ἔστι δὲ εἶδος σχοινίου

οἰσύπειον· ἔριον ῥυπαρὸν προβάτων. τὸ αὐτὸ οἰσυπηρόν (Ar. Ach. 1176) καὶ οἰσυπηρός (1452)

οἶσυπος· ὁ τῆς οἰὸς ῥύπος

?οἴσυλος· προϊοῦλος. προύνικος [28. 29]

Οἴτας· ὁ κορυνήτης

οἵ τε· ὥσπερ

οἳ τεῖδε (Cretes)· οἳ ὧδε

οἶτος· μόρος. [ad 33] κακοπάθεια. ὄλεθρος. πόνος. φθορά. νόσος. θάνατος. καὶ ὀρμίσκος τις ἐξ αἵματος [34]

οἱ φαλ(λ)οί· τὰ δερμάτινα μόρια, καὶ τὰ αἰδοῖα

οἴφειν· ὀχεύειν. καὶ τὰ ὅμοια

οἶφι· μέτρον τι τετραχοίνικον Αἰγύπτιον (LXX?)

οἰφόλης· ὁ μὴ ἐγκρατής, ἀλλὰ καταφερὴς πρὸς γυναῖκα

οἰφόλις· γυνὴ καταφερής, μάχλος, πασχητιῶσα [40. 41]

COD. 81 οἶαι, πωλοῦσιν — πωλεῖται 84 οἰοσφάγῳ Dobraeus 92 οἱ ρῶν, οἱ (Arcad. 15, 9) 94 οἷς 401 οἰσθῆναι 2 οἰσθείς — εἰκασθείς 6 cf. οὖσα et θύσσα 7] post 22 οἰστροφάγος 8 οἰσπαι 9] post 14: οἰσποτιτής· ὑιός 11 οἷς τὰ 17 οἰστριλατεῖ 20 πληγῇ (21 cf. ὄοιγα) 22 ᾧ μύωψ 24 οἴας — λυγῆς 26 αἰὸς 30 cf. κορυνήτης Μωλύχιον Περιφήτης 32 οἵ τι δὲ· οἵῳ δέ 36 οἰφεῖν 37 οἶφιν 38 οἰφολῆς (ό), ὁ μὴ κ. ἀ. ἐ. 39 οἰφολίς — πασχητιῶς

HES. 83 οἴου φωτός (Γ 53)· οἴου ἀνδρός 85 οἰοχίτων· δίχα ἱματίου. ἢ μονοχίτων ἢ προβατοχίτων (Greg. Naz. C. IV 143 p. 212 Dr. non ξ 489) 86 οἱ παῖδα ἐοικότα (E 800)· ἑαυτῷ παῖδα ὅμοιον 88 οἰπορεῖν· κιρνᾶν, οἰνοχοεῖν 89 οἱ προσκείμενοι (Deuteron. IV 4)· οἱ κολλώμενοι 90 (ο)ἵ ῥα· οὗτοι δή 91 οἱ ραῖοι· βλέπειν, οἵτινες (οἵ ῥα· οἵ, οἵτινες et ὁρᾶν· βλέπειν) 92 οἵ ῥά μιν ὦκα (Π 672)· οἵτινες δὴ αὐτὸν ταχέως 94 οἶς· πρόβατον (Λ 245). ἢ τοῖς ἑαυτοῦ (Α 307). ἢ τοῖς σοῖς (Α 179) 95 οἵ σε (ψ 14 Eur. Andr. 122)· οἵτινές σε 96 οἴσει· ἐνέγκει(η) (Φ 125), προσφέρει. κομίσει (Β 229) 97 οἰσέμεναι (Γ 120)· κομίσαι. καὶ τὰ ὅμοια 98 οἴσεται· ἄξεται. κομίσεται (Ψ 663) 99 οἶσθα· οἶδας (Α 85), γινώσκεις (Δ 365) 404 οἴσομεν (Γ 404)· κομίσομεν 5 οἰσόμενος (Ν 168)· κομίσων Ad 7 ἢ βρόχος 10 ὀΐσσατο (ι 213)· ἐνόησεν Ad 11 βέλη (οἰστοί) Ad 14 ἢ οἰτέον Ad 15 βέλος (Moeris). θάνατος. βάρος (οἶτος) 23 οἰσυΐνοισιν· ὁ..αι γένος σχοινίου 28 οἴσωμεν (Γ 104)· κομίσωμεν, φέρωμεν, ἄξωμεν 29 οἴχεα· δίδυμοι ὀρχιπέδων (ὄσχεα) Ad 33 θρῆνος 34 Οἴτυλος (Β 585)· πόλις 40 Οἰχαλία (Β 700)· πόλις Θεσσαλίας. ἡ εὐρυχωρία (Εὐρύτου χώρα?) 41 Οἰχαλίηθεν (Β 596)· ἀπὸ Οἰχαλίας

οἴχεσθαι· οἰχνεῖν. πορεύεσθαι. τρέχειν ⟨ex onom.⟩ [43]

οἰχήσονται· πορεύσονται. ἀπελασθήσονται. ἢ ἔρχονται. ὁμοίως καὶ †ἴχνη ἢ ἀφανίσθη [45]

†οἰχμή· δούλη. οἱ δὲ οἰχμᾶν [47]

[ad 48] ἡ παρ' ἐνίοις †σόλα

οἰχῶρος (Cret.)· οἰκουρός [50]

οἰώθη (Z 1 Λ 401)· ἐμονώθη [52—56]

Οἰωνίχου μουσεῖον (Com. inc. CDLXXVII)· τοῦτο δὲ Οἰωνίχου φησὶ μουσεῖον εἶναι †τὸ στης αἰή

οἰῶντα· μονάζοντα ⟨351⟩

οἰωνοί (Hom.)· σαρκοφάγα ὄρνεα, γῦπες, κόρακες. εἴρηνται δὲ οἰωνοί, δι' ὧν οἰωνιζόμεθα τὰ μέλλοντα, ὅθεν καὶ οἰωνοπόλοι (Α 69) οἱ μάντεις. ἢ ὄφεις

οἰωνοπόλοι· μάντεις. ὀρνεοσκόποι, ὀρνιθομάντεις

οἰωνός· ὄφις. ἐπιεικῶς γὰρ λέγεται εἰς τὰς μαντείας τοὺς ὄφεις ἔχειν, οὓς καὶ οἰωνοὺς ἔλεγον [62]

?οἰοθόρ· ὁ Προμηθεύς [64]

οἰωτός· χιτὼν ἀπὸ ἐρίων

ὀ καθείς· ὁ χαλάσας [67. 68]

(ὀκεῖλαι [Thuc. IV 12]· ἐκβληθῆναι)

ὀκείλασαν· τὴν ἐποκείλασαν ναῦν

ὀκέλλειν· ἐμβάλλειν. προσορμεῖν

ὀκέλλει· προσορμεῖ. καὶ μὴ κρατεῖ ἑαυτοῦ

ὄκ' ᾖ (Dor.)· ὅτε ᾖ

ὀκιμβάζειν· διατρίβειν. καὶ στραγγεύεσθαι ⟨254⟩

ὄκκαβος· τὰ περὶ τὸν βραχίονα ψέλλια

†ὄκκα σάζει ⟨θύξῃ⟩· ὅταν τύχῃ

ὄκκον· ὀφθαλμόν

ὀκκῦλαι· τὸ ὀκλάσαι, καὶ ἐπὶ τῶν πτερ(ν)ῶν καθίζεσθαι

ὀκλαδίας (Ar. Eqq. 1384)· θρόνος πτυκτός, δίφρος ταπεινός, ὃν οἱ ἀκόλουθοι φέρονται τοῖς εἰς τὰς ἀγορὰς ἐξιοῦσι πλουσίοις. καὶ πεποίηται τοὔνομα παρὰ τὸ (ὀ)κλάσθαι

ὀκλάζειν· λαγγάζειν (q. v.). εἰς γόνυ κάμπτειν. †διστάσαι

ὀκλάξ (Hippocr. III p. 343 K)· ἐπι(κε)καμμένως

ὀκνεῖ (Thuc. I 120)· δέδοικε. δειλιᾷ, εὐλαβεῖται. οὐ βούλεται [ad 81] [82]

?ὀικνάδραστον· πᾶν πρᾶγμα ἄγνωμον

ὄκνος (Ar. HA. IX 17, 1 p. 435)· εἶδος ἐρωδιοῦ. καὶ φόβος (Ε 817)

ὀκνῶν (Thuc. I 120)· ἀναδυόμενος. φοβούμενος

ὀκοῖον (Herod. II 175)· ὁποῖον. Ἰακῶς

ὀκορνούς (Aesch. fr. 251)· τοὺς ἀττελέβους. [καὶ τὰ ἀκριώδη οὕτω λέγουσιν ⟨ad ὀκρίδα Aesch. Prom. 1016⟩]

ὀκριάζων· τραχυνόμενος. (Σοφοκλῆς fr. 966)

ὀκρίβαντας (Plat. Conv. 194 C)· ἐμβάτας ⟨281⟩

ὀκρίβας· ὄχημα ἡνιόχου

ὀκρίβας· οἱ μὲν ὄνον φασίν, οἱ δὲ ἄγριον κριόν, ἄλλοι κλίμακα. κυρίως δὲ τὸ λογ(ε)ῖον, ἐφ' οὗ οἱ τραγῳδοὶ ἠγωνίζοντο. τινὲς δὲ κιλλίβας τρισκελής, ἐφ' οὗ ἵσταντο οἱ ὑποκριταὶ καὶ τὰ ἐκ μετεώρου λέγουσιν [92]

ὀκριόεν (Theocr. XXV 231 Nic. Th. 970)· τραχύ. σκληρόν. στερεόν. ὀργίλον [94]

ὀκριόωντο (σ 33)· ἐτραχύνοντο. ὠργίζοντο. μεταφορικῶς ἀπὸ τῶν ἄκρα πολλὰ ἐχόντων λίθων. †ὀκριὸς γὰρ κυρίως ὁ τραχὺς λίθος [96]

ὀκρυόεν· φρικῶδες [98]

COD. 44 ἴχνη ἀφανισθήσονται? ⟨46 cf. προϊχνεύει⟩ 54 παρατησάμην 57 οἰώνιχον, 59 οἰώμεθα τὰ μέλη 63 ὁ Ἰοθόρ (Philol. XVI 2 p. 269) 67 ὀκεθείς — ἐκτός 71 προορεῖ 73 στρατεύεσθαι 77 καθίζεσθαι 78 ἀξιοῦσι — τὸ κλάσθαι 85 ἀττικῶς ⟨87 ἀκορνοί κάρον κορνώπιδες πάρνοπες πρανώ⟩ 89 ὀκριβαντάτας, ἐνβατάτας 90 ὀκρίβατον· σχῆμα 91 ὄνομα φ| λόγιον 95 ὀκρυόεντο 96 ὀκριστὴν — εἴδειν ἐπίστευσα 97 ὀκρίθεν

HES. 43 οἰχετηγός (Φ 257)· ὑδραγωγός ⟨ὀχ—⟩ 45 οἴχνεσκον (Ε 790)· ἐπορεύοντο. καὶ τὰ ὅμοια 47 οἰχομένη (Χ 223)· πορευομένη. καὶ τὰ ὅμοια Ad 48 οἰχομένοιο. (α 281) 50 οἴῳ· μόνῳ· οἴῳ φαινομένη (Λ 198) καὶ μόνοιο (Ν 781), δυϊκῶς. καὶ οἴω· ὁποίω (Ε 554) 52 ὀΐω (Α 59)· ὑπολαμβάνω 53 οἰῶν· μόνων ⟨οἴων vel μονῶν⟩. προβάτων, αἰγῶν (Λ 678) 54 οἰωνισάμην (Genes. XXX 27)· παρετηρησάμην. ἢ ἐμαντευσάμην 55 οἰωνιστής (Β 858 Ν 70)· ὀρνεοσκόπος 56 οἰωνοβρό(ώ)τους (Macc. II 9, 15)· ὑπὸ ὀρνέων βρωθέντας 62 οἴω· δοκῶ (Ι 315). μόνῳ (Λ 198) 64 οἰσταζομένης· φιλοτιμουμένης ⟨ὀνο—⟩ 67 ὁ καθ' εἷς ἡμῶν (Rom. XII 5)· εἷς τις ἡμῶν 68 ὁ καυλός (Exod. XXV 31)· ὁ κλάδος Ad 81 φόβος ⟨ad ὄκνος⟩ 82 ὀκνείω (Ε 253)· ὀκνῶ. καὶ τὰ ὅμοια. καὶ ὀκνηρός (LXX) 92 ὀκριόεντι βάλλω (Μ 380)· τραχείᾳ βάλλω 94 ὀκριόεντι (Δ 518)· τραχύ 96 ὁ Κρὴς τὴν θάλατταν (Alcae. fr. p. 735 Alcman. fr. 112)· ὡς Κρητὸς ἐν θαλάττῃ χειμασθέντος, εἶτα προσγαληνιώσαν αὐτὴν ἰδόντος „Εἴ σε μὴ ᾔδειν, ἐπίστευσα ἂν ὡς ἀληθευούσῃ“ εἰπόντος 98 ὀκρυοέσσης (Ζ 344)· φρικτῆς. χαλεπῆς

ὀκτάδιον· καλάθιον πρὸς ὀρνιθάρια [500]

†ὀκτήσεις· οἴσεις. ὀκνήσεις

Ὀκτώπας (Aesch. fr. 145)· ποταμός

ὀκτώπηχυ (Philemo fr. CXXVI)· τὸ ὀκτάπηχυ

ὀκτώπους (Cratin. p. 65)· σκορπίος

ὀκχεῖν (Hippocr.)· φορεῖν. ἴσχειν

ὀκχή (Callim. Hecal. fr. 66)· στήριγμα, βακτηρία, ἔρεισμα, σκῆπτρον

ὀκωχεύειν· ἔχειν, συνέχειν

ὄλα· τὰ ἐντὸς τῆς σηπίας στρογγύλα [9]

ὀλαί (Diphil. fr. IV p. 417)· κριθαί. ἀπαρχαί

ὀλαιμεύς· τὸ (sic) τὰς ὀλὰς βάλλων

ὀλαιτοί· σπερμολόγοι. καὶ ὀλατοί

ὀλβ†άχιον· κανοῦν. Δεινολόχος [14]

ὄλβιος· πλούσιος. εὐδαίμων. ὁ διὰ τοῦ ὅλου βίου μακαριστός (λ 449)

ὀλβοδότης (Eur. Bacch. 572)· πλουσίους παρέχων. Ὄλβος γὰρ ὁ πλοῦτος

ὄλβος· πλοῦτος. χρῆμα. τιμή (σ 122) [18]

ὄλεθρος βαθύς (Aristoph. p. 1078)· ἔνιοι ἐπὶ κόσμου γυναικείου. ἀπώλεια [20. 21]

†ὀλείρ· ἔλειος μῦς ⟨576⟩ [23]

ὀλέκειν· ἀπολλύναι. πολιορκεῖν. φονεύειν [25]

ὀλέκρανα (Ar. Pac. 443)· οἱ πήχεις, τὰ ἐπὶ τῶν ἀγκώνων ὀστᾶ. καὶ †ὀλέκρανες τὰ αὐτά

ὀλερόν (Hippocr. II p. 668 K)· βορβορῶδες. τεταραγμένον [28]

ὀλετῆρες· φονεῖς ⟨534⟩

†ὄλεχθον· τὸ μαζονόμον [31]

†ὀληθείς· ὀδυνηθείς

†ὀλήθη· καὶ τὰ ὅμοια [34]

ὀλιβάξαι· ὀλισθεῖν

ὀλιβρόν· ὀλισθηρόν. λεῖον. ἐπισφαλές

ὀλίγα ἄττα (Ar. Vesp. 57)· ὀλίγα τινά

ὀλιγαρχίαι· ... ὀλίγοι ἦρχον

ὀλιγαρχούμενοι· ὑπὸ ὀλίγων ἀρχόμενοι. τρεῖς δέ εἰσι πολιτεῖαι, βασιλεία, ὀλιγαρχία, δημοκρατία [40—42]

ὀλιγηπελέων (O 24)· ὀλίγον δυνάμενος, ἀσθενής, ἄτονος

ὀλίγινθα· ὀλίγον

ὀλίγιοι· εἶδος ἀκρίδων. τινὲς ῥιζίον, ὅμοιον βολβῷ

ὀλίγιστος· ὀλιγοχρόνιος. ἐλάχιστος (non T 223)

ὀλιγίστου· παρὰ μικρόν

ὀλιγόγνωμον· ὀλίγωρον

ὀλιγοδεής· ὀλίγα χρῄζων (Poll. VI 28)

ὀλιγοδρανέων (O 246)· ὀλίγον δυνάμενος

ὀλιγοδρανής (Ar. Av. 686)· ὀλίγον ἰσχύων, ὀλίγον δυνάμενος [52—55]

ὀλίγου δεῖν· σχεδόν, ἐγγύς

ὀλιγόφρων· μικρόψυχος

†ὀλιγοψύχησα· μικροψύχησα

ὀλιγωρεῖ· ῥᾳθυμεῖ, ἀμελεῖ

.....· ἢ ὀλίγην ἔχων φροντίδα

ὀλιγώρως· μικρολόγως. σκνιφῶς. ῥυπαρῶς

ὀλίζονες (Nic. Th. 123)· ἥσσονες, ἐλάσσονες

ὀλιζοῦται· μειοῦται, ὀλιγοῦται

ὀλιζοῦνται· μειοῦνται, ὀλιγοῦνται

Ὀλιζών· πόλις (B 717). καὶ ὁ ἐλάσσων ⟨ὀλίζων⟩ [65]

†ὀλίκοι· ἐκκομίδαι

ὀλικῶς· ἐξ ὅλου. ἐπιρρηματικῶς

ὄλινοι· κριθῆς δεσμοί. καὶ λῖνος παρὰ Κυπρίοις

ὀλινύει· λήγει. ἀργεῖ ⟨pro ἐλινύει⟩

COD. 505 ὀκνεῖν, φρονεῖν 8 σηπυίας (cf. ὀλός) 10 ὅλαι 11. 12 Phot. 327, 2 13 cf. εὔπλουτον ληχοῖον οὐλοχόϊον 16 πλουσίως 22 ἔλιος 24 ὀλύχειν, ἀπολύναι πολυ| ⟨26 cf. λέκρανα, κύβωλα⟩ 27 ὄλερον (cf. ἀλερόν, θολερόν) 32 ὠχλήθη? ὀνιάθη (Aeolice)? 35 ὠλίβραξαν infra 45 ὄλιγγοι Phot., cf. ὄρπας 47 ὀλιγωστοῦ 51 |δράνος 61 ὀλιζῶνες ⟨cf. ὑπολίζ— et λιζ—⟩ 63 ὀλίζυνται 64 ὀλίζων ⟨68 ὄλενοι (= ὠλέναι) κριθῆς Thes.⟩ 69 ὀλινύ., ὀλίγη ἀργεῖ..

HES. 500 ὀκτάκνημα (E 724)· ὀκτὼ κνήμας ἔχοντα 9 ὀλαεῖ· ἐνοχλεῖ. καὶ ὀλαθεῖ ὁμοίως ⟨521⟩ 14 ὀλβιοδαίμων (Γ 182)· τρισόλβιε. μακάριε, καὶ τὴν οὐδανίαν 18 ὀλοθρευτής (1 Cor. X 10)· λυμεών 20 ὀλέθρου πείρατ' ἐφῆπται (H 402)· ἐπιδέδεται καὶ ἐξῆπται τὸ τοῦ ὀλέθρου ὑμῶν πέρας· οἷον δέδεσθαι(ε) τῶν ὀλέθρων 21 ὀλεῖ· ἐνοχλεῖ ⟨509⟩. ἐξολοθρεύ(σ)ει (Proverb. I 32) 23 ὀλέθριος· ἐξολοθρευτής 25 ὀλέκοντο (A 10)· ἀπώλλυντο. ἐπολιορκοῦντο. ἐφονεύοντο. ἐξωλοθρεύοντο 28 ὀλέσαι (Ω 242)· ἀπωλέσαι 31 ὄλησας (Γ 417)· ὀλοί.., ἀποθάνῃς ⟨604⟩ 34 ὀλητῆρες· φονεῖς ⟨529⟩ 40 ὀλίγῃ ἐνὶ χώρῃ (P 394)· ἐν στενοπῷ 41 ὀλίγῃ ὀπί (ξ 492)· βραχείᾳ φωνῇ 42 ὀλίγη δὲ ἀναπνευσ͂ῃς πολέμοιο (Λ 800)· ὀλίγον καιρὸν εἰς διάπνευσιν δίδωσιν ὁ πόλεμος 52 ὀλίγοισι (μ 252)· μικροῖς 53 ὀλίγον· μικρόν, ἢ οὐδέν 54 ὀλίγον γόνυ γουνὸς ἀμείβων (Λ 546)· πόδα κατὰ τὴν πορείαν ὀλίγον ἐναλλάσσων, ἠρέμα ἀναποδίζων, καὶ οὐ προτροπάδην φεύγων· ὅπερ ἐστὶν εἰς τοὔμπροσθεν τετραμμένος, οἷον νῶτα διδοὺς τοῖς πολεμίοις 55 ὀλιγοροῦντος· ἀδημονοῦντος ⟨ὀλιγω—⟩ 65 ὀλικάς· εἶδος πλοίου ⟨581⟩

ὀλισβοκόλλιξ (Com. IV p. 645)· παρὰ τὸ ἑτοιμοκόλλιξ
ὀλισθαίνειν· πίπτειν
ὀλισθεῖν· δραμεῖν. πεσεῖν. ἐλθεῖν [73]
ὀλισθηρόν (Xen. Eq. VII 15)· πτωτικόν
ὄλισθος· πτῶσις [76]
ὀλκά· δυνατά (Cyrill. 63)
ὀλκάδεσσι· ναυσί, πλοίοις
ὀλκάζει· ἕλκει, χαλιναγωγεῖ
ὀλκαῖον· λακάνη. νιπτήρ. κρατήρ ⟨587⟩
ὁλκάς (Eur. Cycl. 505)· πλοῖον ⟨565⟩. ναῦς φορτηγός. † ἀηδών, † εἰρήνη. δυνατάς
ὁλκαῖς· δυνάμεσι. τόνοις
ὀλκεῖς· οἱ τὰ ἀμφίβληστρα ἐπισπῶνται
ὀλκή· δύναμις. ῥοπή. ἰσχύς. βάρος (Aesch. Suppl. 884). ῥυτήρ, ἢ ῥυσταγμός ⟨590⟩· (σταθμός)
ὀλκῇ μιᾷ· τόνῳ. δυνάμει
ὅλκιον ⟨L. ὁλκεῖον⟩· μέγας κρατήρ. λουτήρ (Philem. fr. I p. 8)
ὀλκήϊον· τὸ αὐτό
ὁλκοί· λύκοι ⟨Diosc. II 68⟩. καὶ οἱ τῶν ὄφεων συρμοί. καὶ αἱ μηχαναί, δι' ὧν αἱ νῆες νεωλκοῦνται (Thuc. III 15)
ὅλκον· † ὀλκάς ⟨ὦλκα?⟩. τὸν ἕλκοντα πλοῖον ⟨ὁλκόν⟩
ὀλκός· ὁδός ⟨aquaeductus⟩. ἰσχυρὸς τόνος † ῥυμός ⟨ὅρμος?⟩. συρμός. βάρος
† ὀλκότης· τὰ αὐτά
ὀλκοὺς ναυστάθμους (Eur. Rhes. 673)· τὰς ἕ(λ)ξεις τῶν πλοίων
ὀλκῶν· ἐφολκῶν. καὶ τὰ ἑξῆς
ὀλλύει· ἀπολ(λ)ύει. φονεύει
Ὄλμιον· ὄρος Ἐφέσου
Ὀλμειός (Hesiod. Th. 6)· ποταμός
ὅλμος· περιφερὴς λίθος, μάρμαρος, ἐν ᾧ τὰς βοτάνας τρίβουσι. καὶ πυτηρίου εἶδος. καὶ τὸ ὑπὸ ταῖς ὑπογλουτίσιν ἑκατέρωθεν κοῖλον. καὶ κύλινδρος (Λ 147)
ὀλοβολάδες· θῖνες
† ὀλόγινον· ὀζῶδες. συμπεφυκός ⟨627⟩
ὀλοεῖται· ὑγιαίνει ⟨1745⟩
ὀλοθούριον (Ar. HA. I 1, 8)· εἶδος θαλάττιον
ὀλοεργός (Nic. Th. 828)· κακοῦργος [603—6]
† ὅλοισος· ὁ ἀπολλύς
ὁλοκαρπούμενον· ὅλον προσφερόμενον [9]
ὄλοκες· αὔλακες [11]
ὁλόκνημοι (Pherecr. fr. I 13 p. 300)· ὁλομελεῖς [13]
ὀλολυγή· ποιὰ φωνὴ λυπηρά, ὀδύνην καρδίας ἀσήμῳ τινὶ φθόγγῳ παριστῶσα
ὀλολυγή· φωνὴ γυναικῶν, ἣν ποιοῦνται ἐν τοῖς ἱεροῖς εὐχόμεναι (Call. Del. 258). καὶ † ἄνθος τι παρὰ λίμναις γινόμενον
ὀλολυγών· ζωΰφιον γινόμενον ἐν ὕδασιν, ὅμοιον ἐντέρῳ (Theophr. fr. 6 de sign. 3, 5). [καὶ τοὺς εὐήθεις δὲ οὕτως ἔλεγον (Menand. fr. CCCLXXIII) [17]
ὅλον οὐσιοῦται· ὅλον ἑνοῦται
ὀλοοῖο (Γ 133)· δεινοῦ. ἢ ἀγαθοῦ ⟨623 et Suid.⟩
ὀλοοίτροπα· παρὰ Ῥοδίοις ἑπτὰ πλάσματα εἰς θυσίαν [21]
ὀλοοίτροχος (Ν 137 Herod. V 92)· ὀλίγα τρέχων. ἢ κυκλοτερής, στρογγύλος λίθος. ἢ (ὁ)λότροχος, ἐπεὶ στρογγύλος, καὶ παντὶ μέρει ἐφαπτόμενος τῆς γῆς. ὁ γὰρ τετράγωνος ἑνὶ μέρει ἐφάπτεται
ὀλοόν· κακόν, χαλεπόν, [ad 23] ἢ ἀγαθόν ⟨619⟩ [24]
ὀλοόφρονος (Β 723)· ὀλέθρια φρονοῦντος, κακόφρονος, δεινοῦ
ὀλόπτειν· λεπίζειν, τίλλειν, κολάπτειν
† ὀλόπτοον· συμπεφυκότα ⟨599⟩
ὀλός· τὸ μέλαν τῆς σηπίας
ὀλοσπάδες (Soph. fr. 967)· ὅλαι κατασπώμεναι, καὶ καταπινόμεναι
† ὀλοστός· ὅλος ὡς ἐστίν

COD. 79 χαλινάγγει Cf. θ'όλκάζει, ποθολκίς et λαθρακάζων 81 πλοῖα 84 ῥυρή- ῦ σταθμος 86. 87 = 87. 86 ὀλκημιο 90 τόπος post συρμός 93 ὀλκῶν, ἐφολκόν 96 ὄλμιος 97 βάρβαρυς — ὑπογλούτησιν 99 ὀζῶνες 607 ὁ λοίγιος? 10 ὀλεκεύς (cf. ἄλοκας ἰῶλκα γόλοκα) 16 Phot. 329, 18. 21 20 ἑπταπλάσματα 22 ἐπιστρόγγυλος — ἐνμέρει 28 ὅλος — σηπυίας 29 ὁλοσπαδεῖς — κατατεινόμεναι

HES. 73 ὀλισθήμασι (Ierem. XLV 22 p. 389 T)· πλάναις. παραπτώμασιν 76 ὄλιος· σκίουρος. ἔλ(ε)ιος ⟨522⟩ 603 ὀλοή (Π 849)· ὀλεθρία 4 † ὀλοίης (Γ 417)· ἀποθάνης ⟨531⟩ 5 ὀλοιῇσιν (Λ 342 v. l.)· ὀλεθρία(ι)ς ἀπωλείας ⟨L. διανοίαις⟩ 6 ὄλοισθε (α 380)· ἀπόλοισθε ⟨ὄλλυσθαι· ἀπόλλυσθαι cod.⟩ 9 ὁλοκαύτωμα (Levit. IV 35 al.)· ὅλον πυρὶ καθαγιζόμενον, ὁλόκληρον 11 ὁλόκληρον (Zachar. XI 16)· σῶον 13 ὁλοκληρία (Iesai. I 6)· ἕνωσις 17 ὀλολυγμός (Eur. Or. 1137)· θρῆνος, κλαυθμός ⟨cf. ξυναόρων⟩ 21 ὀλόμενον· δεινόν Ad 23 ὀλέθριον (Ν 629) 24 Ὀλόοσσων (Β 739)· πόλις Θεσσαλίας

ὀλόσφυροι, ὀλοσφύρατοι
ὀλοσχερής (Soph. fr. 1020, 4)· τέλειος, ὁλόκληρος. (ὡς) δυσχερής
ὀλοσχερῶς (Diphil. fr. IV p. 387)· τελείως. (διόλου. διαμπάξ. ἐξ ὁλοκλήρου)
ὀλόσχοινος (Theophr. IV 13)· ὀξύσχοινος
ὀλότροχος· περιφερὴς λίθος
ὀλουρίδας· εἶδος κόγχης
ὀλούροισιν· ἄνω τῆς θύρας στρόφιγγες
ὀλούφειν· τίλλειν
ὀλοφυγδόνα (Theocr. IX 30)· φλυκτὶς ἐπὶ τῆς γλώττης
ὀλοφυδνόν (Ε 683)· ὀλοφυρτικόν. λυπηρόν, θρηνητικόν, ὀδυρτικόν
ὀλοφυκτίς (Hippocr. II p. 875 K)· τὴν φλύκταιναν. οὐκ εὖ· ἐπὶ γὰρ τῶν δυναμένων φύεσθαί τι. ἐπιφλυκτίδα, ἢ δοθιῆνα
ὀλοφύρεται· ὀδύρεται (Χ 169?), κλαίει, θρηνεῖ, †κοπετεῖ
†ὀλόφυς· οἶκτος. ἔλεος. θρῆνος
ὀλοφώϊα (δ 410 al.)· ὀλέθρια, οἷον ὀλοποιά, δεινὰ βουλεύματα
ὀλοφώϊος· πολύπειρος, πολύφρων. πανοῦργος, πονηρός (Nic. Th. 327)
ὀλόφωνος (Cratin. fr. I p. 162)· ὁ ἀλεκτρυών· ἢ ἀπὸ τοῦ λόφου, ἢ ἀπὸ τοῦ ἐν τῷ ᾄδειν ὅλον αἴρεσθαι καὶ μετεωρίζεσθαι [47]
ὄλπα· †ἡ ἐλπίς (κάλπις). καὶ χόνδρου τις ἕψησις. λήκυθος. ἔδεσμά τι. ἢ ὄλβος
ὄλπις (cf. Theocr. XVIII 45)· οἰνοχόη [50]
Ὀλυμπία δοκός· ..... [52]
Ὀλύμπια· ὁ Ἀθήνησιν ἀγών
Ὀλύμπιον (Aristot. Pol. V 11 Aristoph. fr. CCXXIX)· τοῦτο ἀτελὲς ἔμεινεν Ἀθήνησιν οἰκοδομούμενον, πολλάκις ἀρχὰς λαβὸν τῆς κατασκευῆς
Ὀλυμπιονίκης· στέφανος εἰς Ὀλυμπίαν [56]
Ὀλυμπίου πνοαί· Ὀλυμπίας ἄνεμός ἐστιν ὁ ἀπὸ τοῦ Ὀλύμπου πνέων Ζέφυρος

Ὄλυμπος· οὐρανός, θεοῦ οἰκητήριον. καὶ ὄρος ἐν Μακεδονίᾳ
Ὀλύμπου νόμος (Ar. Eqq. 9)· τῶν αὐλητικῶν τις
ὄλυνθος· τὸ μὴ πεπεμμένον σῦκον
†ὄλυνος· τὸ ἀπότριμμα, καὶ ἀποκάθαρμα
ὄλυρα· εἶδος σπέρματος. ἢ βρῶμά τι μεταξὺ σίτου καὶ κριθῆς. οἱ δὲ αὐτὴν τὴν κριθήν. ἄλλοι καρπόν τινα σιτικόν, ζειάν· τινὲς ζέαν (Θ 560)]63. 64]
ὀλώλαμεν (Soph. OT. 1505)· ἀπολώλαμεν, ἀπεθάνομεν [66. 67]
ὅλως· παντελῶς
ὁμᾶ (Sophr. fr. 92)· ὁμοῦ(. ἢ ἅμα· ὁμοῦ)
ὁμαδεύειν· ἀθροίζειν
ὅμαδος· ἄθροισις. θόρυβος (Β 96). ὄχλος. τάραχος (Ι 571). στρατός. ἀπὸ τοῦ ὁμοῦ
ὅμαιμοι (Aesch. Sept. 940)· ἀδελφοί, συγγενεῖς. ὁμόαιμοι
ὁμαιχμίη (Herod. VII 145)· συμμαχία. [ad 73] καὶ ὁμαιχμία (Thuc. I 18)
ὅμαιχμοι· σύμμαχοι
ὁμαλεῖς· ὁμοῦ
ὁμαλόν· λεῖον (ι 327?). ἴσον, ἰσόπεδον. εὔχερές
ὁμάξασθαι (Aeoles)· ἐκμάξασθαι. ὁμοιωθῆναι
ὁμαρές· ὁμοῦ. συμφώνως (Arcad. 143, 4)
ὄμαρξον (Cret.)· ἀπόμαξον (789) [80. 81]
ὁμαρτεῖν (Hom. Call. Cer. 130)· συντυχεῖν. ἐπακολουθεῖν. συναθροίζειν
ὄμαυλον (Soph. fr. 19)· ὁμόκοιτον. ὁμοῦ αὐλιζόμενον
ὄμβρος· χοιρίδιον (ὄβρος). ἢ ὑετός
ὀμβρεῖ· †ἀτιμάζει, [ad 85] ὑπερισχύει. αὔξει. πιαίνει. πλήθει [86—89]
ὁμείρονται· ἐπιθυμοῦσιν [91]
ὅμερος· τυφλός
ὁμέστιοι (Empedocl. 410 Sz.)· σύνοικοι
ὁμέστιον· σύνοικον [95. 96]

COD. 32 ὀλοσφερής· διόλου, διαμπάξ — δυσχερὴς ἐξ ὁλοκλήρου 38 ὀλουφεῖν 40 ὀδυρητικόν 41 δοθῆναι 43 ὀλοφυστύς! 48 ἔφεσις λίκυνθος ἐδέσματι 51 δόκος cf. ἐλύμνιαι 54 λαβὼν (Ὀλυμπιεῖον) 55 ὀλυμπιονύκης 57 ὀλύμπιος ἄνεμος 69 ἢ ἄρα ὁμοῦ post 68 73 ὁμαίχμη 84 cf. ἰβρίκαλοι 93 ὅμηρος

HES. 47 ὀλοώτερος (Γ 365)· ὀλέθρου αἰτιώτερος 50 ὀλύει· φθείρει 52 Ὀλυμπία δώματ' ἔχοντες (Α 18)· οἱ τὸν Ὄλυμπον κατοικοῦντες θεοί, ὅ ἐστιν ὄρος ἐν Μακεδονίᾳ, καὶ οὐρανός 56 Ὀλύμπιος (Hom.)· οὐράνιος 63 ὄλλυται· ἀπόλλυται 64 ὄλχον· ἐνέδραν (λόχον?) 66 ὀλώλῃ (Δ 164 al.)· ἀπόληται 67 ὄλλονται (Θ 34 al.)· ἀπόλλονται Ad 73 καὶ ὁμαίθεια 80 ὁμαρτῇ (Eur. Hec. 839)· ὁμοῦ 81 ὄμβρον· βρόχον, ὑετόν Ad 85 ἀκολουθεῖ (ad ὁμορθεῖ) 86 ὁμειλάδον (Μ 3)· μετατάγμα καὶ ἄθροισμα (725) 87 ὁμιλέσωσι (Τ 159)· συμβάλωσιν 88 ὅμιλος (Σ 603)· συστροφή. ἀπὸ τοῦ ὁμοείλας εἶναι. καὶ πλῆθος ὄχλου 89 ὀμειρόμενοι (v. l. I Thess. II 8)· 91 ὁμεῖται (Ι 274)· ὀμνύει 95 ὁμέστι[κ]ος· ὁμόοικος (Greg. Naz. C. VI 3 p. 220) 96 ὀμᾶ (cf. Ν 626)· ὅπερ ὁμοῦ (ὅ μευ· ὅπερ ἐμοῦ)

ὀμευνήτου ⟨—έτου⟩· συγκοίτου, ὁμολέκτρου [98—700]
ὁμηγόροι· ἰσάγοροι, ἐν ταὐτῷ συνήγοροι
†ὁμηγύρειν· τὸ συνάξαι
ὁμηγύρεως· συνόδου, συναθροισμοῦ
ὁμήγυρις (Aesch. Cho. 6)· πλῆθος, ὄχλος, συναγωγή, συνέλευσις
ὁμηγυρίσασθαι (π 376)· ὁμοῦ συναγαγεῖν πολλούς
ὁμήθεα (Nic. Th. 415)· συνήθη [7. 8]
ὁ μήν (Ω 57 κ 41)· ὁμοίαν. τὴν αὐτήν [10—13]
ὁμηρεῖν· ὁμοῦ ἡρμόσθαι. καὶ συμφωνεῖν
ὁμηρεῖ· ἐγγυᾶται. ἀκολουθεῖ
Ὁμηρ†εῖδαι· αἱ ῥαψῳδίαι
ὁμηρέταις· ὁμοψήφοις, ὁμογνώμοσιν
ὁμηρεῦσαι (Hesiod. Th. 39)· ὁμοφωνοῦσαι, ὁμοῦ λέγουσαι
(ὁμηρῆσαι·) τὸ συμβολῆσαι
†ὁμηρτῆρες· ἀκόλουθοι. συνήγοροι
ὁμηρίδδειν· ψεύδεσθαι
ὅμηροι (Herod. VIII 94)· οἱ ἕνεκεν εἰρήνης διδόμενοι, ἐνεχυραζόμενοι
ὅμηρος· ὁ τυφλός (Lycoph. 422). καὶ ὁ ἐνεχυραζόμενος [23]
ὁ Μίδας· βασιλεὺς Φρυγῶν πλούσιος [25—28]
ὁμιλέομεν· διαλεγόμεθα (non Hom.) [30]
ὁμιλία· διήγησις. ὅμιλος
ὁμιλίᾳ χθονός (Eur. Phoen. 1413)· ἀντὶ τοῦ φιλίᾳ, ἔρωτι τῆς πατρίδος. καὶ ἀντὶ τοῦ πάλῃ. περὶ γὰρ τὴν πάλην ἐσπούδασαν οἱ Θηβαῖοι
ὅμιλος (Σ 603)· ἄθροισμα. ὄχλος. θόρυβος. δῆμος. πλῆθος. [μάχη.] σύνοδος. μάχη. ἀπὸ τοῦ ὁμοῦ εἰλεῖσθαι κατ' αὐτὸν ⟨κατὰ τὸν⟩ ὄχλον
ὅ μιν· ὅτι αὐτόν
ὀμιχεῖν (Hesiod. Op. 725)· οὐρεῖν
ὀμίχλη (Λ 359) ἢ ὀμίχλα· ἀὴρ παχύς, σκοτεινός, ἀχλὺς [σκοτεινός] ὑδατώδης. σκοτία
ὀμίχματα (Aesch. fr. 426)· οὐρήματα
†ὀμματεῖς· πηρούς. †ἢ βλάπτεσθαι
ὀμμάτειος πόθος (Soph. fr. 729)· διὰ τὸ ἐκ τοῦ ὁρᾶν ἁλίσκεσθαι ἔρωτι·

ἐκ τοῦ γὰρ ἐσορᾶν γίνετ' ἀνθρώποις
ἐρᾶν

καὶ ἐν Ἀχιλλέως ἐρασταῖς (fr. 162) ὀμματοπάλογχά φησιν
ὁμοαιχμία· ὁμομαχία [41]
ὁμόβωμοι θεοί (Thuc. III 59)· ἐν Ἐλευσῖνι Δήμητρος καὶ Κόρης εἰσίν ......
ὁμογάλακτες (Aristot. Pol. I 1, 2)· οἱ ἐκ τοῦ αὐτοῦ γένους. ἢ ἀδελφοί [44]
ὁμογενῶν· συγγενῶν
†ὁμόγνουα· ἢ ἤγνοια
ὁμοδάλιον· ἰσοετές
ὁμοδίαιτος· ὁμότροφος. ὁμοτράπεζος, σύνοικος ⟨797⟩
ὁμόδοξος· μιᾶς καὶ τῆς αὐτῆς δόξης [50]
ὁμοερκής (Solo Poll. VI 156)· ὁμότοιχος
ὁμόζυγος· γαμετή
†ὁμοήγορον· ὅμοιον
ὁμόθεν (ε 477)· ἐκ τοῦ αὐτοῦ τόπου·

ἐξομόθεν πεφυῶτας

ὁμοθυμαδόν (Ar. Pac. 484)· ὁμοῦ. ὁμοψύχως
ὁμόθυμος· ὁμόφρων, ὁμόψυχος [57—60]
ὁμοιΐου (Ν 358)· τοῦ ὁμοῦ ἰέναι ποιοῦντος πτολέμοιο, ⟨ἢ⟩ ἐν ᾧ ὅμοιος πᾶσι καὶ ἴσος ὁ κίνδυνος (Σ 309)·

ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα ....

ὁμοίως δέ φησι καὶ ὁμοιΐου θανάτοιο (γ 236). καί·

ἀλλά σε γῆρας τείρει ὁμοίιον (Δ 315)

COD. 701 ἰσίγοροι 3 |σμένου Post 13] 18a. b ὁμηρεῦσαι· τὸ συμβ. ὁ. ὁ. λ. 15 εἱρμόσθαι 16 ὁμήρει 20 ὁμηριάδειν cf. ῥαψῴδημα 32 ὁμιλίαι — φιλίαι ⟨38 ὀμματοστερεῖς?⟩ 39 γίνεται 47 ὁμοδάλιοι, ἰσοέτες 54 πεφυκότες 61 ἴσος — τεκτανέοντα — ἄλλας ἀγείρας τηρεῖ

HES. 98 ὁμή· ὁμοία (Ψ 91). ἢ ὀμνύεις ⟨ὁμῇ Greg. Naz.⟩ 99 ὁμηγερέες (Α 57)· ὁμοῦ ἀθροισθέντες 700 ὁμηγερέεσσιν (Ο 84)· ὁμοῦ πᾶσιν 7 ὁμιλεῖ (Σ 194)· πολεμεῖ, συμμαχεῖ 8 ὁμιλικίη (γ 49)· τῆς αὐτῆς ἡλικίας, συνῆλιξ 10 ὁ μήνιε ν..... (Α 488)· ὠργίζετο 11 ὁμή, νῶϊ(ν Ψ 91· ἡ) αὐτὴ ἡμᾶς τοὺς δύο 12 ὅμηρα (I Macc. I 11)· τὰ ἐπὶ συμβιβάσει διδόμενα ἐνέχυρα 13 ὁμηρεύειν ⟨ficticium⟩· συμφωνεῖν 23 ὀμηνήν· τροφήν ⟨ὀμπνην⟩ 25 ὁμιλαδόν (Μ 3)· ἐν συστροφῇ καὶ τάξει μάχεσθαι, κατὰ τάγμα καὶ ἄθροισμα ⟨686⟩ 26 ὁμιλεῖ· συναναστρέφεται (Ε 834). μάχεται 27 ...... (Π 641) ἐπακολουθῆσαι νεκρῷ 28 ...... (σ 166)· ἀναστρέφεσθαι. λαλεῖν. τίθεται δὲ καὶ ἀντὶ φιλίας, καὶ διαλέξεως 30 ὁμιλήσειε (α 265)· συναναστραφῇ. (30b) ἢ ἐμαχέσατο, καὶ συνέβαλε πρὸς μάχην ⟨ὡμίλησε⟩ 41 ὁμοβόρος· ὁμοφάγος ⟨ὠμ—⟩ 44 ὁμογάστριος (Φ 95)· ἐκ τῆς αὐτῆς γαστρός 50 ὁμόδουλος· σύνδουλος ⟨Moer. 273 e Plat. Phaed. p. 85 B⟩ 57 ὅ μοι (Α 120)· ὅτι μοι 58 ὅμοια· ἴσα· ὁμοίη ἔνθεος τιμῇ (Δ 410) 59 ὁμοίης (Δ 278)· ὁμοίας. τῆς ἴσης 60 ὁμοιΐου πτολεμοῖο (Ν 358), ἐν ᾧ ὁ......

ὁμοιογενῆ· ὁμόφυλον, συγγενικόν
ὁμοιόπτεροι· ὁμοιότιμοι
ὅμοιος· ἐν ταὐτῷ συνεστώς
ὁμοιοῦσθαι· ἐξισοῦσθαι
ὁμοιωθήμεναι (Α 187 γ 120)· ἐξισωθῆναι. συμμιγῆναι
ὁμοκλῇ (Ζ 137)· ἀπειλῇ. βοῇ
ὁμοκλῆς (Alcae. Strab. 413)· ὁμώνυμος. ἢ ἀπειλῆς (Call. Del. 158)
ὁμοκλή(σα)ς· ὁμοῦ ἀπελθών. ἀπειλήσας (Ε 439) βοήσας. στενάξας [70. 71]
ὁμοκλητῆρος (Μ 273 Ψ 452)· ἀπειλητῆρος. τοῦ παρακελευομένου
ὁμόκλητος (cf. Nic. Th. 882)· ὁ μιᾷ ⟨ὁμοίᾳ?⟩ κλήσει καλούμενος μετὰ ἑτέρου
ὁμολγῷ (Aeol. Dor.)· ζόφῳ
†ὁμολιῶν· ἰσάζων. καταλ(ε)ιαίνων
ὁμόλεκτρος (Eur. Or. 476)· σύγκοιτος [77]
ὁμολόγως· συμφώνως
Ὁμολωΐδες (Aesch. Sept. 570 Eur. Ph. 1119)· πύλαι ἐν Θήβαις
Ὁμολώιος Ζεύς· Θήβησιν οὕτω προσαγορεύεται ὁ Ζεύς [81—83]
ὁμόπαιδα κάσι(ν) Κασάνδρας (Trag. adesp. fr. 191)· ὁμοῦ παιδευθέντα, ἢ ὁμοῦ τεκνωθέντα· ἐπειδὴ δίδυμοί εἰσιν
ὁμόπτεροι· ὅμοιοι. ὁμότριχοι. ὁμόχρονοι, ἀδελφοὶ ἥλικες, ὁμοῦ ηὐξημένοι
ὁμορβεῖν· ἀκολουθεῖν ⟨685⟩. ὁδοιπορεῖν [87]
ὁμορίτας· ἄρτος ἐκ πυροῦ διηττημένου γεγονώς
ὀμόρξαι· ἀπομάξαι, ἀποψήσασθαι
ὀμόρξῃ· ἀποψήσῃ
ὅμορος· πλησιόχωρος, γειτνιῶν
ὁμοροῦσα· γειτνιῶσα· πλησιάζουσα
ὁμορροθοῦντες· ὁμοφωνοῦντες, ὁμοηχοι
ὁμορροθεῖν· ὁμοῦ ἕλκειν, καὶ συμφωνεῖν
ὁμόρροσα· ἀθρό[ι]α [96. 97]
ὁμορῶν· ἀστυγείτων [99—801]

ὁμόσε· εἰς τὸν αὐτὸν τόπον (Μ 24)·
τῶν πάντων ὁμόσε στόματ' ἔτραπε
ὁμοσίπυοι (Charondas)· ὁμοτράπεζοι
ὁμόσκευοι (Thuc. II 96)· τῷ αὐτῷ ὁπλισμῷ χρώμενοι [5. 6]
ὁμόσπονδος (Herod. IX 16)· φίλος
ὁμόσποροι· ἀδελφοί
ὁμοστιβεῖ(ς)· συμπράττοντες
ὁμοστιχάει (Ο 635)· ὁμοστιχεῖ. ὁμοῦ πορεύεται
ὁμόστολοι· συμπράττοντες. τῇ αὐτῇ ὁδῷ κοινωνοῦντες
ὁμόσφυροι· συνοδοιπόροι
ὁμόσφυρος· ἀδελφή. τῆς δὲ τρίτης συλλαβῆς ἐκτεινομέοης, δηλοῖ τὸν ὁμόχωρον. Σφύρα γὰρ τῆς σπορίμου γῆς τὸ μέτρον
ὁμοταγεῖς· οἱ ἐν τῷ αὐτῷ τάγματι
ὁμοτέρμων· ὅμορος, γείτων
(ὁμότιμος)· ὁμόδοξος. ἰσότιμος. ὅμοιος
ὁμοῦ (Aristoph. p. 1163)· ἐγγύς. τοπικόν. ἢ ‚ἄνδρες Ἀθηναῖοι δισμύριοι' (Demosth. 785, 23) [ad 18] [19]
ὅμουρα· σεμίδαλις ἑφθή, μέλι ἔχουσα καὶ σησάμην
†ὁμούρησιν· τὴν ὁμήρησιν. Ἀττικοί
ὁμουροῦσι ⟨ἔουσι Herod. II 33⟩· γειτνιῶσιν ἐν τοῖς ὅροις
ὁμοῦ 'στιν (Ar. Pac. 513)· σχεδόν, ἐγγύς ἐστιν
ὁμοφροσύνη· προσηνία, πρᾳότης
ὁμοφυής· ὁμογενής
ὄμπαι (Callim. fr. CXXIII 1)· θύματα. καὶ πυρ(ο)ὶ μέλιτι δεδευμένοι [27]
ὄμπια· παντοδαπὰ τρωγάλια
ὄμπνη· τροφή. εὐδαιμονία ⟨723⟩
ὀμπνηρὸν ὕδωρ· τρόφιμον
ὄμπνια· τὰ ζωτικά
ὄμπνια· καρποφόρος. †τροφή. ἄφθονος. ἀγαθή. νόστιμος. ἢ τὸ ἀναπνεῖν ἡμῖν διδοῦσα

COD. 66 ἐξισο| 67 |εῖ |εῖ |ᾶ 74 ὁμολογῶ· ζοφῶ 79 ὁμολοειδεῖς 80 ὁμόλοος 84 παιδευθέντες 86 cf. ἀμ— 88 διηρημένου (cf. ἀμ—) 90 ἀπέψήσ.. 95 ἄθροια 802 ἔτραπτε 4 ὁπλισμένῳ 9 ὁμόστιβοι 13 ὁμόχορον 18 Cf. marg. 1921 20 ὁμοῦρα 23 ὁμοῦστιν 30 post 35 31 ζωδικά ⟨32 τρόφιμος?⟩

HES. 70 ὁμοκλήσασκεν (Β 199)· ἢ ὁμοκλεῖν. ἐβόα 71 ὁμοκλητῆρες· ἀπειλητῆρες 77 ὁμολοβρός (σ 26)· αἰσχρός, ἀναιδής. περίτριμμα 81 ὁμόν· ἐν τῷ αὐτῷ ὅμοιον (Ν 354)· ἠμὶν ἀμφοτέροισιν ὁμόν 82 ὁμοούσιον· τὸ ἐξ αὐτοῦ τοῦ ὑποκειμένου ὑπάρχον 83 ὁμοουσιότης· ταυτότης κατὰ τὸ ὑποκείμενον, καὶ τὸ ἀπαράλλακτον κατὰ τὴν οὐσίαν 87 ὀμόργνυ (Ε 419)· ἀπέψα. ἀπέμε(ασ)σεν 96 ὁμοροῦσα· γειτνιῶσα, πλησιάζουσα 97 ὁμόροφος· ὁμοδίαιτος. συνάοικος ⟨748, ex onom.⟩ 99 ὁμός (Δ 437)· ὅμοιος. ὁ αὐτός 800 ὀμόσαι (Τ 187)· ὀμόσω. ὀμνύω 801 [ὀμόσαι] ὄμοσον (β 373)· ὄμνυω ⟨—υε⟩ 5 ὁμόσε χωρεῖν· συνδραμεῖν (cf. Ar. Lys. 451) 6 ὁμόσιτοι· ὁμοτράπεζοι ⟨803⟩ Ad 18 ὁμόφρονες 19 ὀμοῦμαι (Α 233 Deuter. XXXII 40)· ὀμνύω 27 ὀμπάται· ὑβρίζει. προπηλακίζει ⟨ὄνατα⟩

ὀμπνίῃ δαιτί· ἀντὶ τοῦ πολλῇ

ὀμπνίου νέφους (Soph. fr. 226)· μεγάλου, πολλοῦ, ηὐξημένου

ὄμπνιος λειμών· ὁ τῶν πυρίνων καὶ Δημητρίων καρπῶν· ἐπεὶ Ὄμπνια ἡ Δημήτηρ

ὀμπνιόχειρ· πλουσιόχειρ. πλούσιος

ὀμφά· ὀσμή. Λάκωνες

ὄμφακες (η 125)· πάντα τὰ αὐστηρὰ καὶ ὀξέα, ἤγουν ὄξινα

ὀμφακίας (Ar. Ach. 352)· πάροξυς

ὀμφαλητόμος (Hippocr. 608, 55)· μαῖα

Ὀμφαλίδαι· πατριαὶ ⟨—ά⟩

ὀμφαλιστήρ· ᾧ τοὺς ὀμφαλοὺς ἀποτέμνουσιν

ὀμφαλόεσσα· ἡ Ἄρκτος (Nic. Al. 7)· διὰ τὸ μέσον τὸν βόρ(ε)ιον πόλον περιέχειν. τινὲς δὲ τὴν εὔτροφον χώραν [ad 43] [44]

ὀμφαλός· ζυγοῦ τὸ μέσον. καὶ Δελφοί, ἐπειδὴ μεσαίτατοι

ὀμφαλὸς Αἰγαῖος· ζητεῖται πῶς τὴν Πυθὼ (.....) ὀμφαλὸν Αἰγαῖον. τινὲς δὲ παρὰ τὸ τῆς Αἰγαίων γῆς (.....)

ὀμφή· φήμη θεία. κληδὼν θεία. φωνή. δόξα. πνοή (837). ὀνείρου φαντάσματα

†ὄμφορα· ὅσα ἀπὸ τῶν ἱερῶν ἐκφέρεσθαι ὁ νόμος κωλύει

ὀμφύνειν· αὔξειν. σεμνύνειν. ἐντιμότερον ποιεῖν [50]

ὁμωρόφιος καὶ ὁμώροφος (Dem. 553, 3)· ὁ ὑπὸ τῇ αὐτῇ στέγῃ ὑπάρχων

ὅμως· πλήν. ὁμῶς· ὁμοίως

ὁμωχέται (Thuc. IV 97)· οἱ συμμετέχοντες τῶν αὐτῶν σπονδῶν. ἢ ὁμοβώμιοι. καὶ ὁμόναοι (Boeoti)

ὅν· ἄρθρον ἀρσενικὸν ἑνικὸν ὑποτακτικόν·

ὅν τινα μὲν βασιλῆα καὶ ἔξοχον (B 188)

καὶ οὐδέτερον ὑποτακτικόν·

Ζεὺς δὲ πρὸς ὃν λέχος ἤϊ' Ὀλύμπιος (Α 609)

καὶ ἀντωνυμία ἀρσενικὴ τρίτου προσώπου ἀντὶ τοῦ τὸν ἑαυτοῦ·

αὐτὰρ ὅγ' ὃν φίλον υἱὸν (Z 474)

ἢ ὑπάρχον ⟨ὄν⟩ †. ἢ τὸν αὐτόν

ὀναίμην (Soph. OT. 644)· τύχοιμι, ἀπολαύσω, ὠφεληθείην [56]

ὄναιντο ἢ ὀναί(α)το (Simonid. Anth. Pal. VII 516, 2)· ὠφεληθεῖεν

†ὄναιον· ἀρεῖον

ὄναρ (Α 63)· καθ' ὕπνον φαντασία

ὄνασθαι (Eur. Med. 1025)· ὠφελῆσθαι

†ὀνᾶς· δοῦλον. ἀνόητον. ἀχρεῖον

ὄναται· ἀτιμάζεται. μέμφεται (827) [63]

ὄνειαρ· ὠφέλημα. ὀνήσιμον. ἀγαθόν (Call. Ep. LII 6) [65]

ὀνείατος· στρατηγός ⟨τραγήματος?⟩

ὀνειάτων· ὀνησιφόρων [68]

ὄνειδος· αἶσχος. μέμψις. κατήφεια. καὶ κλέος (Eur. Phoen. 1732). καὶ εἶδος πόματος [70]

†ὀνείλεον· θυσία Ποσειδῶνος

Ὄνειον (Thuc. IV 44)· ὄρος ἐν Κορίνθῳ

ὀνειρείῃσι πύλῃσι (δ 809)· ταῖς τῶν ὀνείρων πύλαις, αἷς ὑφίσταται μυθικῶς, ὧν τὴν μὲν μίαν κερατίνην, τὴν δὲ ἑτέραν ἐλεφαντίνην. ἢ τῷ ὕπνῳ. διὰ γὰρ τούτων ὄνειροι εἰσπέμπονται

ὀνειρόπληκτος· ὀνείρῳ πεπληγώς [ad 74]

ὀνειροπολεῖ (Ar. Nub. 15)· ὡς ἐν ὀνείρῳ βλέπει, ἢ ὡς ἐν ὕπνῳ φαντάζεται

ὀνειροπόλος (α 62)· ὀνειροκρίτης. ἢ ὁ περὶ τοὺς ἰδίους ὀνείρους πολούμενος, καὶ διὰ τούτων † τοὺς πέλας μαντευόμενος· ἢ ὁ κρίνων αὐτούς

ὀνειροπολῶν· δι' ὀνείρων μαντευόμενος [78—80]

ὀνήμεναι· ὠφεληθῆναι [82]

ὄνησις· ἰσχύς. ὠφέλεια

ὀνησιφόρος· ὠφέλειαν φέρων (1731)

ὀνησιφόρων· τὰ ὠφέλιμα φερόντων [86. 87]

COD. 33 ὀμπνεῖ 34 |είου 35 |ειος — πυρ.νων καὶ δημ.τρίων καρπὸς 36 ὀμπνειόχειρ 37 ὄμφα, cf. ποτόμφει 39 παρόξους 40 |ίτομος 45 μεσέτατοι 46 αἰγὸς 49 cf. ὠμφ— 51 ὀμόροφος 53 ὀμοχέται — ὀμοβώμενοι 54 εἴη Post 60] 64 63 ὀνᾶται 73 |ησι 75 βλέπεν — φαντάζεσθαι 81 ὀνειμέναι

HES. Ad 43 ἢ ὀμφαλοὺς ἔχουσαι, ἢ στρογγύλαι. καὶ ἀσπίδες ὀμφαλόεσσαι (Δ 448) 44 ὀμφαλόεντα (Ω 269)· ὀμφαλοὺς ἔχοντα ζυγόν. Ὀμφαλοὺς δὲ λέγουσι τὰς ἐν τῷ ζυγῷ τρώγλας, ἐφ' ⟨ἀφ'⟩ ὧν αἱ ἡνίαι δέδενται 50 ὀμωθῆναι (Ξ 209)· εἰς ὁμὸν οἱ ἐλθεῖν 56 †ὀναίνειν ⟨ὀνάμην⟩· ἀπήλαυσα 63 ὃν γόνον (λ 233)· τοὺς ἑαυτοῦ προγόνους, ἢ τὴν ἑαυτοῦ γένεσιν 65 ὀνείατα (κ 9)· ὅσα ὄνησιν παρέχει καὶ ὠφέλειαν. ἀγαθὰ βρώματα 68 ὀνείδη (Prov. III 31)· ὕβρεις. χλευάσματα. κατηγορίαι. αἰσχύναι 70 ὀνείνυεν· ὠφέλησεν Ad 74 ἢ ὀνειροκρίτης 78 Ὄνειρος (B 8)· ὁ θεός. καὶ τὸ δι' αὐτοῦ θέαμα 79 ὄνετο· ὠφεληθείη ⟨ὄναιτο⟩ 80 ὀνήμενος (β 33)· ἄξιος ὀνήσεως· οἷον ὄνησιν ἑαυτοῦ λάβοι. τινὲς δὲ φρόνιμος 82 ὀνείσεαι (Z 260)· ὄνησιν λήψῃ (921) 86 ὀνητά· μεμπτά ⟨ὀνοστά?⟩ 87 ὃν ἠτίμησεν (Α 94)· ὃν ἀτίμως ἔπεμψεν

ὀνήτωρ· ὄνησιν φέρων [89]
ὄνθος (Ψ 775)· βόλβιτον, κόπρος βοῶν
ὄνια· ὠφέλιμα. ἢ βρώματα. ἢ κτήματα ⟨cf. ἄσπετ' ὄνεια⟩
ὄνιαρ (Boeoti?)· ὠφέλεια
ὀνίας (Nicand. Thyat.)· σκάρου εἶδος
ὄνιγλιν (Alcm. fr. 115)· εἶδος οἴνου
ὀνίδια· τοῦ ἵππου τὸ ἀφόδευμα
ὀνίνασθαι (Plat. Gorg. 525 B)· ὠφελεῖσθαι
ὀνίνησιν· ὠφελεῖ
?ὀνίνοιεν· ὠφελήσοιεν ⟨αιεν — αιεν⟩
ὀνίσκος· τεκτονικὸς πρίων
†ὀνίστειοι· νεοσσοί
Ὀνίτης· ἥρως ὄνομα. καὶ ἴσως ἂν εἴη†
ὀνῖτις (Nic. Al. 56)· ὀρίγανον
[ad 903] ὀνοβάτιδες· αἱ ἐπὶ μοιχείᾳ ἁλοῦσαι γυναῖκες καὶ ἐξενεχθεῖσαι ἐπὶ ὄνων
(ὄνογλιν cf. ὄνιγλιν)
ὀνόγυροι (Nic. Th. 70)· σειροί. καὶ πόα τις
†ὀνοδέστεροι· ἄγνωστοι [6]
ὀνοκίνδιος (Eupol. fr. VI p. 502) καὶ ὀνοκίνδας· ἀστραβηλάτης. ὀνηλάτης [8. 9]
ὀνομακλυτὸς Ἄλτης (Χ 51)· κατὰ μὲν τοὺς ἐν ἀκούοντας ἔσται ὁ ἔνδοξος κατ' ὄνομα· κατὰ δὲ τοὺς διαιροῦντας ὁ τῷ ὀνόματι κλυτός
ὀνομαστοί (Herod. VIII 89)· ἔνδοξοι, περιβόητοι
ὀνομῆναι· ὀνομάσαι, ἐπαγγείλασθαι [13]
ὀνόπη· ἀμπέλου μελαίνης εἶδος
ὀνόπορδον· τὴν ἑλξίνην. ἔστι δὲ λάχανον ἄγριον. καὶ εἶδος κογχυλίου (Epicharm.)
ὄνος· ὁ ἀνώτερος λίθος τοῦ μύλου (Alexid. p. 477). καὶ τὸ ὑποζύγιον. καὶ τὸ περὶ τὰ τῶν ὑδάτων ἀγγεῖα πολύπουν ζῶον καὶ συστρεφόμενον, ὡς κύαμος. καὶ τὸ ἀχθοφόρον ζῶον. καὶ ἐφ' οὗ τὴν κρόκην νήθουσι. καὶ ἰχθῦς (Anaxandr. fr. I 50 p. 184) ποιός, ὁ (κα)ὶ ὀνίσκος λεγόμενος
ὀνόσαιτο (Ν 127)· ἐκφαυλίσει(ε). μέμψαιτο
ὄνος ἄγει μυστήρια (Ar. Av. 159)· τοῖς μυστηρίοις ἐξ ἄστεος (εἰς Ἐ)λευσῖνα κομίζουσι τὰ πρὸς τὴν χρείαν διὰ τῶν ὄνων. τότε μάλιστα εἶχον τοὺς ὄνους ἀχθοφοροῦντας
ὄνος Ἀντρώνιος (Pherecr. fr. XII p. 260)· παρόσον ἐν Ἀντρῶνι τῆς Θεσσαλίας ὄνοι μεγάλοι γίνονται
ὄνος ἰσόσπριος (Soph. fr. 335)· ἔστι δὲ ζῶον πολύπουν, ὀσπρίῳ ὅμοιον, ὃ καὶ ἰουλόν τινές φασιν [21]
ὀνοστά· ἐκφαυλισμοῦ ἄξια, ψεκτά, μεμπτά, εὐτελῆ, φαῦλα. ἢ καὶ ἄμεμπτα (Ι 164)
ὀνοστύπαξ (Com. inc. fr. CLXV)· [ad 23] διὰ μὲν τοῦ ὄνου τὸν μύλωνα ὀνειδίζων· διὰ δὲ τοῦ στύπακος, ὅτι στυππ(ε)ιοπώλης ἦν
ὀνοτάζειν· ὀνειδίζειν, ὑβρίζειν
ὀνοταζομένη· πορθουμένη. Ἴων μεγάλῳ δράματι (fr. 14). κυρίως δὲ ἐπὶ τοῦ ἐκφαυλίζεσθαι
ὀνοτάζων (Hesiod. Opp. 258)· ὑβρίζων, ἐκφαυλίζων
ὀνοτός (Pind. I. III 68)· μεμψίμοιρος. πτωχός. ἐπονείδιστος
ὄνου γνάθος· Εὔπολις (fr. inc. LXXXV) παίζει εἰς πολυφαγίαν. ἔστι δὲ καὶ τόπος (ἐν Λακωνικῇ), οὕτω καλούμενος
ὄνου πόκαι (Ar. Ran. 188)· χωρίον ἐν ᾅδου διατετύπωκεν Ἀριστοφάνης οὕτω λεγόμενον πλάσας. ἔστι δὲ καὶ παροιμία τις· ὄνου πόκαι, ἐπὶ τῶν ἀνηνύτων καὶ ἀτελῶν· οὐδὲ γὰρ αἱ πέξεις τῶν ὄνων καὶ κάρσεις δύνανταί τι. ὥσπερ εἰ λέγοι τις ὄνον κείρεις. παρόσον οὖν τὰ ἐν ᾅδου ἀνήνυτά ἐστι καὶ τὸ μηδέν, παρὰ τοῦτο τὰς τοῦ ὄνου πόκας ἔπλασεν
ὄνου σκιά· Ἀριστοφάνης Σφηξί (v. 191)·
περὶ τοῦ μαχεῖ νῷν δῆτα; περὶ ὄνου σκιᾶς
ἐπὶ τῶν (περὶ) μηδενὸς χρησίμου φιλοτιμουμένων
ὄντως (Call. Ep. LIII 1)· ἀληθῶς [32]
ὀνυρίζεται· ὀδύρεται
ὀνυχιεῖ· ἐπιμελῶς ἐξετάσει

COD. 94. 95 = 95. 94 94 ὀνίγλιν (Ὀνογλιν Ath. p. 31 C) 95 ὀνιαῖα 901 ὀνείτης 2 ὀνιτίς (φλονῖτις Diosc. III 147) 14 ἀμπέλου εἶδος μελ| εἶδος 16 οὐ καὶ τὴν 20 ὄνοσις, ὄσπριον 29 παίξεις — κειρεῖς — ἔπλασας 30 περὶ τούτου νῦν δὴ μάχει — σκιάν 34 ἐξετάζει

HES. 89 ὄνθον (Ψ 781)· κόπρον κτηνῶν, ἤτοι βόλβι(τ)ον Ad 903 ὀνοβόστιδες 6 ὄνοιτο (Ν 287)· ὁμοίως 8 ὀνοκένταυροι (Iesai. XIII 22)· παρὰ Ἀκύλᾳ τριχιῶντες, δαιμόνων τι γένος, κάθυλον καὶ σκοτεινὸν τῇ ἐπιφανείᾳ, ὅπερ σειειν ⟨ציים⟩ ὀνομάσαι αὐτὴν τὴν Ἑβραϊκὴν φωνὴν μεταθέντες οἱ λ.ποί 9 ὀνοχύνδος καὶ ὀνοκίνδας· ἀστραβηλάτης, ὀνηλάτης 13 ὀνομήνω (Β 488)· [ὀνομήσω] ὀνομάσω 21 ὀνόσεται (Θ 173)· ὀφελήσει Ad 23 ὀνοστύπτα. 32 ὃν τρόπον (Act. Apost. I 11)· καθάπερ, ὥσπερ, καθ' ὃν τύπον

ὀξάλειοι (Apollodor. Caryst. p. 448)· εἶδος σύκων

ὀξαλίς· ἡ ὀξεῖα τρύξ. ἢ ὀξίνης οἶνος

ὀξέα· μεγάλα. ἀνατετ†ρωμένα

ὀξερίας (Com. an. fr. CCCXX)· τυρὸς ἀχρεῖος

ὀξέως· ταχέως

ὀξίδες (Ar. R. 1440)· [ad 40] ὀξύβαφα

ὀξίνα (occa)· ἐργαλεῖόν τι γεωργικόν, σιδηροὺς γόμφους ἔχον, ἑλκόμενον ὑπὸ βοῶν

ὄξος Σφήττιον (Ar. Plut. 720)· ἴσως (διότι) οἱ Σφήττιοι ὀξεῖς ἦσαν, διὰ τοῦτο εἶπεν ὄξος Σφήττιον, ἤγουν δριμύ (Didymus)

ὄξους χόνδρος· εἶδος ἐλαίας

ὀξύ· [ad 44] ταχύ. ταχυδρόμ(ον.) μέγα. ἰσχυρόν

ὀξυάκανθον· οἱ ἐν Καρίᾳ καὶ Φρυγίᾳ †τὰ ἐμά

ὀξύβαφον (Ar. Avv. 361)· τὸ σκεῦος οὕτω λέγεται [47]

ὀξυδερκής· ὀξέως βλέπων

ὀξυθήκτοις (Eur. Andr. 1118)· ὀξυτάτοις

ὀξύθηκτος· ὀξύτατος

ὀξυθύμια (Eupol. p. 469 et com. an. fr. CLXXIV)· τὰ ξύλα, ἐφ' οἷς ἀπάγχονται· ἀπὸ τοῦ ὀξέως τῷ θυμῷ χρῆσθαι· οἱ δὲ τὰ καθαρτήρια καὶ ἀποτρόπιμα ξύλα, ἅπερ εἰς τὰς τριόδους ἀποστρέφουσι καθαίροντες τὰς οἰκίας. τὰ οὖν [ἀνα]καθάρματά εἰσι τὰ λεγόμενα ὀξυθύμια

ὀξυλαβῆσαι (Xen. Hell. VII 4, 27)· ὀξέως λαβέσθαι πραγμάτων

ὄξυλον· ὅμοιον ...., ἰσόξυλον

ὀξύμαλα (Περσικά)· τὰ κοκκύμηλα (ἅ τινες ἄδρυα) [55]

ὀξυόεντι (Ε 50)· ὀξεῖ. ἢ ὀξυΐνῳ. Ὀξύα δὲ εἶδος δένδρου

ὀξυπευκές (Aesch. Cho. 640)· ὀξύπικρον

ὀξύπετρος· γῆς ποιὸν εἶδος οἱ γεωργικοί φασιν

ὀξύπρῳροι (cf. Aesch. Prom. 424)· ὀξυκέρατοι

ὀξυρεγμία (Aristoph. fr. 1150)· ἀπεψία

ὀξυρρεπής· ὀξέως βαρῶν, ἢ ῥέπων, ἢ κινούμενος

ὀξύς· ταχύς. δριμύς. φρόνιμος

ὀξυτόνως· κυρίως ......

ὀξυωπίαν (Aristot. Probl. IV 3)· ὀξυβλεψίαν

†ὄοιγα· φαρέτρα [66. 67]

ὀπά (Dor.)· θυρὶς ἡ ἐκ τοῦ κεράμου. καὶ φωνή(ν ad ὄπα)

ὄπα γηρύοντες (epic. inc.)· φωνὴν φθεγγόμενοι

ὀπαδεῖ (Pind. P. IV 237)· ἐπακολουθεῖ

ὀπαδός· ἀκόλουθος. συνεργός. δοῦλος

ὀπάζει· κατόπιν διώκει (Θ 103). περιποιεῖ [ad 72]

ὄπαζε· [ad 73] ἐδωρεῖτο. ἐδίωκεν

ὀπαζόμεναι· ἑπόμεναι. θεραπεύουσαι

ὀπαία (Diphilus)· κεραμίς, ἡ τὴν κάπνην ἔχουσα [76]

ὄπας· ὀφθαλμούς

ὀπάσαι· δοῦναι

ὀπάσας· χαρισάμενος [80]

ὄπασεν· ἔδωκεν

†ὀπασθείς· ἐκ τῶν ὀπίσω δεθείς, καὶ ἐξαγκωνισθείς ⟨1456⟩ [83]

ὄπασον· ἀπόδος, πάρασχε

ὀπάσσω (Call. Dian. 33)· χαρίσομαι

ὀπαστόν· τὸ ἐφόδιον. Περγαῖοι

†ὀπάτα· τὸ ὀπήτιον ⟨cf. ὕπεα⟩ [88]

ὄπατρος (Μ 371)· ὁ ἐκ τοῦ αὐτοῦ πατρὸς τινι γεγονὼς ἀδελφός

ὀπάων (Η 165)· ἀκολουθῶν

ὀ πέραν· ὁ ἐπέκεινα

ὀπεύει· περισκοπεῖ, βλέπει

ὀπή· θυρίς

ὀπηδεῖν (Hom.)· ἀκολουθεῖν

ὀπηδητήρ· σύνοδος. ἀκόλουθος [96. 97]

ὄπη κεν· ὅπη ἄν [99]

ὀπήσασθαι (Euphorion. fr. XLVIII)· θεωρῆσαι [1001]

ὄπιδα (ξ 82)· ἐπιστροφήν, ἐντροπήν

ὀπιδνή· φοβερά. πονηρά

ὀπίζεο· πονηρεύου. ἀπόφευγε (non Χ 332)

οινος
COD. 35 ὀξάλιοι 36 εἶδος 40 ὀξίδαι 42 |τειον |τειοι |τειον 51 ἀποτρόπημα Post 56] 64 ὀξυοπείαν 61 ὀξύρεγμα, πεψία ⟨75 Moer. 292?⟩ 86 πέρσαι 87 ἐπήτειον 90 ἀκολούθων 98 οὕτω ἄν

HES. Ad 40 λαγύνια μικρά. ἢ ⟨Moer.⟩ Ad 44 ὀξέως. ταχέως 47 ὀξυβελής (Δ 126)· ὀξέως βληθείς, ἢ ταχέως βαλλόμενος 55 ὀξὺν ἄρνα (Β 440)· ὀξὺν πόλεμον 66 ὄοιτο (ρ 580)· ὑπελάμβανεν 67 ὄσου κλέος (Β 325 h. Apoll. 156)· οὐ δόξα Ad 72 δίδωσι (Φ 570), παρέχει (Ρ 566) Ad 73 παρεῖχε (Ο 327) 76 ὀπάονα (Ρ 610)· ἀκόλουθος. παρὰ τὸ ἕπεσθαι 80 ὀπάσσατο (Τ 238)· προσελάβετο 83 ὀπασσάμενος· ἀκολουθήσας (κ 59) 88 (ὄ)πατρον (Δ 257)· τὸν ἐκ τοῦ αὐτοῦ πατρός 96 ὀπηδοῖς (Greg. Naz. Arc. VI 74)· ἀκολούθοις. συνοδοιπόροις 97 ὀπιζόμενος· ἐντρεπόμενος. αἰσχυνόμενος 99 ὀπηνίκα (Iudith XI 12)· ἡνίκα, ὁπόταν, ὅτε 1001 ὄπιβαλ· πτέρνα. ἢ σφυρόν ⟨L. οὐπίβαλος⟩

ὀπίζεται· ἐντρέπεται. αἰσχύνεται
ὄπιθεν· τῶν ἀπολελ(ε)ιμμένων [7. 8]
ὀπιπᾷ· ἐξαπατᾷ. ἀπατεών, ἢ ἀπατῶν ⟨ὀπῖπα⟩
ὀπιπεύει· περιβλέπει, περισκοπεῖ
ὀπιπεύεις (τ 67)· περιβλέπεις, περισκοπεῖς· ὀπιπεύεις δὲ γυναῖκας
ὁ δὲ παρθένους περιβλεπόμενος παρθενοπίπας
ὀπιπευέτω· περιβλεπέτω
ὀπὶ πηρά· ὀφθαλμιῶσα
ὀπίσθια· τὰ παρελθόντα. [15] ἄλλοι τὰ τῶν ζώων οὐραῖα
ὀπισθοδόμοις· τόπῳ οἴκων, ἐν ᾧ τὰ κειμήλια ἀπόκειται
ὀπισθοδόμος (Ar. Plut. 1193)· ἐν τῇ ἀκροπόλει, οὗ τὸ δημόσιον ἀργύριον ἀπέκειτο πρὸς τῷ ὀπισθοδόμῳ καὶ ὁ φόρος
ὀπισθοκρηπίς· εἶδος ὑποδήματος
ὀπισθόπους· ὑποστρέψας (non Eur. Hipp. 54)
ὀπισθορμήσας· εἰς τοὐπίσω χωρήσας
ὀπισθοτίλα (Strattid. p. 781)· σηπία [22. 23]
ὄπισον· λάχανον ἄγριον. †ἢ τρωκτόν. †ἢ ἄπιστον [25]
ὀπίσσοος· εἰς τοὐπίσω ἐπάνω φέρεσθαι
†ὀπίσωρ· δυσάρεστος
ὀπίσω· πάλιν, ὕστερον, μετὰ ταῦτα. καὶ τὸ μέλλον [29. 30]
ὀπίστατος· τελευταῖος, ὕστατος, ὀπίσω τῶν φευγόντων
†ὀπίττομαι· οὐ πείθομαι. Βοιωτοί
ὅπλα· ποτὲ μὲν τὰ πολεμικὰ σκεύη· ποτὲ δὲ τὰ τῆς νεὼς σχοινία (φ 388). καὶ τὰ χαλκευτικὰ (γ 433 Σ 409) [34]
(ὁπλαί Macedon.)· αἱ πυξίδες. ἢ ὄνυχες ἵππων, καὶ ἑτέρων κτηνῶν [35]
ὁπλή· ὄνυξ κτήνους. ἄλλοι ἐπὶ ποδῶν ἀνθρώπου. ἢ χηλή
ὁπλίας· Λοκροὶ τοὺς τόπους, ἐν οἷς συνελαύνοντες ἀριθμοῦσι τὰ πρόβατα καὶ τὰ βοσκήματα
ὁπλίζεσθαι· ἑτοιμάζεσθαι [39]
ὅπλον· ἔνδυμα πολεμικόν. καὶ τὸ αἰδοῖον (Nicand. Ath. 683 E) [41. 42]
ὁπλότερος (Β 707)· νεώτερος [44]
ὅποι· ἔνθα, ὅπου, ποῦ [46—48]
ὅποι ποτέ (Soph. Phil. 780 Empedocl. 193)· ὅπου ποτέ, πῇ
ὀπός· [ad 50] βοτάνη τις, δι' οὗ πήγνυται τὸ γάλα (Ε 902). καὶ τὸ τῶν δένδρων δάκρυον. καὶ τὸ γαλακτῶδες ἐκ τῆς συκῆς ἀνιέμενον (Nic. Th. 907) [51]
ὁπόστον· πολλοστόν
ὁπόταν· ὅτε, ὅταν [ad 53]
ὁποτέρας· ὁποίας [55—59]
ὁ προστρόπαιος· ὁ ἀποστρέφων. καὶ ἐπὶ τῶν ἄλλων
ὀπταλέον· ὀπτόν
ὀπτ(αν)εῖον (Com. V p. 707)· μαγειρεῖον [63. 64]
ὀπτήρ (Soph. Ai. 29)· ὁρατήρ. ἐφόπτης
ὀπτῆρες (Aesch. Suppl. 182)· κατάσκοποι. καὶ τὰ ὅμοια
ὀπτήρια (Callim. D. 74)· τὰ ἐν τοῖς ἀνακαλυπτηρίοις διδόμενα δῶρα τῇ νύμφῃ
ὀπτίλοι· ὀφθαλμοί
ὀπτιλίασις· ὀφθαλμίασις
ὀπτή· ὀπτική. Ὀπτικὸν καὶ ὀπτὸν ταὐτὰ σημαίνει· ὁρατά, φανερά, προορατικά
ὀπτός· φαινόμενος. ἢ ἑψημένος πυρί
ὀπυίειν (Hesiod. Th. 819)· γαμεῖν [73]
ὀπυιομέναι· γεγαμημέναι
ὀπυιομένη (Θ 204)· γεγαμένη [76]
ὀπυ(ι)όλαι· γεγαμηκότες [78]

ε
COD. 6 ὄπισθεν 10 πσκοπ῀ 13 ὀπίπερα 15 ἄλλα — οὐραί 16 τόποι 17 πρὸς τὰ 22 |τωνος 26 ὀπισσος 34 οἱ π| 49 ὀποίποτε 50 πυτίων 68 ὀπτοιαλοί 69 ὀπτοιαλίασις 70 ὀπτ.῀ 78 ὄπωτα — ἴδον

HES. 7 ὄπιθεν δὲ δράκων (Ζ 181)· τὴν δ' οὐρὰν δράκων 8 ὄπιν· περιστροφή (φ 28). φωνή (Λ 604) 15 ὀπίσθια 22 ὀπισθότονος (Deuter. XXXII 24)· ἐναντίον κύρτωμα 23 ὀπισθοφανές (Genes. IX 23)· εἰς τοὐπίσω προσέχων 25 ὀπίσεται· ὄψεται 29 ὀπίσσωτρον· ἡ ἀψὶς τοῦ τροχοῦ ⟨ἐπί—⟩ 30 ὀπισθότατον (Greg. Naz. C. XIV 55 p. 83)· τελευταῖον, ἔσχατον 34 ὁπλάς (Psalm. LXVIII 31) 35 ὅπλεσθαι (Τ 172)· ὁπλίζεσθαι 39 ὁπλίσαι (Ω 190)· παρασκευά[ζε]σ[θ]αι 41 ὅπλισμα· βῆμα ⟨τὸ πλίγμα⟩. καὶ τὸ τοῦ πλοίου σχοινίον 42 ὁπλοτεράων (Ξ 267)· νεωτέρων 44 Ὀπόεις (Β 531)· πόλις Λοκρίδος 46 ὀποιϊομένη (Θ 304)· μισγομένη 47 ὅποι· ὅπου 48 ὀρέγει· παρέχει Ad 50 πυτία ⟨Moeris⟩ 51 ὀπόσον (Ω 792)· ὁποῖον Ad 53 ἡνίκα (Π 62) 55 ὄππη (Ν 784)· ὅπου 56 ὀπότευ· ὅτι μέν, ὅτι δέ 57 ὁ(π)πόθι (Ι 577)· ὅπου 58 ὁππότεροι (Γ 299)· ὁποῖοι 59 ὁππότερος (Γ 71)· ὅστις 63 ὀπτανόμενος (Act. Ap. I 3)· ὁρώμενος. ἐμφανιζόμενος 64 ὀπτασία (Luc. I 22)· θεωρία, φαντασία, θέαμα 73 ὀπυίει (β 336)· γαμεῖ 76 ὀπυιέμεναι (Ξ 268)· γαμῆσαι 78 ὄπωπα· ἑώρακα (Β 799), εἶδον (Ζ 124), ἐθεασάμην (Ω 392)

ὀπωπαῖς· ὄψεσιν, ὀφθαλμοῖς [80]
ὀπώρα· τὸ θέρος. καὶ τὸ μετόπωρον. κυρίως δὲ ἡ σταφυλή. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἄλλων ἀκροδρύων [82]
ὀπωρινόν· θερινόν
ὀπωρινὸν δέος· τὰ ἐν ταῖς ὀπώραις φόβητρα, ἢ κεράμβηλα [85. 86]
ὀπωρῶνας (Demosth. 314, 13)· τοὺς εἰς πρᾶσιν ὠνουμένους [88]
ὅπως· ἵνα [ad 89] [90]
†ὀπωφᾶται· πέπρηται, οἰδεῖ
ὁπωσοῦν· ὁπωσδήποτε. οἱῳδήποτε τρόπῳ [93—1100]
ὅραμα (Dem. 1460, 26)· θέαμα, ὀπτασία, ὅρασις. εἶδος. φαντασία, θέα [2—5]
ὀργᾷ· ἐπιτεταμένως ἐπιθυμεῖ. δηλοῖ δὲ καὶ τὸ ἀκμάζειν: μανίαι. θυμοί. ἐπιθυμίαι. καὶ ἦθος ⟨ὀργαί⟩
ὀργάδα (Demosth. 175, 15)· ὄρειον. ἢ γαλακτώδη· παρὰ τὸν ὀρόν
†ὀργάδ' Ἀθηνᾶν· ὀργᾶν λέγουσι τὸ ἐπί τι παρασκευάζεσθαι καὶ ὁρμᾶν
ὀργάδες (Eur. Rhes. 282)· γεγεωργημένοι τόποι
Ὀργάνη· ἡ Ἀθηνᾶ, ἣν καὶ Ἐργάνην ἀπὸ τῶν ἔργων λέγουσιν
ὄργανον· τὸ εἰργασμένον. καὶ ἐργαλεῖον
ὀργάς· λοχμῶδες καὶ ὀρει(νὸν) χωρίον, καὶ ἀνέργαστον. καὶ πᾶν τὸ ὀργιζόμενον, ἢ ἐντρεπόμενον. ἢ ἐπιθυμοῦν. ἢ ἀκμάζον
ὀργάσαι (Soph. fr. 714)· ἑτοιμάσαι. καὶ τὸν πηλὸν ὀργάσαι φασίν, ὅ ἐστιν ἑτοιμάσαι, φυρᾶσαι, βρέξαι, ἀναδεῦσαι ⟨cf. ὠργάσαι⟩
ὀργάσας (Herod. IV 64)· μαλάξας
ὀργέων (Aesch. fr. 140 an Lysias Harp. 139, 8?)· ἱερῶν, ἢ ἱερε
ὀργεῶναι· ἱέρειαι
ὀργεῶνες (Antimach. fr. LVII)· μύσται, ἱεροφάνται, ἱερεῖς
ὀργή· τρόπος. μανία. θυμός
ὀργητύς· ὀργή [ad 19]
ὄργια· τὰ ἱερά. οἱ δὲ τὰ μυστήρια
ὀργιάζειν (Eur. Bacch. 415)· τελεῖν Διονύσῳ
ὀργιάζουσι· τελοῦσιν
ὀργιάσθης ⟨ὠργ—⟩· ἐμυήθης. ἐχόρευσας ὁσίως
ὀργίλος· θυμώδης. μανιώδης
ὀργίοις· μυστηρίοις
ὀργυιά· ἡ τῶν ἀμφοτέρων χειρῶν ἔκτασις. καὶ τὸ μέτρον, ἀπὸ τοῦ τὰ γυῖα μετρεῖν. καὶ πήχεις τρεῖς
ὀργῶν· ἐπιθυμῶν, ὀρεκτικῶς ἔχων
ὀργῶσαν· ἐπιθυμοῦσαν [29]
ὄρδικον· τὸν χιτωνίσκον. Πάριοι
ὄρδ.μα· ἡ τολύπη τῶν ἐρίων
ὀρέγει· παρέχει
ὀρέγεται· ἐπιθυμεῖ
ὄρεγμα (Aesch. Cho. 799)· βῆμα. ὅρμημα. ἅλμα [35—37]
(ὀρειλεχέες [Empedocl. 227]· ὀρεσίκοιτοι) 1209
ὀρείοις ποσί (Trag.)· κώπαις· ἐπεὶ ἡ ἐλάτη ὄρειος
ὀρειοκόμος· ὁ τὰς ἡμιόνους θεραπεύων
ὄρειον (Com. fr. CCCXC)· ἱμάτιον ἄγναφον
ὀρείονες· ἄνδρες (non Apoll. Rh. II 801)
ὀρεῖς· ἡμίονοι [43]
ὀρείτορες· ἄγριοι (κ 212?)
ὀρειχάλκων (Call. LM. 19)· τῶν εἰκῇ διαδεδομένων εἶναι τοὔνομα. οἱ δὲ πλείους ὑπάρχειν αὐτόν. ἔστι δὲ καὶ ὕλη ὁμοία χαλκῷ

COD. 84 καὶ ῥέμβοια (κρεμάμενα Cyrill.) 87 ὀπωρίονας ⟨v. ὡραιοπώλους⟩ ⟨96 cf. ἔορες⟩ 1107 ὄρον 12 ὄρει — ἐπιθυμῶν ἢ ἀκμάζων 17 ὀργέοντες 19 ὀργηγύς 23 ἐχώρευσας θείως 29 H. e. ὀργή (μ suprascr.) 39 ἡμιόνας 41 cf. ῥέωνος et Plut. T. II p. 406 EF 45 διαδεδονημένον — αὐτῶν

HES. 80 ὀπωπή (Hom.)· πρόσοψις. ἐντροπή 82 ὀπώρῃ (μ 76)· τῷ φθινοπώρῳ 85 ὀπωρινός (Φ 346)· ἐν ἀρχῇ τῆς ὀπώρας πνέων 86 ὀπωρινῷ (E 5 II 385)· τὸ κατὰ τὸν καιρὸν τῆς ὀπώρας 88 ὀπωροφυλάκιον (Ps. LXXVIII 2) δὲ ἡ σκηνὴ ἢ καλύβη τοῦ φυλάσσοντος Ad 89 ὅπως. παῖς. ὀφθαλμός 90 ὅπως, τὴν πρόσωψιν 93 ὅρια· τὰ νεώρια. ἔνιοι ἀποθήκας. καὶ Ῥωμαῖοι ὅρεα καλοῦσιν (horrea) 94 ὀράδα· οἱ μὸς τὴν ὄρειον· οἱ δὲ τὴν γαλακτώδη· παρὰ τὸν ὄρον ⟨1107⟩ 95 ὄραε· ἔγειρε. ἐλθέ ⟨1175. 1329⟩ 96 ὄραες· ἀναγκαῖοι, προσήκοντες ⟨L. ὄαρες⟩ 97 ὀράδες· ὑλώδεις τόποι ⟨ὀργάδες⟩ 98 ὀράγδαιναν· ὁρμητικήν ⟨ῥαγδαίαν⟩ 99 ὀράζειν ⟨ὀργ—⟩· δεύειν. μαλάσσειν 1100 ὁρᾷ· βλέπω. ὁρᾷ 2 ὁρᾷ· βλέπει 3 ὁρᾶσθαι (Γ 306)· ὁρᾶν 4 ὁρατικόν (Prov. XXII 29)· γνωστικόν 5 ὁρατόν (Iob. XXXVII 21)· αἰσθητόν. θεωρητικὸν καὶ θεωρητόν Ad 19 κάπνη. διάδυσις ⟨ὀπή⟩ 29 ὀργμή· ῥύμη (q. v.). ῥώμη 35 ὀρεγνύς (Λ 351)· ἐκτείνων τὴν χεῖρα 36 ὀρέεσιν (E 486)· οἰκουροῖς γυναιξίν 37 ὄρει· φυλάσσει ⟨ὤρει⟩ 43 ὀρέγδην· ἐκτενῶς, καὶ προθύμως ⟨ὀρέδειν cod.⟩

ὀρεκτεῖν· ἐπιθυμεῖν [47]
ὀρεκτῇσι μελίῃσι (Β 543)· αἷς ὀρέγδην καὶ οὐκ ἐκ διαστήματος χρῶνται, συνιστάμενοι καὶ ἐκτείνοντες τὰ δόρατα
ὀρεκτιῶν· ἐπιθυμῶν (ἐκτείνων)
ὀρεκτύς
ὀρεκτύων· ὀρέξεων
ὀρέξαι· δοῦναι. ἐκτεῖναι
ὀρεξάμενος· ἐκτείνας (Ψ 805)
ὀρέξας· δούς. ἐκτείνας [55. 56]
ὀρέξατο (Ν 20 non Ζ 466)· ὥρμησε. διέβη [58. 59]
ὄρεξις· ἐπιθυμία
ὄρεξον (Soph. OC. 846)· ἔκτεινον. ἐπίδος
ὀρεοκόμος (Ar. fr. inc. LXXIX)· ὁ τὰς ἡμιόνους τρέφων
ὀρέοντο (Β 398 Alcman. fr. 53)· ὥρμων. ἐπορεύοντο
ὀρεσκῴοισιν (Α 268)· ὀρεσιοίκοις ἢ ὀρεσικοίτοις· κεῖαι γὰρ τὸ κοιμηθῆναι [65. 66]
Ὀρέστη· χωρίον Εὐβοίας [68. 69]
ὀρεσχάς (Ister)· τὸ σὺν τοῖς βότρυσιν ἀφαιρεθὲν κλῆμα
ὀρεύειν· φυλάσσειν (Philol. IX p. 704)
ὀρεῦσιν (Aristot. Rhet. III 2)· ἡμιόνοις
ὀρεύς (Ar. Ran. 290)· ἡμίονος ἄρσην
ὀρεῖς· ἡμίονοι ἄρσενες
†ὄρεται· ὁρμαί. λαβεῖς. ἐγέρσεις (1095)
ὀρέχθεον (Ψ 30)· ἐστέναζον. ἐμυκῶντο. ἐβρύχοντο
ὄρημι (Sapph. fr. 2, 11)· ὁρῶ
ὀρήχου· τῆς αἱμασιᾶς
ὀρθαγορίσκος (Lacon.)· χοιρίδιον μικρόν
Ὀρθάνης (Plat. com. p. 674)· τῶν ὑπὸ τὸν Πρίαπόν ἐστι θεῶν, καὶ αὐτὸς ἐντεταμένον ἔχων τὸ αἰδοῖον
ὀρθέσιον· ὄρθιον. μακρόν. ὀξύ. μέγα
ὀρθεῦ· ἀνορθοῦ (cf. Eur. Rh. 7) [83]
ὄρθια (Α 11)· ἀνατεταμένα. ἐξάκουστα. μεγάλα
ὀρθήν· τὸ ὀρθὴν ἀπιέναι
Ὀρθία Ἄρτεμις· οὕτως εἴρηται ἀπὸ τοῦ ἐν Ἀρκαδίᾳ χωρίου, ἔνθα ἱερὸν Ἀρτέμιδος ἱδρῦσθαι ....
ὀρθιάζειν· μαντεύεσθαι
ὀρθίας (Epicharmus)· ἱστὸς νεώς. τίθεται καὶ ἐπὶ κακεμφάτου (pudendum)
ὀρθιόκωποι· οἱ ἐπιτόνως ἐλαύνοντες, καὶ ἀκλινῶς
ὀρθιοκώπους· ἐξορθουμένους ἐν τῷ ἐρέσσειν ἐπιτόνως
ὄρθιον· πρόσαντες. ἀνατεταμένον. ὑψηλόν
ὄρθιον νόμον (Herod. I 24, Terpander)· οὕτως ὠνομάσθαι φασὶν αὐτὸν ἀπὸ τοῦ ῥυθμοῦ, καθάπερ καὶ τὸν τροχαῖον
ὀρθογόη (Hesiod. Opp. 566)· ἡ χελιδών
ὀρθόδωρον· μέτρον τὸ ὀρθὸν τῆς χειρὸς ἀπὸ ἄκρου τοῦ καρποῦ μέχρι τοῦ δακτύλου. οἱ δὲ σπιθαμήν
ὀρθόκερως (Soph. fr. 793)· ὀρθόθριξ
ὀρθοκραιράων (Θ 231)· ἐπὶ μὲν τῶν νεῶν, τῶν ὀρθοπρύμνων· ἐπὶ δὲ τῶν βοῶν, τῶν ὀρθοκεράτων. εἴρηται παρὰ τὸ κάρα
ὀρθόκορυς· ὀρθὸν πῖλον ἔχων
ὀρθόν· τὸν ὄρθιον νόμον
ὀρθοπυγιᾶν· ὅταν γυνὴ ἑαυτὴν ἐπαίρῃ πρὸς τὸ μακροτέρα φαίνεσθαι
ὀρθόπτερος (Soph. fr. 30)· μεγάλους κολωνοὺς ἔχουσα· πτερὰ γὰρ τὰ εἰς ὕψος ἀνέχοντα. ἢ μεγάλας ἔχουσα περιστῴους οἰκοδομάς
ὀρθοστάδιοι χιτῶνες (Ar. Lys. 45)· οἱ δὲ συρόμενοι συρτοί
ὀρθοσταδόν· τὸ ὀρθὸν ἀφροδισιάζειν
ὀρθοστάτης (Eur. Hel. 547)· εἶδος πέμματος

Παρθένοι (Phrynich. com. p. 591)· τὰς Ἐρεχθέως θυγατέρας οὕτως ἔλεγον καὶ ἐτίμων .....

Παρθένου Παλληνίδος (Eur. Heraclid. 1031)· [ad 26] Ἀθηνᾶς. ἔστι γὰρ ἱερὸν Ἀθηνᾶς ἐν Παλληνίδι

παριαμβίδες (Epicharm.)· Ἀπολλόδωρος παρὰ τοὺς ἰάμβους αὐτά(ς) φησι πεποιῆσθαι, ἃς οἱ κιθαρῳδοὶ ᾄδουσιν

Παριανός· ἐξ ἐπιθέτου Πρίαπος [29]

παριδρύσαντες· παρακαθίσαντες

παρίεται· ἐᾷ ⟨ἐᾶται?⟩, παραπέμπεται

παρίημι· ἐῶ, καταλιμπάνω, συγχωρῶ, ἀφίημι

παρίησιν· ἀφίησι [ad 33]

παρικτόν· παρερχόμενον

?Πάροικοι· γένος τι Ἀθήνησιν

παριλλαίνουσα· παρεμβλέπουσα. ἴλλοι γὰρ οἱ ὀφθαλμοί [37. 38]

παριππεύει· ἀφεὶς αὐτοὺς ἄλλῃ ὁδεύει. παρατρέχει. παρακολουθεῖ [40]

παρίσθμια (Hippocr. 271, 40)· τὰ περὶ τὸν φάρυγγα

παρίστασθαι· τὸ ἁρπάζειν τοὺς παῖδας

παρισώματα (Cratin. min. p. 376)· ὁμοιοειδῆ [44. 45]

πάριτε· ἔλθετε ⟨791⟩ [47]

παρμέμβλωκε (Δ 11 Ω 73)· πάρεστιν. [ἢ παραμεμένηκεν. ἢ] παραμεμόληκεν

πάρμη· Θρᾴκιον ὅπλον, σκεπαστήριον, †κονδότρον θυρεοῦ

Παρνάσιος Φωκεύς (Eur. Tro. 9)· ......

Παρνασός· ὄρος Φωκίδος

Πάρνηθος ὄχθος (Com. Trag.?)· ὄρος [ad 52] [53]

πάρνοπες (Ar. Av. 588)· ἀκρίδες

†Παρνόπη (Com. fr. CCCLXXXIV)· Καλλίστρατος Ἀθηναῖος [56]

ε

COD. 91 παρῆβον π κτησὶ 905 παρήλθηκεν 11 παρασυρεῖς 21 cf. νεοδάρτης 23 θεῶν] παρθένων? 26 Παλαινίδι — ἱερὰ 27 πεποιεῖσθαι 39 ἀφεῖ αὐτοὺς καὶ 41 φάραγγα 49 παρμηθαίκιον, ὁπὸν 53 Nisi malis Πάρνης

HES. 96 παρήθη· ἐάθη ⟨766⟩ 97 παρήϊξαν (Λ 615)· ἐκώλυον ⟨782⟩ 98 παρειίον· ὁ παρὰ τὸ γένειον τόπος (Ψ 690). καὶ κόσμος ἐπὶ μετώπου τῶν ἵππων παρὰ γνάθον (Δ 142) 900 παρήκτης· πάντα πράττων ἐπὶ κακῷ ⟨1009⟩ 1 παρήθρει (Π 341)· παρῃωρεῖτο ⟨895⟩ Ad 2 παρῆκεν· εἴασεν, ἀφῆκεν, 6 παρήμενος (Λ 421)· παρακαθήμενος. ἔκλυτος ⟨ad παρειμένος⟩ 7 παρημείνων (λ 578)· παρενηνεγμένων 8 παρημοσύνη· θεραπεία ⟨86⟩ 9 παρηνέχθη (Π 341)· παρεκρεμάσθη ⟨895⟩ 10 παρῆξαν (Λ 615)· ἐκώλυσαν ⟨897⟩ 16 πάρησιν· χαύνωσιν ⟨859⟩ 22 παρθενική (η 20)· παρθένος Ad 26 [ἱέρεια] 29 παριαύων (Ι 336)· παρακοιμώμενος Ad 33 συγχωροῦσιν ⟨παριεῖσιν⟩ 37 πάριον· πιστόν. κάτοχον ⟨πάγιον⟩ 38 Πάριος (Γ 325)· Πάριδος. πιστός. κάτοχος ⟨πάγιος⟩ 40 παρ' ἵππων (Δ 500)· παρὰ τῶν ἵππων 44 παρίστατο (Β 244)· παρέστηκεν 45 παριστῶ· ἀποδείκνυμι 47 παρκατελέκτο (Ι 561)· παρεκοιμᾶτο Ad 52 τὸ αὐτό 53 Παρνησός· τὸ αὐτὸ ὄρος 56 παρξιφεῶς (Γ 272 Τ 253)· παρὰ τὴν τοῦ ξίφους (θήκην)

παροδικός ⟨—ῶς Cyrill.⟩· παρόδῳ χρώμενος

πάροδος· μέρος τι τῆς νεώς (Poll. I 88)

παροδούμενον· παροιμιαζόμενον. ᾀδόμενον

παρόδους· διαβάσεις

πάροιθεν (Hom.)· ἔξωθεν. ἔμπροσθεν. ἐπὶ τόπου καὶ χρόνου [62]

παροιμίαι· παραινέσεις, παραμυθίαι, νουθεσίαι, ἠθῶν ἔχουσαι καὶ παθῶν ἐπανόρθωσιν

παροιμία (Plat. com. p. 674)· βιωφελὴς λόγος, παρὰ τὴν ὁδὸν λεγόμενος, οἷον παροδία. οἶμος γὰρ ἡ ὁδός

παρ' οἶμον (Eur. Alc. 835)· παρὰ τὴν ὁδόν [ad 65]. καὶ πάροιμος ὁ γείτων

παροιμώσαντες· ἐκτραπέντες τῆς ὁδοῦ

παροινία (Amphid. com. p. 312)· ἡ ἐκ τοῦ οἴνου ὕβρις. καὶ οἱαδήποτε ἁμαρτία

παροινίαι· κραιπάλαι. ὕβρεις ἀπὸ οἴνου

παροινιάσαι· ὑβρίσαι, λοιδορῆσαι

πάροινος (Antiph. com. p. 80)· ἁμαρτωλός. μεθυστής ⟨cf. φλύαξ⟩. ὑβριστής, λοίδορος. ἔκλυτος [71. 72]

παροισθέντι· παρενεχθέντι

παροίσομεν (Soph. OC. 1675), παρενέγκωμεν. παρακομίσομεν [75]

παροιστρήσουσι· μαίνονται [77]

παροίτεροι (Ψ 459)· μᾶλλον ἔμπροσθεν προάγοντες

παροκλάζοντες· γονατίζοντες ⟨1028⟩

παρολκή· ὑπέρθεσις

παρομαρτεῖ· παρακολουθεῖ [82]

παρόν (Aesch. Prom. 98)· ὑπάρχον. συνόν

παρόντα· προκείμενα

παροξυνταί· οἱ τρεφόμενοι ὑπὸ τῶν ἑταιρῶν ὡς †ἂν †δὴ ἐρασταί

†παροπαιδία· εἶδός τι πήρας

παροπλίδιον· μικρὰ μάχαιρα

παρορμᾷ (Xen. KΠ II 3, 12)· προτρέπεται. διεγείρει. παροξύνει

παρ' ὅρμον· παρὰ τὸν λιμένα

πάρος (Λ 453)· ἔμπροσθεν. πρότερον [91]

παροτρύνει· διεγείρει

παρ' οὐδέν (Aesch. Ag. 229)· εὔκολον. εὐχερές

παρουσία· οὕτως ἐκάλουν καὶ τὰ ὑπάρχοντα [ad 94]. καὶ μήποτε ἡ παρά πρόθεσις παρέλκει. Μένανδρος Ὑδρίᾳ (p. 209)

παρουφά (Lac. Boeot.)· ἡ ἐν τῷ χιτῶνι πορφύρα

παροχετεύει· παραπλαγιάζει. προσεγγίζει. [ad 96] παραφέρει. παρορμᾷ

'παρυστρίδες· αἱ τὸ ἔλαιον χέουσαι

πάροχοι· παραβάται. παράπομποι, καὶ οἱ συμπορεύοντες τὴν νύμφην ἐπὶ τοῦ ζεύγους, καὶ ⟨οἱ⟩ παράνυμφοι (Ar. Av. 1740)

πάροχος· παράνυμφος

παροχῶν· δωρημάτων, χαρισμάτων

παροψίς (Ar. fr. p. 1016)· ὀξυβάφιον, ἢ ἐμβάφιον

πάρπαγος· ὁ ἄνω τῆς θύρας μάνδαλος ⟨608⟩

Πάρπαρος· ἐν ᾧ ἀγὼν ἤγετο καὶ χοροὶ ἵσταντο

(παρπεπίθοιμι· παραπείθοιμι) cf. 617

παρπεπιθόντες (Ψ 37)· παραπείσαντες, παραλογισάμενοι

πὰρ πυλεῶνα (epic. inc.)· παρὰ πυλεῶνα [1006. 7]

Παρράσιον (Call. D. 99 Iov. 10)· ὄρος Ἀρκαδίας

παρρέκτης· πάντα πράττων ἐπὶ κακῷ ⟨900⟩

παρρησία (Philem. fr. XXVIIa p. 43)· ἐξουσία. ἄδεια

παρσουλακίρ (Lacon.)· τὸν τρίβωνα, ὅταν γένηται ὡς θύλακος

παρτάδες· ἄμπελοι

πάρταξον· ὕγρανον. Λάκωνες

παρτέλλεται· παραινεῖται

παρτετύ(φωται)· μύει παραφρονεῖ. ἡμάρτηκεν [16]

παρτομίς· μικρὸν τῷ μήκει βιβλίδιον

παρυφή· ὕφασμα

COD. 59 παρω| 64 βιο| 74 |γχομεν 81 cf. οὐ παρομαρτεῖ 86 πάρη = πήρα Iones ap. Eustath. 1714, 55 87 |αίδιον 94 ὑδρείας 95 παρᾶφα 96 παραπλησιάζῃ (cf. παρωχ—) 97 ἔχουσαι 98 τῇ νύμφῃ 1009 παρρήκης 11 παρσουλάκηρ 12 παρτάδαι 13 πάρταζον 15 μβει

HES. 62 πάροικοι (Eph. II 19)· ξένοι, παρεπίδημοι (Genes. XXIII 4, q. v.) Ad 65 λεγόμενος 71 πάροιος· πρᾶος ⟨πατροῖος· πατρῷος⟩ 72 παροῖραι· ἡγούμεναι, πρότεραι 75 παροιστρῆσαι (Ezech. II 6)· παροξῦναι, ἐρεθίσαι 77 παροιστρῶσαι (Basil. M. I p. 105 E)· ἐρεθίζουσαι. ἐξεστηκυῖαι 82 παρομαρτοῦν (Theodoret. Gr. aff. cur. p. 102, 1)· παρεισόμενον 91 πάρος γε (Σ 386)· πρώην. καὶ τὰ ὅμοια Ad 94 παρουσίαν Ad 96 περιπλησιάζει 1006 πὰρ πυμάτην (Σ 607)· παρὰ τὴν ἐσχάτην 7 Παρρασίη (Β 608)· πόλις Ἀρκαδίας 16 πάρ τοι (Ι 43)· πάρεστί σοι

παρυφίς· Μένανδρος ἐν Ὑμνίδι (fr. VII p. 20)

παρφάμεν (Pind. Ol. VII 120)· παραβῆναι ἅπαντα [21]

πάρφασις· παραίνεσις. συμβουλία. παρηγορία. ἢ ἀπάτη (Ξ 217)

παρφυσίδες· βάτραχοι

παρῶ· παραλείπω. ἢ συνῶ

παρωάς· παρωαὶ (Ar. HA. IX 32, 1) λέγονται ἵπποι τινὲς τὸ χρῶμα πυρ(ρ)οί (1034)

παρῳδοῦντες· παρατραγῳδοῦντες. χλευάζοντες. ἢ † λέγοντες

παρωθοῦντες· ἐκβάλλοντες (508)

παρώκλασεν· ἐγονάτισεν (979)

παρωλένια· τῶν χειρῶν τὰ ὄπισθεν

παρώλισθεν· ὠλίσθησεν, ἐξέπεσεν

παρώλοφα· τὰ ἀπὸ τῶν τενόντων μέρη (Poll. II 134)

παρ†ώμφημα· παρωνυμίασμα

παρώνυμον· ἐκ τοῦ συμβεβηκότος καλούμενον

πάρωος· εἶδός τι πυρ(ρ)οῦ χρώματος ἵππου (1025)

[ad 35] ἐν τῷ περὶ ἱπποτροφίας [36]

παρώπια· τὰ τοῖς ἵπποις παρατιθέμενα δέρματα, ἃ τινες ἀνθήλια λέγουσι [ad 37]

παρῶπται· παρεώραται

παρῶπτο· παρεώρατο

πάρωρον (Theoph. CP. V 1, 4)· παράκαιρον

παρωσάμενος· ἀπωθήσας. ἀποβαλών

παρώσας· ἐάσας. ὤσας, ὠθήσας: ἐκβαλών (Soph. Tr. 358) [43]

παρωσμένων· δεδιωγμένων [45. 46]

παρωχ†ετεύων· ὅταν ἀπὸ τούτου τοῦ μέρους στρέφῃ τὸ ὕδωρ εἰς ἄλλον ὑδρα(γω)γόν

παρῳχημένας· παρελθούσας [49]

πᾶσαι (Β 809)· ὅλαι

πασάμενος· [ad 51] κτησάμενος (Theocr. XV 90)

πασάμην· ἐδεξάμην (non Φ 76) [53]

πάσανος· ἀρτοπώλης, ἢ ἀρτόπτης [55]

πάσατο· ἐγεύσατο. ἐκτήσατο [57. 58]

πᾶσις· κτῆσις

πάσχος· πηλός

πάσμα· ᾧ συνήρτηται πρὸς τὸ φυτὸν τὸ φύλλον. ἔνιοι μᾶλλον ἐρίου (πέσμα)

πάσορ· πάθος. Λάκωνες

πασπάλη (Ar. Vesp. 91)· τὸ τυχόν. οἱ δὲ κέγχρον· ἢ ἄλευρα κρίθινα

Πασπάριος· ὁ Ἀπόλλων· παρὰ Παρίοις καὶ Περγαμηνοῖς

πασσακίζουσα· πασσαλεύουσα

πασσακίῳ (Ar. Ach. 763)· πασσάλῳ

πάσσακον· πάσσαλον

πάσσαλερ (Lacones)· σφῆνες

πασσάλιον· τοῦ ζυγοῦ τῆς κιθάρας τὸ μέσον

πασσαλόφιν (Hermipp. com. p. 402)· τοῦ πασσάλου. ὁ δὲ σχηματισμὸς Βοιώτιος

†πασσάριος· σταυρός

πάσσε (Ι 214)· συνήθως ἡμῖν·

πάσσε δ' ἁλὸς θείοιο κρατευτάων

καὶ ἐνεποίκιλλε (Γ 126)·

πολέας δ' ἐνέπασσεν ἀέθλους

ἔνθεν καὶ παστὸς τὸ γαμικὸν ποίκιλμα

πάσσεται· ἐσθίει

Πάσσιρος· ὁ τὴν Εἰρήνην κτίσας Ὑπερβόρειος. ἐκαλεῖτο δὲ Εἰρήνη καὶ Πελαγοῦ(σ)σα

πάσσονα (ζ 230 θ 20)· παχύτερον, ἢ πλατύτερον. καὶ πάσσους † εἶναι [76]

πασσυδίᾳ (Eur. Tro. 792 Xen. Hell. IV 4, 9)· ὁμοῦ πάσῃ σπουδῇ, ἢ ὁρμῇ. τινὲς δὲ πανδημ(ε)ί

πασσυδίῃ (Β 12)· ὁμοίως

†πασσύριον· ἀντὶ τοῦ πασσυδίην. Αἰολεῖς. τὸ πασσύριον ἡμῶν ἀπάντων γένος (Bergk. Lyr. p. 1055, 64)

πασσύρως· ἄρδην. πανοικί [81]

COD. 19 ὕμνιδι 23 Ranulae, partes in media ungula tenerrimae 27 παρῳδοῦντες 38 παρεωρῶτο 40 παρὰ καιρὸν 41 ἀποθήσας 44 παροσμένων, δεδιωμένων 51 πασσάμενος 54 πάσσανος — ἀρτώπτης 61 cf. μίσχη τὸ τοῦ φυτοῦ φύλλον 62 πάσον 68 σφῆκας 72 ἄλλος θεῖοι κρατευτῶν 74 κτήσας ὑπερβόριος

HES. 21 παρφάμενος (Μ 249)· παραπείσας. εἰπών. παρηγορήσας Ad 35 παρώπαλα· τὰ περὶ τοῖς ὀφθαλμοῖς 36 παρόπανος· ἐμβρόντητος Ad 37 παρὰ τοῖς ὀφθαλμοῖς 43 παρώσατο (II Macc. IV 11)· ὤσατο. καὶ ὤθησεν 45 παρώτρυναν (Act. Ap. XIII 50)· παρώξυναν 46 παρῴχετο (Δ 272)· παρῆλθεν. ἐπορεύετο 49 πᾶς (Ο 537)· ὅλος. ἕκαστος Ad 51 γευσάμενος (α 124) 53 πᾶσαν ἐπ' αἶαν (Θ 1)· πᾶσαν τὴν γῆν 55 πάσσασθαι (π 384 non Soph. A. 202)· γεύσασθαι 57 πασάτω (Exod. IX 8)· ῥανάτω 58 πασιδέχεν (Δ 95)· περὶ πάντων δέ 76 πάσσοντος (Ps. CXLVII 16)· εἰς ἀέρα χέοντος, ἢ σκορπίζοντος, ἢ ῥίπτοντος (1081) 81 πάσσων· ῥίπτων. χέων. σκορπίζων (1076). ἐμπάσσων (Ε 401. 900)

πάστα (Aristoph. p. 1184 Eupol. fr. CVIII[a])· *βρῶμα ἐκ τυροῦ ἁπάλου μετὰ σεμιδάλεως καὶ σησαμίου σκευαζόμενον. οἱ δὲ ἔτνος ἀλφίτοις μεμιγμένον*

παστάδες· παστοί, στοαί. καὶ τῶν ἀμπέλων αἱ συστάδες. καὶ τόποι, ἔνθα ἐδείπνουν, ἀπὸ τοῦ πάσ[σ]ασθαι. ἴσως δὲ καὶ οἱ διαγεγραμμένοι οἶκοι· πάσαι γὰρ τὸ ποικῖλαι. καὶ ἔτνος ὅμοιον

†*παστάξ· πάσσαλος*

παστάς· στοά. προστάς. παστάδας (Herod. II 148 Xen. Mem. III 8, 9)· *νυμφῶνας*

παστήρια· σπλάγχνα. τὰ ἐντοσθίδια. κοιλία [87]

†*πασχαλκεύς· πολύτεχνος*

πασχητιᾷ· πάσχειν θέλει[ν]. ἢ ἀκόλαστος ...., ἢ αἰσχρᾶς ἡδονῆς ἡττᾶται

παταγεῖ (Ar. Nub. 389)· *ψοφεῖ. κτυπεῖ* ⟨cf. *λαταγεῖ*⟩ [91]

Πάταικοι (Herod. III 37)· *θεοὶ Φοίνικες, οὓς ἱστᾶσι κατὰ τὰς πρύμνας τῶν νεῶν*

παττάλους (Ar. Vesp. 129)· *πασσάλους*

πάτανα (Sophro fr. 31 ?)· *τρύβλια* ⟨391⟩

πατάνια (Eubul. p. 223 Antiph. p. 39)· *τὰ ἐκπέταλα λοπάδια, καὶ τὰ ἐκπέταλα καὶ φιαλοειδῆ ποτήρια, ἃ πέδαχνα καλοῦσι. τινὲς δὲ διὰ τοῦ β̄ βατάνια λέγουσιν*

†*παταπῶ· πάλαι ποτέ*

Παταρ(η)ίς· πόλις, καὶ ὄρος Λυκίας

πάτασσε (Ψ 370)· *ὑπὸ ἀγωνίας ἐπλήσσετο, ἐταράττετο*

πατάσσει (e. c. *N* 282)· *πλήσσει, κρούει. τρέμει. πηδᾷ. φοβεῖται. ἅλλεται* [ad 99]

πατάσσω· ἠχῶ ⟨1090⟩. *δέρω, πλήσσω*

πάταχνον· σκεῦος λοπαδίῳ ἐμφερές

πατεῖσθε· ἐσθίετε

πατεῖν· πορεύ[σ]εσθαι

πατέοντο· ἐγεύοντο

πατέουσι· καταπατοῦσι [1106—9]

πατηνόν· πεπατημένον. κοινόν [11. 12]

πατηταί· οἱ τραπηταί [14. 15]

πατνή· καλὴ ὑπὸ Πάρθων

πατνώματα· στεγάσματα οἴκου ⟨φατ—⟩ [18]

πάτορες· πλούσιοι

πάτος· ἡ πεπατημένη καὶ λεωφόρος ὁδός (ι 119). *καὶ ἔνδυμα τῆς Ἥρας* (Callim. ap. Melet. de hom. p. 83). *καὶ κόπρος*

πατράδελφος· θεῖος πρὸς πατρός [21]

πατραλοίας (Philonid. com. p. 421)· *ὁ τὸν πατέρα ἀτιμάζων, πατροτύπτης. καὶ τὸ μητραλοίας* (οὕτω) *συντίθεται*

Πάτραι· πόλις τῆς Ἑλλάδος (Philemon. p. 31) [24]

πάτρην· πόλιν ἐπαρχίας. φυλήν. πατρίδα [26]

πατριαί (Herod. I 200)· *φυλαί* ⟨1114⟩

πατρίδι (Dem. 296, 15)· *πατρῴᾳ* [29—32]

πατριώτης (Nico com. p. 678)· *παρὰ Ἀθηναίοις, ὁ βάρβαρος. καὶ ο(ὑ) πολίτης*

πατρόθεν πορδακίδαι· ὅτι πατέρων εἰσὶν ὄνων ἡμίονοι [35]

πατρόπολις (Antiph. com. p. 129)· *ἡ πατρῴα οἰκία*

πατρῴζουσαι· τὰ τοῦ πατρὸς φρονοῦσαι [38—41]

πατρῷος Ζεύς (Ar. Nub. 1470)· . *ναὶ ναὶ καταιδέσθη(τι) πατρῷον Δία καὶ ἄλλοι πολλοί*

†*πατώσας· διατριβούσας*

COD. 82 *πάστα* (Dor.) et *παστά* 83 *παστάδαι* 85 *πρόστὰς παστάδας νυμφῶν* 86 *ἐντοσθήδια* (cf. *ἐμπαστήρια περιστατήρια πλαστήρια πατήρια*) 89 *αἰσχρᾶ ἡδονῆ* 92 *παταϊκοί* 94 *τριβλίον* 95 *παιδάχαια* 98 *ἀγῶνος* 1102 *πάτειθε· ἐσθίεται* 4 *ἐγένοντο* 22 *μητρο—* 28 *πατρῴᾳ· πατρίδι* 33 *πατριότης* 34 *πορδικάδαι — πρων* 37 *πατρόζουσαι* 38 *πατρῷϊον* 40 *κτένων* 43 *πατώμας* (cf. *ματρῖ*)

HES. 87 *παστοφόριον* (Ierem. XXXV 4)· *τὸ τὸν παστὸν φέρον. ἡ οἰκονομία. ἡ συναγωγή. ἡ ναὸς εὐανθής* 91 *πάταγος* (*N* 283 *Π* 769)· *ψόφος, κτύπος* Ad 99 *ἢ πατάξαι* 1106 *πατεύσουσι· καταφρονήσουσιν* ⟨*πατη—*⟩ 7 *πατερῆται· ἐσθίουσι* ⟨*πατέονται*⟩ 8 *πατέρες· πλούσιοι* ⟨*πάτορες*⟩. *ἢ πρόγονοι* 9 *πατευτικόν· θηρευτικόν* ⟨*παλ—*⟩ 11 *πατήρ· ὁ φύσας* 12 *πατήρια· ἐγκοί[κ]λια* ⟨1086⟩. *καὶ τῆς λη[μ]νοῦ μέρη τινά* ⟨*πατητήρια*⟩ 14 *πατίαι· χῶραι* ⟨*πατριαί*⟩ 15 *πάτησαν* (*Δ* 157)· *κατεπάτησαν* 18 *πάτον* (*Z* 282)· *ὁδὸν πεπατημένην* 21 *Παῦλος* (Iesai. IX 6)· *θαυμαστὸς ἢ ἐκλεκτὸς σύμβουλος* 24 *πατρέμβατοι· ὑψηλοί* (Aesch. Suppl. 350) 26 *πάτρης* (*Α* 30)· *πατρίδος. σημαίνει δὲ καὶ τὴν ἐκ τοῦ αὐτοῦ πατρὸς γένεσιν* (*N* 354) 29 *πατρίδα γαῖαν* (*N* 645)· *πατρῴαν γῆν* 30 *πατρίδος αἴης· πατρῴας γῆς* 31 *πάτριον· τὴν πομπήν* ⟨*πατριώτην· οὐ πολίτην*⟩ 32 *πατρίς· φυλίς. πατρίδος* 35 *πατροκασιγνήτῳ* (ν 342)· *τῷ τοῦ πατρὸς ἀδελφῷ* 38 *πατρώϊον* (e. c. *B* 46)· *τὸ τοῦ πατρός. καὶ ἀπὸ προγόνων* 39 *πατρώϊος* (e. c. *Z* 215)· *πατρικός* 40 *πατρωλοίας· ὁ τὸν πατέρα τύπτων, ἢ κτε(ί)νων* 41 *πάτρωνες· οἱ πρῶτοι τῶν ἀξιωθέντων τῆς Ῥωμαίων πολιτείας ὑπὸ Ῥωμύλου ἑκατὸν ὄντες, ὥσπερ δευτέρων πατέρων τάξιν ἐχόντων· καὶ ἐκ τούτου οἱ κρινόμενοι(ς) βοηθοὶ παραγινόμενοι*

παύεται (Arist. fr. XC)· ἥσυχος γίνεται
παῦλα (Soph. Tr. 1257)· ἄνεσις, ἀνάπαυσις
παυνί· μικρόν. οἱ δὲ μέγα. ἢ ἀγαθόν
παῦνις· ἀπόχρεως
παῦνον· μέγα
παῦρα (Γ 214?)· ὀλίγα, εὐαρίθμητα
παυράκις (Theognid. 859)· ὀλιγάκις, ἢ οὐδὲν ὅλως
παυρακίς· τὴν πέμπτην Σαμοθρᾶκες καλοῦσιν
παῦροι· ὀλίγοι [ad 52]
παυσιβάκτρων· ἰσχυρῶν βακτηρίων χρωμένων [54]
παυσικάπη (Aristoph. p. 1072)· μηχάνημα τροχῷ ἐοικός, δι' οὗ τὸν τράχηλον εἶρον, ὡς μὴ δύνασθαι προσενεγκεῖν τὴν χεῖρα (τῷ στόματι)
Παυστήρια· ὄρη τῆς Ἀχαίας, ἐν οἷς ὁ Ὠρίων ἀπέθανε. καὶ προβλήματα, ἢ φράγματα [57. 58]
παφλάζει (Cratin. p. 136)· βράζει, ἀναζεῖ
παφλάζοντα· [ad 60]. καχλάζοντα. ἀναβράζοντα, θερμαίνοντα
π(ε)αφών· κτείνας
παχείᾳ δραχμῇ· τὸ δίδραχμον. Ἀχαῖος [63. 64]
πάχητες (Hippocr.)· πλούσιοι. παχεῖς
πάχνη· ἡ ψυχρότης· ἀπὸ τοῦ πήσσειν. ἢ λεπτὴ χιών. ἢ παχεῖα δρόσος. ἢ τὸ πηγνύμενον ὕδωρ ὑπὸ ψύχους
παχνουμένης (cf. Aesch. Cho. 81)· ἀνιωμένης
παχνοῦται (P 112)· θυμοῦται. πήσσεται· παρὰ τὴν πάχνην. φρίσσει. λυπεῖται, ἀνιᾶται (Greg. Naz. C. XXVIII 14?)
†παχή· μύρον τὸ Μενδήσιον λεγόμενον
παχυμερῶς· ἁδρῶς, παχέως
παχύνοοι· παχὺν νοῦν ἔχοντες, ἀνόητοι
παχύποδα· τὸν ὑπὸ λιμοῦ καὶ φιλαργυρίας οἰδήσαντα
παχύτερον· ἁδρότερον. οὐκ ἀκριβῶς
(παώτα· συγγενοῦς)

παῶται· συγγενεῖς. οἰκεῖοι. Λάκωνες
(παώταρ· συγγενής) cf. 40
πέαρ· Γλαυκίας λιπαρόν
πεδά (Alcae. fr. 48)· μετά. ἢ γῆ (πέδον)
πεδάγρετον· μεταμέλητον. μεταληπτόν. ποικίλον. μεταδίωκτον
πέδαι· δεσμά. περισκελίδες. καὶ κρίκοι ἐσκυτωμένοι τῆς νεὼς τοῖς πηδαλίοις καὶ τῷ ἱστῷ
†πέδαλα· ποικίλα
†πεδαλευόμενος· μεταμελόμενος. μεταδιωκόμενος
πεδανῷ ὕπνῳ ἢ ἠπεδανῷ· κούφῳ. Ἴων Ἀγαμέμνονι (fr. 4). τινὲς δὲ οὐ βεβαίῳ
πεδανός· ταπεινός, πεδεινός. ἢ ὁ τῷ μάντει διδόμενος μισθός
πεδαοριστής· ἵππος φρυ(α)γματίας. καὶ μετεωριστής
πεδάρσιον· μετέωρον. ὑψοῦ
πέδαχνα (Alexid. p. 408)· τὰ ἐκπέταλα καὶ φιαλοειδῆ ποτήρια (1298)
πεδαχνοῦται (Aristoph. p. 1063)· ἐξυπτιῶται. καὶ τρυφᾷ
(πεδάορον· μετέωρον) 1356. 1204
πέδειλα· ὑποδήματα (Eustath. 179, 24)
πέδελθε· ἱκέτευσον. μέτελθε
πεδέλθῃ· ἱκετεύῃ. μετέρχηται
πέδευρα· ὕστερα. Λάκωνες
πέδευρον· ὕστερον. πάλιν. ὀπίσω
πέδη (Xen. Eq. VII 13. 14)· εἶδος ἱππασίας. καὶ περισκελίς. δεσμός
πέδησεν· ὑποχείριον ἐποίησεν [94]
πεδιάδα γῆν· τὴν Φωκίδα
πεδιᾶλαι· μεταπέμψασθαι. μεταβαλεῖν
πεδιακὰ πρόβατα (Lysias)· πρόβατα ἀπὸ πεδίου, καὶ οὐ λειμῶνος
πεδιάτιδες πύλαι· τὰς πλησίον τοῦ Θυμβραίου ἐν Ἰλίῳ φησί, ἃς τινες Ἐπιχηλὰς καλοῦσι
πέδιλα (α 96)· ὑποδήματα. καὶ ἔστιν οἷον ποδόειλα [1200]
πεδοίκους (Dor.)· μετοίκους

COD. 44 ἡσύχως 49 εὐρύθμητα 52 ἔλαττοι 55 ἤρωνος μὴ 56 παυστίρεια (Χίου?) 57 .κατέληξις 61 πάφων 62. 63 = 63. 62 62 |η δραχμῇ — Ἀχαιοί 63 |α χειρὶ — ἰσχύϊ 66 πεσσεῖν 69 παχήμερον 71 παχυννοὶ 74 πραῶται (75 = πῖαρ) 76 πέδα 80 μεταμελώμενος 81 ἢ πεδανῷ 83 πεδάρσειον, μεταίωρον 83] post 86 πεδαωριστής 84 πεδαυνά 87 πέδηλα 89 πεδελύει· ἱκετεύει, μετέρχεται 96 πεδιάλαι — μεταλαβεῖν 97 ἀποδεδία 98 πεδιά τινες, πύλαι — ἠλίῳ 99 ποδόειδα

HES. Ad 52 (παυρότεροι·) ἐλάττους. ὀλιγώτεροι (Θ 56) 54 παύσειεν (Λ 192)· καταπαύσειεν 57 παυσωλή· ἀνάπαυσις (Β 386). τελευτή. κατάληξις 58 Παφλαγόνες (Ν 656)· ἔθνος Ad 60 ἠχοῦντα (Ν 798) 63 παχείῃ χειρί (Γ 376)· τῇ ἰσχυρᾷ 64 πάχετον (Θ 187)· παχύτ(ε)ρον 94 πεδῆται (Sap. Sal. XVII 2)· πεπεδημένοι 1200 πεδόθεν (ν 295)· ἀρχῆθεν, ἐκ ῥίζης, ἀπὸ γενέσεως, ἐκ παίδων

πεδοίκου χελιδόνος· συνοίκου. Αἰσχύλος Τροφοῖς (fr. 52)

πέδον· γῆ, ἔδαφος [4]

πέδορτος (Aeoles)· ἡμέρα, ἐν ᾗ οὐ γίνεται ἑορτή

Πεδώ· ἡ νῦν καλουμένη Κλεψύδρα ⟨q. v.⟩, κρήνη ἐν ἄστει

πέζα· ἡ ἀρχὴ τοῦ ῥυμοῦ· διὰ τὸ πρὸς τῷ πέδῳ ...., ὅθεν καὶ πέζα ἱματίου λέγεται ἡ ὤα, ἢ πρὸς τῷ πέδῳ τὰ κατώτατα μέρη (Ω 272)

πεζὰς μόσχους (Eupol. fr. VI p. 489)· οὕτως ἐκάλουν τὰς μισθαρνούσας ἑταίρας χωρὶς ὀργάνου ⟨1215⟩

πεζεταίροις (Demosth. 23, 2)· τοῖς περὶ τὸν βασιλέα δορυφόροις

πεζὴ λέξις· κοινὴ λέξις

πεζήν· τὴν συνήθη, ἢ κοινήν

πεζός· κοινός. ταπεινός. **Πεζοῖς** δὲ τοῖς ἐκ ποδῶν πεζεύουσιν

πεζοφόροις ζώμασιν· Αἰσχύλος Τοξότισιν (fr. 242). ὥσπερ πέζαν ἐχόντων τῶν χιτώνων· τινὲς δὲ ποδήρεσι. **Ζῶμα** δὲ τὸ ἔνδυμα [14]

πεζῷ γόῳ (Scenic.)· τῷ ψιλῷ. καὶ **πεζὰς** ἑταίρας ἔλεγον τὰς μισθαρνούσας χωρὶς ὀργάνου ⟨1208⟩ [16]

πειθαρχήσαντες· πεισθέντες [18. 19]

πειθήνιοι· ὑπήκοοι, πειθόμενοι [21. 22]

πείθονται· πειθήνιοί εἰσιν (Δ 79)

πειθώ· ἡ ὀγδοάς

πεικαλίμαις· ὀξείαις, καὶ λεπταῖς

πείκειν· ξαίνειν ⟨2276⟩

πεῖκος· ἔριον. ξάμμα [28. 29]

πεινέων· πεινῶν [31]

πεινῆν· πεινᾶν [33]

πειράζων· ἐνεδρεύων. ληστεύων (non ι 281) [35]

πείρᾳ δοῦσα (Menand. p. 104)

πεῖραι· πειρατ(ε)ῖαι. δόλοι

Πειραιῆς· νῆσος (h. e. δῆμος)

πειρᾶν (Menand. p. 225)· πειράζειν ......

πεῖραν ποιούμενος· πειράζων

πείραντες· ἐκκεντήσαντες

(**Πειρασία** [Thuc. II 22])· Ἀστέριον

πείρατα (Η 102)· πέρατα. τέλος

πειραταί· κακοῦργοι, λησταί. θηρευταὶ ἐν ὕδασι

πειρᾶται· [ad 44] πειράζει. ἐπὶ δὲ ληστῶν, πειρατεύεται ⟨εὐεῖ?⟩ [45]

†**πειρεᾶσθε**· πειράσθητε (Aesch. Ag. 1401?) [47. 48]

πειρῆσθαι· ἔσθ' ὅτε ληστεῦσαι [50]

πειρήσοντα (Μ 301)· διάπειραν ληψόμενον [52]

πειρητίζειν· πειρᾶσθαι. †πεφυσῆσθαι. πεφοβῆσθαι [54]

Πείρηθοι· νύμφαι ἐν Κύπρῳ ⟨—ιθοι⟩

πείρινθος· πλέγμα, τὸ ἐπὶ τῆς ἁμάξης· τὸ πλινθίον, τὸ ἐπιτιθέμενον τῇ ἁμάξῃ τετράγωνον

πειρῶ (Soph. Phil. 149)· σπεῦδε. πείραζε [58. 59]

πείσαντες· ποτίσαντες, ὑγράναντες

πείσεα (ζ 124)· λειμῶνες. ἕλη. [ad 61] ποτάμιοι, π(ο)ιώδεις, ὑδατώδεις τόποι [62]

πείσει (Eupol. fr. XXIV p. 471)

πεῖσεν· ἔπεισεν [64—66]

πείσματα· σχοινία ἀπόγεια, πρυμνήσια (c. c. ζ 269). περιβόλαια

πεισόμενον (Herod. IX 37)· παθεῖν μέλλοντα

COD. 1202 *αἰσχυλοτρόφοις* 5 **πέδοτα** 8 **πέζας**, *μόσχους* 9 **πεζετέροις** 15 **πεζολόγῳ** 25 **πεικαμμαῖς** 26 **πεικεῖν** 27 **πεικός** 29 **πεπη|** 36 **πειδαίρουσα**, *δέρουσα* 37 **πειρατίαι**, *δόλος* 38. 38a post 1253 *Πειριεῖς κτλ.* ⟨44 cf. 1914⟩ 51 |**ται** — *λήψονται* 56 **πλήνθιον** (schol. Ω 190) 60 *ὑγραί*— 61 **πείσσεα** 63. 63a **πείσεν**· *πείσει, ἐπ|*

HES. 4 **πέδουρος**· *μετέωρος* 14 **πεζῶν** (Δ 274)· *τῶν ὁδευόντων* 16 **πιθανότης**· *πιστότης* 18 **πείθεο** (Α 214)· *πείθου* 19 **πείθεσθε** (ω 455)· *πείσθητε* 21 **πειθήσας**· *πεισθείς* 22 **πειθή**· *πεισμονή, πίστις* 28 **πεικόν**· *πικρόν, πευκεδανόν* ⟨2016. 2278⟩ 29 **πειλός**· *πᾶν τὸ πεπιλωμένον* 31 **πειναρόν**· *ῥυπαρόν* ⟨2317⟩ 33 **πείρω** (Ω 390)· *πέρας* 35 **Πειραΐδαο** (Δ 228)· *Πειραίου παῖδα* Ad 44 *πεῖραν λαμβάνει* (Β 193) 45 **πειρατήριον** (Iob. VII 1)· *τόπος ληστῶν* 47 **πείρησαι** (Α 302)· *πείρασον* 48 **πειρήθηξαι** (Τ 384)· *πεῖραν λαμβάνει* 50 **πειρήσομαι** (Β 73)· *πειράσομαι* 52 **πειρήτιζε** (Η 235)· *πείραζε* 54 **Πειριεῖς**· *νῆσους. καὶ Ἀστερία* ⟨1238⟩ 58 **πειρώμενος** (Ε 129)· *πειράζων* 59 **πειρῶν τὴν παῖδα** (Moer. 310)· *πειράζων. διαφθείρων* Ad 61 [πέδη.] 62 **πείσσεασποιήεντα** (Υ 9)· *τοὺς διύγρους τόπους καὶ βοτανώδεις* 64 **πείσεσθαι** (Α 289)· *παθεῖν* 65 **πείσεται** (Λ 788 Υ 127)· *ὑπομενεῖ* 66 **πείσῃ**· *πεισματικὴ χώρᾳ* (υ 23)· *τῷ δὲ μάλ' ἐν πείσῃ κραδιήμεναι*

πείσονται· πάθωσι (non Hom.)
†πείχισον· δοκίμασον [71]
πεκτεῖ (Ar. Av. 714)· κτενίζει. τίλλει. κείρει. ξαίνει
πεκτοῦμαι· †τρίχομαι. τίλλομαι
πεκτούμενον (Ar. Lys. 684)· τιλλόμενον. τίλλοντα. Πεκτεῖν γὰρ τὸ κείρειν
πελάγια· τὰ κρόταλα. †ἡ δὲ ῥίνος πελαγία
πελαγίζειν (Hyperides)· τοὺς ὀδόντας συγκρούειν. καὶ πλεῖν πέλαγος ἄβατον. καὶ ἀλαζονεύεσθαι, καὶ ψεύδεσθαι μεγάλα
πέλαγος· μέγεθος, πλῆθος, βυθός, πλάτος θαλάσσης [78]
πελαζόμενοι· ἐγγιζόμενοι
†πέλαιτον· τὸ ἐφικτόν. μέγιστον
πέλαινα (Alcm. fr. 69 Bgk.)· πόπανα, μειλίγματα
Πελάνα· ἡ Σαλαμίς. ἐν τοῖς Εὔκλου χρησμοῖς: ἢ τὰ ἀπὸ τῆς ἅλω ἀπάργματα. καὶ θυσίαι, καὶ πέμματα
πέλανοι (Eur. Hel. 1334)· πέμματα εἰς θυσίας ἐπιτήδεια
πέλανον· ἀφρόν, τὸν περὶ τὴν γῆν ἀφρόν (Aesch. Pers. 816). ἢ πέμμα τι πλακουντῶδες
πέλανος· πέψιν ἔχων ῥυπαράν. ἢ τὸ ἐκ τῆς (παι)πάλης πέμμα. οἱ δὲ ἐπὶ τοῦ κηρίου τιθέασι. καὶ τὸν περιπεπηγότα τῷ στόματι ἀφρόν (Eur. Or. 220)
πέλανορ· τὸ τετράχαλκον. Λάκωνες
πελαργικοὶ νόμοι· τὸ ἀντιτρέφειν τοὺς γονεῖς
Πελαργικὸν (Ar. Av. 832)· ἀντὶ τοῦ Πελασγικόν. Πελαργοὺς γάρ φασι τὴν Ἀττικὴν οἰκῆσαι· ἀπὸ τῶν †Πελασγῶν μεταφέροντες ἐπὶ †τὰ πτηνά
πελαργός· ἄγγος τι κεράμεον
πέλας· γείτων, ἐγγύς, πλησίον [91]
πελάσαιμι· προσεγγίσω
Πελασγοὶ (K 429)· οἱ Θεσσαλοί. καὶ Πελασγικὸν Ἄργος (B 681) ἡ Θεσσαλία νῦν. καὶ ἔνιοι τῶν βαρβάρων. καὶ γένος ἀπὸ Πελασγοῦ τοῦ Ἀρκάδος γενόμενον πολυπλάνητον (Cratin. fr. XXII p. 182) [94. 95]
Πελαστικὸν (Herod. V 64)· τειχίον οὕτω ἐν Ἀθήναις καλούμενον Τυρρηνῶν κτισάντων
πελάται (cf. Plat. Euthyph. p. 4 C)· οἱ διὰ τὴν ἀναγκαίαν τροφὴν μισθῷ δουλεύοντες, †τρεῖς μίσθαρνοι· ἀπὸ τοῦ πέλας. ἢ θρέμματα
πελάχνιν· τρύβλιον ἐκπέταλον ⟨1185⟩
πελδασταί· οἱ τὰ ἀσπιδίσκια ἔχοντες
πελεθοβάψ· Θεόδ(ω)ρος ὁ τραγικὸς ὑποκριτὴς οὕτως ἐπεκαλεῖτο. τινὲς δὲ ποιητὴν αὐτόν φασι γεγονέναι
πελεθρίσματα· δρομήματα (cf. πλ—)
πέλεθρον (Φ 407)· μέτρον γῆς, ὅ φασι μυρίους πόδας ἔχειν· τινὲς δὲ σταδίου ἕκτον
Πελεθρόνιον· πολυφάρμακον
Πελεθρόνιος· ὁ Χείρων, ἀπὸ τοῦ Πελεθρονίου, ἐν ᾧ ἐτράφη· οἱ δὲ πολυφάρμακος
πέλει· ὑπάρχει (I 134), ἐστί. (δίδωσι. γίεται [Γ 3])
πέλειαι (μ 62)· περιστεραί. καὶ αἱ ἐν Δωδώνῃ θεσπίζουσαι μάντεις. Ἀριστοτέλης (ΗΑ. V 13) φησὶ διαφέρειν περιστερὰς καὶ πελειάς
πελειοθρέμμονα νῆσον (Aesch. Pers. 309· Σαλαμῖνα)
πελείους· Κῷοι καὶ οἱ Ἠπειρῶται τοὺς γέροντας, καὶ τὰς πρεσβύτιδας ......
πελεκάν (Ar. HA. VIII 12)· ὄρνεον τὸ κολάπτον καὶ τρυποῦν τὰ δένδρα
πελέκεα πέλεκυν δίστομον (Eur. fr. 534, 5. 6)
πέλεκκος· στελεός, ὅ ἐστι ξύλον εἰς τὴν ὀπὴν τῶν πελέκεων βαλλόμενον (N 612)
πέλεκρα· ἀξίνη
πέλεκυς (Γ 60)· ἀξίνη δίστομος. ἢ σταθμίον ἑξαμιαῖον· οἱ δὲ [δω]δεκαμνιαῖον (Cretes)
†πελεκύστερον· τὸ στελεόν
πελεμίζειν· σείειν, κραδαίνειν [1316]
πέλεν· ἦν, ὑπῆρχεν (E 729)

COD. 69 πάθουσι ⟨70 πύρωσον· δοκίμασον gl. Psalm.⟩ 72 πέκτει, κτείνει ⟨75 ἡ δὲ ῥίνη πελαγία] *squatus*, *cellis*⟩ 82 εὔκε — πράγματα 85 πέμψιν — πώλης — περιπεπηκότα 87 |στρέφειν ⟨89 πέλλα· ἄγγος?⟩ 96 cf. schol. Il. Π 233 98 τρυβλίον ⟨cf. βίλλιν, ἠθμάριν⟩ 1300 |ὀβαψ — κωμικὸς ὁ ὑ| 1 πελέθρησμα, τὰ δρόμηκα 2 |ίους ἑκατόν 3 ποιησιφάρμακον 4 πελεθροίνου Post 4] δίδωσι γίνεται cf. 1305 5 cf. πέλω 7 πέλειον, θρέμμονα ⟨cf. 1282. 1320⟩ 8 cf. πέληος, πελλᾶς 11 πελεκκός

HES. 71 πεκούλιον· (βαλάντιον *peculium*) 78 πελάζειν (E 766)· ἐγγίζειν, πλησιάζειν 91 πελάσαι (χ 176)· ἐγγίσαι, πλησιάσαι 94 πέλασε (Θ 277)· προσήγγισεν 95 πέλασσεν (B 744)· ἐγγίσαι ἐποίησεν, πλησίασεν 1316 πελεμίχθη (Δ 535)· διεσείσθη

πελένα· ζεῦγος βοῶν

Πελεός· Ἀχαιὸς Φρίξῳ (fr. 36). καὶ μήποτε τὴν παρ' Ὁμήρῳ (Β 594) Πτελεόν. δύναται δὲ καὶ τὰ Πέλη τὰ ἐν Θεσσαλίᾳ λεγόμενα δηλοῦν [20]

†πελεσσύδραι· συ[ν]στρέμματα ὑδάτων [22]

πελήαρ· περιστερὰς καὶ †περσικῆς τὸ ἥμισυ. Λάκωνες [24]

πέληος (Dor.)· γέρων [26]

πελιαί· μέλαιναι [ad 27] [28]

πελιγᾶνες· οἱ ἔνδοξοι· παρὰ δὲ Σύροις οἱ βουλευταί

†πελίγξαι· ἐπιδραμεῖν

πελιδνόν (Thuc. II 49)· μέλαν ὡς μόλυβδος. ἢ ὕφαιμον

πελίκαν (Cratin. p. 64)· εἶδος ποτηρίου ξυλίνου. διὰ τὸ πεπελεκῆσθαι. ἄλλοι ξυλίνη λεκάνη

πελιοί· μέλανες, ὡς ὠχροί, ἢ χλωροί

Πελινναῖος· ὁ Ζεὺς ἐν Χίῳ

(πελιόν· φαιόν [cf. 1338]. μεμελανωμένον [1401])

πελιτνόν (Thuc. II 49 Alexid. p. 429)· πελιόν

πέλλα· λίθος

πέλλαι (Plut. Mor. 409 B)· ἀγγεῖά τινα, εἰς ἃ ἀμέλγεται τὸ γάλα, οἷον πύελ[λ]οί τινες οὖσαι, ἐν αἷς τὸ πῦος, τουτέστι τὸ γάλα, εἰλεῖται

Πελλαῖον (Call. epigr. XIV 6)· Μακεδονικόν

πελλάνιος· Ποσειδῶν ἐν Κυρήνῃ

πελλαντῆρα· ἀμολγέα ⟨1350⟩

πελλᾶς· πέληος. πρεσβύτης ⟨onom.⟩

πέλλας (Π 462) καὶ πέλλαι· ποιμενικὰ ἀγγεῖα [43]

?πελλαιχρὸν ἢ πελλαιχνόν· πυρρόν

πελλήν (Macedones)· †κούφην, καὶ φαιὸν τῷ χρώματι [46]

Πελλ(ην)ικαὶ χλαῖναι· ἐπεὶ διαφέρειν ἐδόκουν αἱ ἐν Πελλήνῃ γινόμεναι, ὡς καὶ ἆθλα τοῖς νικῶσι δίδοσθαι

†πέλληου· στέφου

πελλητήρ (Ath. 495 E)· πολυφάγος. ἀμολγός

πελλητῆρες (Thessali, Aeoles)· ὁμοίως

πελλία· σπέλεθοι

πέλλιξ· κράνος

πελλίς (Hipponact. fr. 37)· λεκάνη

πελλόν· φαιὸν χρῶμα, ἐμφερὲς τῷ πελιδνῷ

πελλοπ†λαύραστον· ὀξύθυμον. ἢ ἔκλιμον ⟨πέλλοπα⟩ [56]

πέλλυτρα (Aesch. fr. 260)· οἱ δεσμοί, οἱ περὶ τὰ σφυρὰ καὶ τοὺς ἀστραγάλους τῶν δρομέων περιελισσόμενοι, εἰς τὸ μὴ ἐκ(σ)τραφῆναι ⟨1343⟩ [58]

πέλμα (Eratosth.)· τὸ κάτω τοῦ ποδός

Πελοπίδαι· Ἀγαμέμνων γε

Πελοπόννησος· πόλις τοῦ Ἄργους

†πέλος· μέγα. τεράστιον

πέλτη (Eur. Rh. 305)· εἶδος ὅπλου. δόρυ. ἢ μικρὰ ὅπλα

πέλτη· ἀσπὶς ἴτυν οὐκ ἔχουσα. ἢ ὅπλου σκέπασμα. ἀκόντιον

πέλτης (Eur. fr. 370)· Θρᾴκιον ὅπλον. καὶ εἶδος ταρίχου

πέλω (Soph. OT. 245)· εἰμί, δίδωμι, γένομαι

πέλωρ (Σ 410)· μέγα. ὑπερφυές

πέλωρα (Β 321. κ 219)· θηρία. δείματα. τέρατα. σημεῖα μεγάλα

πελωρεύει· φανερῶς ποιεῖ (τέρατα)

†πελώρης· τινὲς εἱμαρμένης [71]

πελώριος (Γ 167)· μέγας, δεινός [73]

πέμμα· εἶδος πλακοῦντος. καὶ πᾶν πεπτόμενον

πέμματα· ποικίλα ἐδέσματα πλακουντικά

πεμπάδος· πεντάδος

πεμπαζόμενοι· ἐπιστρεφόμενοι. ἐκπληττόμενοι. μεριμνῶντες

πεμπάς (Xen. Hell. VII 2, 6)· τριακάς

COD. 19 πτελέον (G. F. Unger Philol. Suppl. II 6 p. 737) 23 πέληρ, περιστερᾶς 25 πολητός 29 πελιγάνες 30 cf. σωλίγξαι 31 μελανός 32 πελικάν — |ίσθαι 33. 34 = 34. 33 34 πέλιοι 35 πελιδνόν, πελειόν 37 τὸ μέγα — πυελλοί 38 πελλαιόν φαιόν, καὶ 41 πέλλας, πέλλητος 44 πελιόχρων? 45 cf. πιλνόν 49 πελλήρ 51 ἐπέλεθοι 53 ἢ πελλὰς λ| 57 πελλυταί — περὶ τὰς 62 τεραστικόν 71 τέρατα 75 πληθυντικά 76 πεμπάνδος

HES. 20 Πελεστόθρην (Aesch. Pers. 309)· νῆσον τὴν Σαλαμινίαν 22 πέλεται· ὑπάρχει (Α 284), γίνεται (Λ 392) 24 πέληται (Γ 287)· γένηται 26 πελειάδες (Λ 633)· περιστεραί Ad 27 περιστεραί. φράσθαι (Boeolicum foret πέλιη) 28 πελιανόν· μολύβδῳ ἐοικὸς κατὰ τὴν χρόαν ⟨1331⟩ 43 πελλασταί· ὑποδήματα, ἃ περιετίθεσαν οἱ δρομεῖς περὶ τὰ σφυρά, ἵνα μὴ ἔξω στρέφηται ⟨1357⟩ 46 Πελλήνη (Β 574)· πόλις ἐν Ἄργει 56 πελλύρον· μετέωρον (πεδάορον) 58 πελλύτα καὶ πελλύτεμα. δεσμός 71 πελώρια· μεγάλα (Κ 439)· τεράστια 73 πελώρου (Ε 741)· θηρίου

πεμπάσασα· ἐξαριθμήσασα

πε(μ)πάσσεται (δ 412)· κατὰ πέντε ἀριθμήσει· τὸ γὰρ πέντε Αἰολεῖς πέμπε λέγουσι. καταχρηστικῶς δὲ καὶ ψιλῶς ἀριθμήσει [80a]

πέμπελον (Lycophr. 826)· στωμύλον, λάλον. οἱ δὲ λίαν γηραλέον

πέμποι (Soph. Phil. 1160)· ἀναπέμποι [83]

πεμπωβόλους (Α 463)· πέντε ὀβελίσκους, ἐκ μιᾶς λαβῆς συνεχομένους τριαινοειδῶς

πέμφελα (δυσπ—)· δύσκολα. τραχέα. βαθέα

πεμφίδες (cf. Lycophr. 1106)· πομφόλυγες. καὶ πτηνῶν ψυχαί

πεμφιδώδεες πυρετοί (Hippocr. III p. 587 K)· φλυκταινώδεις. πνευματίαι

πέμφιξ (Soph. fr. 326 Aesch. fr. 161)· πνοή. ψυχή. καὶ αἱ τοῦ ἡλίου ἀκτῖνες

πέμψις· ἐνεχυρασμός

πενεῖν· πενητεύειν (cf. Aesch. Suppl. 362) [91. 92]

πενέσται (Theocr. XVI 35)· οἱ μὴ γόνῳ δοῦλοι, οἵτινες εἰργάζοντο τὴν γῆν. τινὲς δὲ οἱ εἵλωτες. τινὲς δὲ λάτρεις. ἢ ἐργάται πένητες ἢ ὑπήκοοι

?πενειαδεῖν· κατεπιστατεῖν

πένης· ὁ αὐτοδιάκονος

πένησσα· πτωχή

πενθέριον· τὴν προῖκα. Θάσιοι

πενθερός (Θ 582 Soph. fr. 284)· τῷ νυμφίῳ ὁ τῆς κόρης πατήρ. καὶ πενθερὰ ἡ μήτηρ. τίθεται δὲ καὶ ἐπὶ τοῦ γαμβροῦ

πένθος· συμφορά. θρῆνος, λύπη [1400]

†πενόν· μεμελανωμένον (πελιόν) [2. 3]

πεντάσχοινον· †στάδιον

πεντάχα (1416)· ἡ χείρ [ad 5]

πένταχος· τὴν τάλαρον. Βοιωτοί

πεντεχτενῆ (Antiph. fr. LXXVI Menand. p. 95)· ἐνδύματα, οἷον πριόνων ὀδοῦσιν ἐμφερῆ, πεποικιλμένα

πέντε κριταί (Epicharm.)· τοσοῦτοι τοῖς κωμικοῖς ἔκρινον, οὐ μόνον Ἀθήνησιν, ἀλλὰ καὶ ἐν Σικελίᾳ

Πεντέλεια· ὄρος Ἀρκαδίας, ἐξ οὗ Λάδων ὁ ποταμὸς καταφέρεται [10]

πεντεσύριγγον ξύλον (Ar. Eqq. 1058)· πέντε ὀπὰς ἔχον κατὰ τὸ δεσμωτήριον· τέσσαρας μέν, εἰς ἃς οἱ πόδες καὶ αἱ χεῖρες διείροντο· μίαν δέ, δι' ἧς ὁ τράχηλος

πεντετηρίς (Thuc. III 104)· πενταετηρίς

πεντηκοντόγυον (Ι 579)· πεντήκοντα γύας ἔχον· οἷον πεντηκοντοπέλεθρον

πεντηκοντομέσοδμον· πολύστεγον. αἱ γὰρ μέσοδμαι στέγαι

πεντηκοντόστ†ολον· ὅπου οἱ δραπέται †ἀνάγονται

πέντοζος (Hesiod.)· χείρ (1405)

πεντόροβον· ἡ γλυκυσίδη

πέξαι· κεῖραι, κτενίσαι

πεξαμένη (Ξ 176)· κτενισαμένη τὰς τρίχας, καὶ ξάνασα

πέξις· ψίλωσις, κουρά, ξύρησις

†πεπάγουσα· ἁπαλή

πεπαιδεῦσθαι· πεπαιδοποιῆσθαι [23]

πεπαίνεται· μελανοῦται (Ion. trag. fr. 57). ὀπτᾶται. μαλάσσεται (1455). πέπειρον γίνεται. πραΰνεται [25]

πεπαληκέναι· ἐκπεσεῖν

πεπαλημέναι· βεβλα(μ)μέναι

πεπαλ(η)μένος· βεβλαμ(μ)ένος, ἔξαρθρος γεγονώς [29. 30]

πεπαμένος (cf. Aesch. Cho. 191)· κεκτημένος

πέπανα (Boeoti)· πλακούντια

πεπᾶναι (Ar. Vesp. 645)· πραῦναι

πεπανός· ὁ πολὺν χρόνον ἔχων παρὰ τὸ ὀπτηθῆναι

πεπαρεύσιμον· εὔφραστον, σαφές

πεπαρεῖν (Pind. P. II 57 [105])· ἐνδεῖξαι, σημῆναι

πεπάρθαι· παρακεῖσθαι

πέπαρμαι· δι' ἥλου κατέχομαι. πεπερόνημαι. καθήλωμαι [39]

πεπαρφνηκότων· ἀτακτησάντων. ὑβρισάντων. Παροινία γὰρ ἡ ὕβρις

πεπᾶσθαι (Eur. H. f. 1426)· κεκτῆσθαι

COD. 81 |λέος 84 πεμποβόλους 86 πεμφολίγες 87 |ώδεις πύθετοι 97 θάσσιοι 1400 πτέρνα 5 cf. ἐμῇ πεντόζῳ 8 κοιταὶ (cf. ἐν πέντε) 9 πεντελεία 14 πεντήκοντομέσολμον — μαιοδμαί 26 ἐκμεσεῖν 33 πεπάναι 36 cf. πεπορεῖν 38 |ομαι 39 |ομένον

HES. 80a πέμπε (Alcaei fr. 26 A)· Αἰολεῖς πέντε 83 πέμπουσιν (π 228)· ἔπεμψαν, ἀνέπεμψαν, κατέπεμψαν 91 πενία· ἀχρημοσύνη, ἀπορία 92 πένεται (Levit. XXV 25)· πονεῖ, ἐνεργεῖ. ἀχρηματεῖ. κάμνει 1400 πέννα· πτερά (Ducang.) 2 πένοντο (Α 318)· ἐνείργουν 93 πενταέτηρον (Β 403)· πέντε ἐτῶν Ad 5 ἢ πέντε μέρη (Μ 87) 10 πεντεστατήριον· πενταετῆ 23 πέπαιξεν (Oseae VI 1)· ἐπάταξεν 25 πεπαλαγμένον· μεμολυσμένον (1461) αἵματι καὶ λύθρῳ (Ζ 268). ἢ λελευκαμένον 29 πεπαλόεντος (Ν 17)· τραχέος 30 πεπαλόεσσα (κ 97)· τραχεῖα 39 πεπαρμένον (Λ 246)· ἀνειρμένον. πεπερονημένον. καθηλωμένον. κατεσχημένον. ἐμπεπηγός. διαπεπερονημένον (onomast.)

†πεπάσωται· πιότητος γέμοι
πέπαστο· ἐγέγευστο. ἐπεπλήρωτο [44]
πεπαχυμμέναις· πεπυκνωμέναις
πεπεδημένος· δεδεμένος [47. 48]
πέπειρα (Anacreo. fr. 87)· γραῖα
πεπειρῆσθαι· γεγυμνάσθαι. (δια)πεπαρθενεῦσθαι
πέπειρον· πεπανθέν, ὥριμον, ὠπτημένον, ἀκμαῖον
πεπείρους (Eupol. p. 439)· ἑψημένους. ἐπὶ ὀπώρας [λαβεῖν] ἤτοι σταφυλῆς [53—55]
(πεπέπανται· πεπράϋνται) cf. 1444
πεπεραγκέναι· ἠνεγκέναι ......
πεπερασμένος· πεπληρωμένος [58]
†πέπευται ⟨πέπεκται?⟩· πέπεικται
πεπιεσμένος· τεθλιμμένος [61]
πεπλαδηκώς· σεσηπώς. ὑγρανθείς
πεπλασμένον· μὴ ἀληθές, ψεῦδος [64]
?πέπληγε· πέπληκται
πεπλεγμένον· (κε)κοσμημένον. ἐκτενισμένον [67—69]
πέπληται· κύει
πέπλον ἢ πέπλος (Z 90)· ἱμάτιον ἢ ἔνδυμα γυναικεῖον [72]
πεπνυμένοι· σώφρονες, συνετοί
πεπνυμένον στόμα· σεσωφρονισμένον. σιγηλόν [75. 76]
πέπνυται· συνετός ἐστι
πεποδήγημαι· δεδίδαγμαι. ὡδήγημαι [79—81]
πεποίθασιν· ἠλπίκασι. πιστεύουσι. θαρροῦσιν
πεποιθήσεις· θαρρήσεις. πιστεύσεις. ἐλπίσεις [84]

πεποιθίαν(?)· ἐλπίδα. προσδοκίαν
†πεποιθότατε· προσφιλέστατε. φίλε ⟨1492⟩ [87]
πεποίωται· †ὅπου τις ῥέπει
πεποιωμένον· ποιότητα ἔχον, ἢ περιδραξάμενον ⟨1479⟩ [90]
πέπομφα (Plat. epist. 2 p. 312 D)· ἔπεμψα
πέπον (E 109)· προσφιλέστατε, προσηνέστατε. ἔκλυτε, μαλακέ [93]
πεπορασμένος· φανερός ⟨1435⟩
πεπορεῖν (Pind. P. II 57)· δοῦναι ⟨3012⟩
πεπορθῆσθαι (Aesch. Ag. 591)· ἀπολωλέναι. συν(τε)τελέσθαι
πεπορπημένη· τῇ περόνῃ συνεχομένη
πέποσμαι (Cyprii)· ἀκήκοα
(πεπότημαι·) ἵπταμαι [1501]
πεπραδῖλαι· εἶδος ἰχθύων ⟨1506. 2065⟩
πεπρημένος· πεφυσημένος
?πεπράχαμεν (Ar. Ran. 302)· ἐπράξαμεν
?πεπράτορα· θαυμασία ⟨πρεπτά?⟩
πεπρίλος· ἰχθῦς ποιός [7—10]
πεπρυτανευκώς· ἐπιμεμηνιευκώς. καὶ προανηλωκώς
πέπτασθαι· ἀνεῷχθαι. περιέχειν [13]
πέπτει· πραΰνεται τὴν τροφήν
πεπτέον· φυλακτέον. †εὐρυτέον
πεπτήνας (Aeol.)· περιβλεψάμενος [17—20]
πεπυρακτωμένα· πεπωρωμένα
πέπυσμαι· ἀκήκοα. ἔμαθον, εἶδον (λ 504?)
πεπύσμεθα· ἠκούσαμεν. καὶ τὰ ὅμοια
πεπυσμένος (Plat. Symp. p. 179 E)· ἰδὼν καὶ τὰ ὅμοια [25]
†πεπωγμένον· κεκλασμένον [27]
πέπων· ἔκλυτος. ἀσθενής

COD. 43 πέπευστοι 45 πεπλαχομέναις 65 πέπληται ⟨an πεπλήαται· EM?⟩ 66 πεπληγμένον 70 πέπληκται (cf. πλείη) 74 σιγχλόν 75 πεπνι 83 πεποθήεις 97 |ιμένη 1500 ἤπταμαι 10 ζητεῖν 12 ἀνεώχθη 21 πεπυρωμένα (cf. μύδρος) 22 ἴδον

HES. 44 πέπανται (Γ 134)· πεπράϋ(ν)ται ⟨ad πεπέπανται⟩ 47 πεπείθοιμεν (Α 100)· πείσοιμεν 48 πεπείθουσα (Ο 26)· πείθουσα 53 πέπεισμαι (II Macc. IX 27 Rom. VIII 38)· ἤλπισα. θαρρῶ 54 πεπεμμένην (Levit. II 4)· ζυμωθεῖσαν, ἐν κλιβάνῳ γεναμένην 55 πεπένεται· μαλάσσεται. καὶ τὰ ὅμοια ⟨1424⟩ 58 πεπερημένος (Φ 58)· ὁ πεπερεσμένος 61 πεπλαγμένον (Z 268)· μεμολυσμένον ⟨1425⟩ 64 πέπλαται· ἤπλωται ⟨πεπτ—⟩ 67 πέπληγον (Ψ 363)· ἔτυπτον. ἐκρότουν 68 πεπληγυῖα (E 763)· πλήξασα 69 πεπληγώς (B 264)· πλήσσων 72 πεπνοιῶν· ἐνεργῶν, θεραπεύων ⟨ποιπνύων⟩ 75 πεπνυμένος (Γ 203)· φρόνιμος, συνετός (Call. L. P. 129) 76 πέπνυσαι (Ω 377)· συνετὸς εἶ 79 πεποιημένον· ποιότητα ἔχον ⟨1489⟩ 80 πεποίηται (Z 56)· πέπρακται 81 πέποιθας (IV Regg. XVIII 20)· θαρρεῖς 84 πεποίθῃς (Α 524)· θαρρήσῃς 87 πεποιθώς (Hom.)· ἐλπίσας. πιστεύσας 90 πεπόληστο (Υ 217)· ἔκτιστο 93 πέπονθα (ρ 284)· ἔπαθον 98 πεπορωμένοι· τετυφλωμένοι ⟨1529⟩ 99 πέποσθε (Γ 99)· πεπόνθατε 1501 πεποτ.ανται (B 90)· ἤπτανται 7 πεπρυμένοι· συνετοί ⟨πεπν—⟩ 8 πεπρωμένη· εἱμαρμένη ⟨1379⟩ 9 πεπρωμένον (Γ 309)· μεμωραμένον 10 πέπρωται· τετύπωται. ὥρισται. [τὸ εἱμαρμένον ζήτει] 13 πέπταται (ζ 45)· ἤπλωται ⟨1464⟩ 17 πεπτηώς (ξ 354)· δι' ἀσθένειαν καὶ δειλίαν πεπτωκώς 18 πεπ.υμένοι (Aesch. Suppl. 185)· μαθόντες, ἢ εἰδότες 19 πεπύθωνται (H 195)· ἀκούσωσιν. Ἀττικῶς 20 πεπυκασμένα (B 777)· ἐσκεπασμένα, περικεκαλυμμένα 25 πέπυστο (N 521)· ἠκηκόει 27 πέπωκα· ἔπια

πεπωρωμένοι· ἐσκληρωμένοι. τετυφλωμένοι (1498)
πέρα· πλέον. ἐπέκεινα. ὑπεράνω [31. 32]
περάγην· διέρρωγα. Ῥίνθων
περαίνει (Aesch. Suppl. 462)· ἐπὶ πέρας ἄγει. πληροῖ. ἀνύει
περαίνειν (Posidipp. p. 514)· ἐξανύειν. ἀποπληροῦν
πέραινον· οἱ Πυθαγορικοὶ τοὺς περι(τ)τοὺς ἀριθμούς
(περαιούμενοι· τελειούμενοι)
(περαιοῦσθαι· διαπερᾶν πλοίῳ ἐπιβάντα)
περαίτατον· πορρώτατον
περαιτέρω (c. c. Eur. Andr. 270)· πλείω ἔμπροσθεν. μετὰ τὸ τέλος ἄλλο
περαιωθῆναι· τελειωθῆναι
πέρα λόγου (Cratin. p. 60)· ὑπὲρ λόγον
πέρας· τὸ τέλος. καὶ ἡ λύσις. καὶ τὸ τῆς γῆς πέρας
περᾶσαι· διαβῆναι. ἀποδόσθαι ἐπὶ πέρατα τῆς γῆς, ἢ εἰς τὸ πέρας διελθεῖν [43]
πέρασας (Hom.)· εἰς τὸ πέρας τῆς θαλάσσης διεπέρασας, ἐπώλησας
περατ†εύει· ὁρίζει. †στέλλει. †λέγει
περατουμένην· ἐκπληρουμένην
Περγαία θεός· ἡ Ἄρτεμις
πέργαμα (Soph. Phil. 347 al.)
περγάμιον· δήμιον
(Πέργαμον·) ἡ ἀκρόπολις τῆς Ἰλίου
πέργουλον· ὀρνιθάριον †ἀργειλέγω (ἄγριον. Λάκωνες)
πέργουν· πρέσβ†εις. οἱ αὐτοί
Πέρδικος καπηλεῖον [ad 53] [54—58]
?περάτρια· ἡ παραγγέλλουσα τὴν ὥραν ταῖς κεκτημέναις [60. 61]
πέρι· περισσόν. περίεστι
περιαγαῖς· καμπαῖς
περιαγγέλλειν· τὸ [μὴ] συνάγειν ὄχλον ἐπὶ τὰς ἐκφορὰς τῶν τετελευτηκότων
περιάγει· περιφέρει. ἢ κάμπτει
περιάγνυται (Π 78)· περικλᾶται. συντρίβεται. περιέρχεται. περιηχεῖ
περιάγνυτο (Hesiod. Scut. 279)· περιεκλᾶτο. καὶ τὰ ὅμοια
περιαγόραιος· περίλογος. περιαγορευτής
περιαεῖς· περίρρυτοι. περίπνοοι
περιαθρεῖν· περισκοπεῖν
περιαίνυτο· περιελάμβανεν. περιεῖχεν
περίαλλος· τὸ ἰσχίον [ὅταν εἰλεῖν
περιαμησάμενος· θερίσας [74—76]
περιαυθαδίζεται· ἐν ὑπερηφανίᾳ ἀναστρέφεται, ἢ μεγαλοφρονεῖ
περιαυτίζεσθαι· τὸ ἐν αὐτῷ ἐνδιατρίβειν, ἢ ἀποδιδόναι ἑαυτῷ [79]
περὶ αὐτόν (Demosth. 23, 24)· πρὸς αὐτόν
περιβάλλειν· περιλαμβάνειν. πείθειν. στρέφειν. εἰδέναι
περιβάλλουσαν· ὁμοίως
περιβάλλεσθαι· ὑπερβάλλεσθαι
περίβαρα (Ar. Lys. 45)· ὑποδήματα
περιβαρίδες (Theopomp. com. p. 811)· ὑποδημάτων εἶδος γυναικεῖον ⟨—ίων⟩
Περιβασώ (Argivi)· ἡ Ἀφροδίτη
περιβεβυσμένος· περιπεφραγμένος
περιβῆναι (Ε 21)· πεπτωκότος ὑπερασπίσαι, ὑπερμαχῆσαι [89]
περιβλέπεται· περισκοπεῖ
περίβλεπτος (Herc. fur. 508)· ἔξοχος [ad 91]
περιβόητος (non Soph. OT. 191)· ἐπὶ κακοῦ ἢ ἀγαθοῦ φήμην ἔχων
(περίβοιος· ὑπέρτιμος)
περιβολή· †περιδέρματος
περίβολοι· τείχη πόλεων, ἢ περίδρομοι [95. 96]
περιγηθής· περιχαρής [98]

COD. 33 περάγειν, διερρωγέρειν θῶ˘ 34 πληρεῖ 36 περὶ (cf. βωμίσκοι) 37. 38 περρ— 40 cf. οὐχυπέρα λόγου 45 ὀργίζει (Forte περατοῖ· ὁ. τελεῖ) 47. 48. 49 = 49. 48. 47 47 περγέα — ἡ 48 πέργαμας 49b post 1548 50 περγοῦλον, cf. σπέργουλος 51 cf. σπέργυς 52 καὶ πηλός 63 περιαγχάμψαις (cf. Phot. 414, 15) 66 περιάγνοιται 67 περιάγνοιτο 68 |ορίος 69 περιαδεῖς (cf. εὐαδεῖς) 73 |χάμενος 74 περιαπατῶν 75 ᾠδίς 76 περιαπτάω, περιαματάω 93 περιβ. περίβοιος. περιδ. ὑπερτ.

HES. 31 περάαν (Β 613)· διαπερᾶν 32 Περαιβοί (Β 749)· ἔθνος Θεσσαλικόν (Thuc. IV 78) 43 πέρατα (gl. Psalm.)· τὰ τέλη Ad 53 χωλὸς κάπηλος ὁ Πέρδιξ ἦν. ἔνθεν ἔνιοι τὴν παροιμίαν φασὶ διαδοθῆναι .... (append. prov. IV 56) 54 περιδώμεθα (Ψ 483)· συνθήκην παράσχωμεν 55 περεούμενοι· τελειούμενοι ⟨περαι—⟩ 56 περεοῦσθαι· διαπερᾶν πλοίῳ ἐπιβάντα ⟨περαι—⟩ 57 περέτισαν (Ι 110)· ἐτίμησαν 58 περ(ῆ)σαι (Μ 53)· διαπερᾶσαι 60 πέρθαι (Π 708)· πορθηθῆναι 61 πέρθετο (Μ 15)· ἐπορθεῖτο 74 περιαυμάτων (schol. Greg. Naz.)· περιάπτων (amuleta) 75 περιάοιδος ⟨περίοδος⟩· ἡ ἐγκύκλιος ᾠδή 76 περίαπτα· περιάμματα (1574) 79 περιαυτίζεται (Cyrill. c. Iul. p. 100 D)· μεγαλοφρονεῖ 89 περίβησαν (Ξ 424)· ὑπερήσπισαν. καὶ τὰ ὅμοια Ad 91 περιβόητος 95 περιβομβεῖσθαι (Greg. Naz. or. XXXIII vol. I p. 529 D)· περιηχεῖσθαι 96 πέρι γάρ (Hom.)· περισσῶς γάρ 98 περίγειος· πρὸς τὴν γῆν

περιγίνεται· †περιοικεῖ. περιττεύει (Aristoph. Phot. 415, 18) [1600]
περιγλαγές· περίπλεω(ν) γάλακτος
περιγράφει· περιγίνεται ⟨1645⟩· [ad 2] ἢ χωρεῖ. ἢ συλλαμβάνεται. †ἢ ἐν ἀγρῷ ἐστι
περιγραφήν· περιαίρεσιν τοῦ πράγματος
περίγραφον· οἱ δανείζοντες τοῖς μὴ ἀποδιδοῦσι τὸ ἀργύριον περιέγραφον, καὶ οὐχ ὑπερέβαινον ἕως †λύτουν
περιγυρίδας· περιφερείας [6]
περιδαρδάπτεσθαι· κατεσθίεσθαι
περιδαρδάπτειν· κατεσθίειν [9]
περιδεής (Herod. VII 15)· περίφοβος
περιδείδιθι· φοβοῦ
περιδεινεῖσθαι· περικινεῖσθαι. περιπορεύεσθαι. περιστρέφεσθαι. περιέρχεσθαι [13]
περιδεινήσεως· περιόδου. καὶ τὰ ὅμοια
περιδεινηταί· περικινηταί. καὶ τὰ ὅμοια
περίδεινον (Plat. Legg. 777 C)· πειρατήν
†περιδεινός· περιπαθής
περιδεινοῦσι· περιστρέφουσιν
περιδεινοῦντα· περιοδεύοντα
περίδειρον· τὸ κατώτατον τῆς περιγραφῆς τοῦ τραχήλου (Poll. II 135) [21]
περιδεῖσθαι· συντείνεσθαι [23]
περιδέξιον· φρόνιμον. ὀρθόν, μηδὲν ἀριστερὸν ἔχον. καὶ οἱ μὲν περισσῶς δεξιὸν περὶ τὴν τοῦ δέρατος βυλήν οἱ δὲ ἀμφοτέραις ταῖς χερσὶν ὡς τῇ δεξιᾷ βάλλων (Apoll. lex.) [25]
περιδέραια (Aristoph. p. 1078)· περιτραχήλια. ἢ ἐνώτια [27]
περιδευκές· περισσῶς πεποικιλμένον
περιδεῶν· ἐμφόβων
περίδηλον· περιφανές. καλόν [31]
περίδοσιν· συνθήκην
περιδοῦ (Diphil. fr. XLIX)· σύνθου. τοῦτο δὲ παραβάλλεσθαι λέγουσιν, ἢ συνθήκης θέσιν [34]
περίδρομος· τοῦ δικτύου τὸ διειρόμενον σχοινίον (Xen. Cyn. II 5 X 7)· διὰ τὸ καὶ κάτω βρόχοις ...... καὶ πάντῃ περιεχόμενος τόπος (§ 7) [ad 35]
περίδρομον τείχους (Plat. Critia 116 B)· τοῦ περιβεβλημένου τείχους κύκλον [37]
περιδύεται· περιβάλλεται. κρύπτεται. εἰσδύεται
περιδῦσαι· περιδύνασαι ⟨1631⟩ [40—42]
περιδώσομαι (ψ 78)· συνθηκοποιήσομαι
περιεβάλοντο (Herod. VII 191)· ἐκύκλωσαν
περι(έ)γραψε· περιεγένετο ⟨1602⟩
περιεδίνει· περιεκύκλευεν [47]
περιεζόμενον· περιεχόμενον
περιέθει· περιέτρεχεν
περιειλημμένως· περιεκτικῶς
περιείληπτο· περιεγέγραπτο. ἢ ἐκεκράτητο. ἐκ τοῦ περιλαμβάνεσθαι
περιεῖναι (Plat. Civ. 416 E)· περιττεύειν
περιεῖπεν (Herod. I 73 Xen. Mem. II 9, 5)· ἐτημέλει
περιείργασμαι (Dem. 248, 25)· περιττὸν ἐποίησα[ν]
περιεχωκύετο· περιηχεῖτο
περιεκτικόν· τὸ περιέχον. ἤτοι γενικόν. ἢ περιληπτικόν· ἐκ τοῦ περιβάλλειν [ad 56]
περιεκτικώταται· ὁμοίως
περιεκτικώτερον· γενικώτερον [59. 60]
περιελιχμήσατο· τῇ γλώττῃ (ἢ) σπογγιᾷ ἐκάθηρεν
περὶ ἐμέ· πρός με

COD. 1600 μευαλ| 2 ἢ — ἐστι post 1603 ⟨περιναιετᾷ περιοικεῖ, ἢ ἐν ἀγρῷ ἐστι. περιγίνεται· ἢ χωρεῖ. ἢ συλλαμβάνεται e. c. lucrum redundat⟩ 11 |ηθι 12 |ίνεσθαι 24 περιδέζιον —δεξιῶς περὶ 26 περιδέρεα 33 θέστες 35 |οι — δεικτύου — δειρόμενον — περιεχόμενοι τόποις περιδρόμους — περὶ τοὺς βεβλημένους τοίχους κύκλῳ
ε λλ
41 πδύω 43. 44 = 44. 43 περιβάλλων 46 περιέδεινε 49 περιέθεε Cyr. 53 ἐτι με 54 ποιητὸν ἐπ| cf. περιεργάσαι 55 περιεχόχυτο 57 ὁμοίαι 61 σπόγγει καὶ καθῆρεν

HES. 1600 περιγλαγέας (Π 642)· γεγαλακτωμένας Ad 2 περιαίρεσιν τοῦ πράγματος 6 περὶ δ' ἄλλων (Δ 375)· ὑπὲρ τοὺς ἄλλους 9 περιδρύφθη (Ψ 395)· περιέξεστι 13 περιδεινηθήτην (Χ 165)· περιεστρέφοντο. ὅμοιον 21 (περιδείσασα Ο 123)· περισσῶς δείσασα, περισσῶς εὐλαβηθεῖσα 23 περὶ κλησίον θεέ πάντη (ω 207)· περιετετείχιστο δὲ κλήσιον, κύκλῳ περιβέβλετο καὶ παρέκειτο κλίσιον, διὰ τὸ ἐν κύκλῳ κρηπίδωμα βαθροειδὲς ἔχειν 25 περιπνοή (Ε 697)· ἡ πνοὴ δὲ τοῦ βορρᾶ 27 περὶ δ' ἐστέ (Δ 258)· ὑπερέχετε δέ. ἢ ὑπάρχεται ἢ κρατεῖται 31 περιδῆσαι· περιδύνασθαι ⟨περιδῦσαι· περιδύνασαι⟩ 34 περὶ δουρί (Λ 303)· περὶ τῷ δόρατι Ad 35 περιφερεῖς, στρογγύλοι (Ε 726) 37 περιδρύφῃ· περιξέῃ ⟨1609⟩ 40 περίδυσο (Λ 100)· ἀπέδυσο 41 περιδύω· ὅμοιον 42 περιδώμεθα (Ψ 473 Greg. Naz. C. II 518)· συνθώμεθα 47 περιεδρύφθη (Ψ 395)· περιεξέστη ⟨1609. 1637⟩ Ad 56 ἢ ὑπερέχον 59 περίελαι (Prov. IV 24 Ps. CXVIII 22)· κόψον. ἆρον. ἀφελοῦ 60 περιελόμενος (Genes. XLI 42)· ἐπάρας

περιέπει· περιέρχεται. περιεργάζεται. φυλάττει. θεραπεύει [64]

περιεπτισμένη· περιεξεσμένη. περικεκαθαρμένη (cf. Ar. Ach. 506)

περιέπων· ἐνεργῶν

περιεργάσει (Dem. 248, 25)· πράξει(ς) περισσά

περίεργον· περιττόν. ἢ στρεβλόν [69]

περιερέττων· κωπηλατῶν (1674)

περιέσομαι (Plat. Alcib. I p. 119 C)· περιγενήσομαι, κρατήσω, νικήσω, κατισχύσω

(περιεσόμενοι)· μέλλοντες περιγενέσθαι

περιεσπάσθη· ἐσείσθη. †περιδέδεται [73. 74]

περιέσται· περιγενή(σε)ται. νικήσει

περιεστήξει· περισταθήσεται [ad 76]

περιεστοιχισμένοι· οἱ περιέχοντες. καὶ περιεχόμενοι

περιετέμοντο· περιήλασαν (cf. περιτα—)

περιετίθουν· ἐκρέμων

περιέτυχον (Thuc. VIII 23 schol.)· συνέτυχον [81]

περιέφραξαν· ἐσκέπασαν. ἐφύλαξαν

περιέχομαί σου· ἀντιποιοῦμαί σου [84]

περιέχοντες· περιλαβόντες. καὶ τὰ ὅμοια

περίζυξ (Eupol. fr. LXXXVIII)· ὁμόζυγος, σύζυγος

περιηγές (Call. Apoll. 59)· κυκλοτερές, περιφερές

?περιήγει· ἐζωγράφει

περιήγητος (Antiph. com. p. 84)· ὁ περιπόρφυρος χιτών

περιηγμένα· περιφερόμενα

περιῄεσαν (Xen. Hell. IV 5, 10)· περιήρχοντο

περιήθελεν· ἠγάπα [93]

περιηθέλησεν· ἠγάπησεν

περιήκασε· περιώρυξεν. περιέγραψεν

........· περιέγραψαν. ὤρυξαν

περιήκοντα· ......

περιήλυσις (Herod. II 131)· περίοδος

περιημεκτεῖ (Herod.)· ἀγανακτεῖ, ἀνιᾶται, δυσκολαίνει

περιῆν· ὑπῆρχεν. ἐπλεόναζεν

περιῃρημένον (cf. Thuc. III 11)· κεκομμένον

περιῆρον· περιῄεσαν [1702]

περιηχήθη· περιεψιθυρίσθη [4]

περιθείς· κύκλῳ θείς, περισσότερον [ad 5] [6]

περιθειῶσαι (Menand. com. p. 104)· περικαθᾶραι, κυρίως θείῳ

περιθέσθαι· περιποιήσασθαι. προσλαβέσθαι. κύκλῳ θεῖναι

Περιθοῖδαι· δῆμος φυλῆς τῆς Οἰνηΐδος

περιθραυσθέντα· περιπεσόντα. ῥαγέντα

περιθρεκτέον (Plat. Pheaet. p. 160 E)· περιδραμητέον

περιθυρεῖν· τὸ ἐπὶ ταῖς θύραις ἵστασθαι [13]

περιϊόντας· περιερχομένους

περιϊππεύοντας· περιτρέχοντας [16]

περιϊστάμενος· κυκλεύσας [18. 19]

περιϊών (Ar. fr. inc. LIII)· περιερχόμενος [21—24]

περικάμπτεται· †περικιρεῖται [26]

περικάρδιος ὑμήν· ὁ ἐπὶ τῇ καρδίᾳ (Poll. II 217)

περικάρπιον· τὸ λέπυρον, σκέπασμα

περικεφαλαία· ἡ ἐκ τριχῶν γεγονυῖα περιθετή. καὶ μέρος τι τῆς νεώς. ἢ κάσ(σ)ις

περικέχυται· περιείληφεν

περικήδεο· φείδου φροντίζων

περίκηλα (ε 240 σ 308)· περισσῶς ξηρά. τὰ περικεκαυμένα. περιεσχισμένα [33]

περικλύτῳ· σφόδρα ἐνδόξῳ

COD. 65 περιεπτησμένη 67 |άσσει 71 περίσσομαι — ἢ μελλ| 79 ἐκρέμουν 92 ἀγάπη 97 περίλησις 1705 κυκλωθείς 8 κυκλωθῆναι 28 |πιος (Aristot. gen. anim. IV 4) 29 περιθετικὸν μέρος 32 ξηρᾶται (cf. εὔκηλον)

HES. 64 περιέπειραν (I Timoth. VI 10)· ἔπηξαν 69 περιερεία· καθαρσία ⟨περίστια· καθάρσια⟩ 73 περιεσκεμμένος (Greg. Nyss. II 43 C)· ἠκριβωμένος 74 περιέσσων· κωπηλατῶν ⟨1670⟩ Ad 76 περιφράξει, ἢ περικυκλώσει ⟨ad περιστείξει⟩ 81 περιευτίζεσθαι· ἀποδοῦναι αὐτῷ (1578) 84 περίζωμα (Ierem. XIII 1)· περιβόλαιον 93 πε-
π,
ριήθλουν· ἀγα 1702 περιήσω· περιδώσω ⟨προήσω· προδ—⟩ 4 περιθείης (Δ 386)·
θ
μα πειραθείς Ad 5 λαβεῖς (paraphr. Δ 386) 6 περὶ θεόν· πρὸς θεόν 13 περιίδμεναι (Ν 728)· περισσῶς εἰδέναι 16 περι.ίσσεται ὥρας (Eur. Alc 449)· περιέρχεται τὰς ὥρας 18 περιΐστασο (II Tim. II 16)· κύκλευσον. σκόπησον. περίφευγε. ἀνάτρεπε 19 περιστοιχείωσαι· περίελθε 21 περικάθαρμα (Prov. XXI 18) 22 περικαθαίρων (Deuter. XVIII 10)· ἀναλύων τὸν πεφαρμακευμένον, ἢ τὸν γεγοητευμένον 23 περικαλλές (Δ 632)· λίαν καλόν 24 περικαλλέος (Δ 603)· περισσῶς καλοῦ 26 περὶ καπνῷ (Δ 317)· περὶ τὸν καπνόν 33 περὶ κῆρι (Δ 46)· κατὰ ψυχήν

περικληζόμενος· δοξαζόμενος λίαν

Περικλύμενος· ὁ Πλούτων. καὶ πόα, ἡ καὶ κυκλάμινος

περικλυτός (Α 607 al.)· ἔνδοξος, περισσῶς καὶ λίαν ὀνομασμένος διὰ τὴν τέχνην

περικνημίς· σκεπαστήριον τῆς κνήμης

περικόπται· κλῶπες. λῃσταί

περίκουροι· οἱ ἐκ τοῦ κυκλωθῆναι ἁλισκόμενοι ἐν ταῖς μάχαις

περικτίονες (Herod. VII 148)· περίοικοι, γείτονες, πέριξ οἰκοῦντες [42]

περίκυκλον· ἵνα ὑπερεφῆ [44]

περικωδωνίσαι· (περιβομβῆσαι)

(περικωνῆσαι·) περιρρομβῆσαι. περιαγαγεῖν Λάκωνες. σπογγίσαι. ἢ περιπισσῶσαι (Ar. Vesp. 600 fr. XXXV p. 1157)

περιλαβεῖν· περιβαλεῖν. καὶ τὰ ὅμοια

περιλέγειν (Hermipp. p. 416)· τὰ περισσὰ φράζειν

περιλεγνές· περιποίκιλον

περιλεσχήνευτος (Herod. II 135)· περιβόητος. περιλάλητος

περιληπτικόν· ἐφαπτόμενον

περιλῆσαι· περι(σ)τρέψαι

περιλιχμήσασα· περιλείξασα

περιλυγίζεσθαι· περιστ(ρ)έφεσθαι

περιμάχητον· ὑψηλόν, μέγα, ἰσχυρόν

περὶ μέν (Α 258)· περισσῶς μέν [57]

περίμετρον (β 95)· ὑπέρμετρον, μέγα. τινὲς δὲ εὔκυκλον [59. 60]

περιμήκετος· ὑψηλός. ὑπέρμηκος. ἢ περισσῶς μακρὰν καὶ ὑψηλὴν (Ξ 287)·

εἰς ἐλάτην ἀναβὰς περιμήκετον [62]

περίνα (πηρῖνα)· περίναιον. τὸ αἰδοῖον. ἀφ' οὗ καὶ τὸ περαίνεσθαι [64]

περίνεως· ὁ δεύτερος ἱστός. καὶ καθάπαξ τὰ διττὰ τῆς νεὼς σκεύη

περίνησα (Menand. p. 94)· τὰ περιβόλαια, οἷς ἐν κύκλῳ πορφύρα παράκειται

περίνησον· ἱμάτιον ἔχον πορφύραν κύκλῳ

περινοεῖ· περισσῶς νοεῖ

περίνοια· μηχανή. τέχνη

περινομαί (Menand. fr. CCCXXI)· περιφοραί

†περίνος· τὸ αἰδοῖον. οἱ δὲ τὸν καυλόν (Poll. II 173), ἢ τὸ τῶν διδύμων δέρμα, ἤγουν ὁ ταῦρος

περινοστεῖ (Plat. Civ. VIII p. 558 A)· περιέρχεται

περινοστήσαντες· περιελθόντες, κυκλεύσαντες. ἢ ἐξιόντες

περινοστοῦντι· περιστρεφομένῳ [75]

περίοδος· τὸ ἐκ διαλειμμάτων ἐπιπεσὸν ὄνομα. ἢ χρόνος. ἢ κύκλος. ἢ ἡ ἐν λόγοις, καὶ ἡ τῆς γῆς περιήγησις (Herod. V 49). καὶ ἡ τάξις τῶν αἰώνων. καὶ ἡ παρὰ τοῖς ἰατροῖς. καὶ ἡ ᾠδή ⟨1675⟩. καὶ μέτρον τι τῶν μετάλλων (Poll. VII 99 X 149)

περιόδων· χρόνων. κύκλων

περιόδῳ· κυκλώσει

περιοίκιον· ὁ περὶ τὴν πόλιν ἢ τὴν ἔπαυλιν τόπος. τινὲς δὲ περίβολον

περιοίσει· ἀνοίσει ἐκ τῆς νόσου

περιοκωχή· (περιοχή) [82]

περίοπτον· ἐπιφανῆ, πολυθέατον, περίβλεπτον

περιορᾶν· ὑπερορᾶν

περιόρια ⟨terminalia⟩· ἑορτὴ ἐν Κύπρῳ

περιοργῶς (Aesch. Ag. 201)· ὑπεροργόντως. καὶ παρωρμημένως

περιοριζόμενοι· περιεχόμενοι. γινωσκόμενοι. ἐξολισθαίνοντες ⟨relegati⟩

περιορίσαι· περινοῆσαι

περιορισθῆναι· γνωρισθῆναι. ἐξορισθῆναι

περιοριστόν· περιγραπτόν

περιουσία (Thuc. I 1)· πορισμός. πλῆθος [92]

περιούσιον· πολύ, περισσόν. περιποιητόν (Tit. II 14 ?)

περιούσιος· πλούσιος. πολύς

περιοχή· περιπέτεια. καὶ ὑπόθεσις. καὶ φυλακή. καὶ ἡ [ad 95] πολιορκία [96]

COD. 35 περικλυ| δορα| 36 περίκλυμος· ὁ πλουτῶν — κυκλάμενος 38 |κνημῆς 39 περικοῖται, κλωπαί, λῃστεῖαι 45 περικωδωνῆσαι, περιρομβῆσαι. περιαγαγεῖν ..... Λάκωνες ⟨ε 1841⟩ 50 περιλεσχηνευτός, περιποιητός 52 περιειλῆσαι 53 περιλήξασα 61 περιμεμήκετον 63 περίνεον 65 ὁδεύεται 66 περινήσσαια, π| 65. 66 = 66. 65 67 περινῆσον 70 περινομαία, προφορά ⟨71 L. περίνεος⟩ 80 ἀνήσει — νήσου 81 περιωπή 85 περιορία 86 περιόργως 87 ἐξωλισθένοντες

HES. 42 περικτιόνεσ(σ)ι (Σ 212)· περιοίκοις 44 περὶ κῶμα (Ε 359)· κοίμημα 57 περιμέφασθαι (Ι 100)· διαφερόντως λέγειν 59 περιμήκεος (Ν 63)· μακροτάτου 60 περίμηκες (ν 183)· ὑπερμέγεθες 62 περιμήκεϊ ῥάβδῳ (κ 293)· ἁλιευτικῷ καλάμῳ 64 περινάμενα (Σ 292)· πιπρασκόμενα 75 πέριξ (Act. Ap. V 16)· κύκλῳ 82 περιωπή (Ξ 8 Greg. Naz.)· ἀκρωτήρια. ὕψος. τόπος ὑψηλός 92 περιουσιασμοῦ (LXX)· πλήθους Ad 95 [περὶ πάντων] 96 περιοχῆς (Ps. XXX 21)· τετειχισμένης

περιόψεται (Plat. Legg. 744 E)· καταφρονήσει

(περιπαθής·) διαπονηθείς

περιπαθῶς· συμπαθητικῶς. λυπηρῶς

περιπαλαχθῆναι· περιπλαχῆναι [1800]

περίπατοι· αἱ ἱστορίαι καὶ οἱ λόγοι. ἢ τόποι διακινήσεων

περὶ πέζαν· τὰ περὶ τοὺς πόδας

περιπεζία· ταπείνωσις

περιπείρῃ· περικεντήσῃ

περιπεπήδηκα· περιπεπόληκα

περιπέπλιγμαι· ...... [6]

περιπεπλιγμένα (Straltid. fr. V p. 788)· περιπεπλεγμένα τοῖς σκέλεσιν. οἱ γὰρ ἀλεῖπται τὸ βῆμα πλίγμα λέγουσιν

περιπεπλίχθαι· διηλλαχέναι τὰ σκέλη ασχημόνως

περίπεπτον· τὸ περιπεπεμμένον

περιπετάσας· περι(α)πλώσας

περιπέτεια (Aristot. poet. c. 6)· ὑπόθεσις. σύμπτωσις. σύμβασις

περιπετεῖς· περιε[ρ]χόμενοι. ἐναντίοι. ἢ προπετεῖς. ἢ περιπεσόντες

περιπετρίζεσθαι· περικρούεσθαι [14]

περιπευκές (Λ 844) [ad 15]· περισσῶς πικρόν, διὰ τὸ χρίεσθαι· πικρὰ γὰρ ἡ πεύκη [16]

περιπηγής (cf. Nic. Al. 107)· περιπαγεῖς, ἐμπαγεῖς

[ad 18] περιπλίγδην· περιβάδην

περιπλίξ· περιειληφώς [20. 21]

περίπλους· περιόδους

περὶ πόδα (Plat. com. p. 660. 687)· οὕτως ἐκάλουν τὸ ἁρμόζον· μεταφέροντες ἀπὸ τῶν συμμέτρων τοῖς ποσὶν ὑποδημάτων. ἢ ἀκριβῶς

περὶ ποδός· ἀντὶ τοῦ ἁρμόζον. καὶ περὶ πόδα· τὸ ἡρμοσμένον, ἀπὸ τῶν ὑποδημάτων

περιποιεῖται· προξενεῖ [ad 25]

περιποίησις· πλεονασμός, κτῆσις

περιποιητικός· διοικητής

περιπολεῖ (Plat. Phaedr. 246 B)· περιοδεύει, περιέρχεται, περιέπει, ἀναστρέφεται, περιπολεύει, κυκλεύει. καὶ τὰ ὅμοια

περίπολος (Eupol. fr. LVI al.)· φρουρός, ἔφορος

περὶ πολλοῦ ποιοῦ (cf. Herod. I 73)· τίμα, θεράπευε (1992)

περιπόνηρος Ἀρτέμων (Anacr. fr. XIX Ar. Ach. 850)· παρὰ τὴν παροιμίαν τὴν περιφόρητος Ἀρτέμων. εἰσὶ δὲ Ἀρτέμωνες δύο

περιππεύει (Aeol.)· ἀφίησιν αὐτοὺς καὶ ἄλλῃ ὁδεύει

περιπρωκτιῶσα (Com. an. fr. CLXIX)· τρυφερευομένη ἐπὶ τῇ πυγῇ

περιπτύσσομαι· καταφιλῶ [35—37]

περιπτυχαί (Eur. Phoen. 1357)· περίβολοι [39]

(περιπυγής· πόρνος, μάχλος) cf. 1816

περίπυστα· διαβόητα

περιραίνεσθαι. περιραντίζεσθαι. ῥαντίζεσθαι (LXX?)

περιρέζειν· τὸ ἐπὶ τοῖς καθαρσίοις θύειν

†περιρεμβαῦσαι· περιφθαρῆναι [44. 45]

περιρρηδής (χ 84)· περικεκλασμένος. περιστροβηθείς. οἱ δὲ περιερριμμένος. ἢ ὑπτιασμένος [47]

περὶ σέ· περὶ σοῦ, ἐγγύς σου, γνησίως διάκειμαι [49]

περισείρια· τὰ πλάγια τῆς γλώττης (Poll. II 107)

περίσημον· διαβόητον

περισκαίρουσι (cf. Nonn. Ioann. X 9)· περισκαρίζουσι

περισκελές (Hippocr. 664, 20)· σκληρόν, δυσχερές. ἢ μέχρι τῶν ποδῶν

†πωλία· χαλκοῦν πῆγμά τι. φέρει δὲ ἐπὶ τῶν ὤμων τὰς τῶν Λευκιππίδων πώλους. δύο δὲ εἶναι παρθένους φασίν

πωλικοῖς διώγμασι (Eur. Andr. 972)· τοῖς διὰ τῶν ἁρμάτων διώγμασι

πωλοδαμ(ν)εῖν (Soph. Ai. 549)· πῶλον δαμάζειν

πωλοδάμνης (cf. Eur. Rhes. 187 Xen. eq. II 1)· πώλους δαμάζων

πῶλος (Eubul.)· ἑταίρα. πώλους γὰρ αὐτὰς ἔλεγον, οἷον Ἀφροδίτης. πώλους (Cratin. p. 69) τοὺς νέους, καὶ τὰς νέας, καὶ παρθένους

πωλούμενοι· συνερχόμενοι ⟨4493⟩ [4502]

πῶμα (Eur. Ion. 1212)· ἔκπωμα

πώμαλα (Aristoph. local. fr. III)· ἀντὶ τοῦ οὔ, οὐ μάλα, οὐδαμῶς. καὶ πόθεν, ὅπερ ἐστὶν πάλιν οὐδαμῶς

πῶ μοι ⟨4487⟩· ποῦ μοι. οἷον ποῦ γάρ

†πῶννα ⟨2989. 90⟩· γραφίον [ad 6]

†πῶπαι· φοραί. Δωριεῖς [8]

πωρεῖν (Elei)· κηδεύειν, πενθεῖν ⟨4153⟩

πωρῆσαι· λυπῆσαι. καὶ τὰ ὅμοια

πωρητύς (Antimach.)· ταλαιπωρία, πένθος

πώρινον (Herod. V 62)· λίθινον. ὁ δὲ πῶ(ρο)ς οὐ πᾶς λίθος

πῶρος· ὁ ταλαίπωρος [14]

†πῶς· πός. ὑπὸ Δωριέων [16—23]

πῶϋξ· ποιὸς ὄρνις. ὁ Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων (IX 18)

Ρ

Ῥά· δή. σύνδεσμος (Β 1)·

ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες

καὶ παρὰ ἰατροῖς ῥιζίον τι ⟨ῥᾶ⟩

ῥάας· ῥεύματα ⟨Cyrill. Voss.⟩

ῥαβάττειν· ἄνω καὶ κάτω βαδίζειν. τινὲς δὲ τύπτειν, καὶ ψόφον ποιεῖν [ad 3] τοῖς ποσί, καὶ ῥάσσειν [4]

ῥάβδοι· καὶ τὸ σύνηθες καὶ ἡ διάφυσις τῆς γῆς, ὡσεὶ φλέβες (Theophr. CP. IV 13 XII 6). καὶ ὀβελοὶ δὲ οἱ παρατιθέμενοι τοῖς Ὁμήρου στίχοις. καὶ οἱ τῶν φοινίκων κλῶνες (Theophr. HP. II 2, 2)

ῥαβδοφόροι· ῥαβδοῦχοι. καὶ ὁ βραβευτὴς ῥαβδονόμος

COD. 84 πιτία οἷον πιπτιοῦσα — πίπτειν 84 ἢ .... πηγνύων] post 86 86 λάγυνες — ταῦτα 88 cf. πωπολία 95 πωλῆται 4513 πωρός Suidas ⟨15 πός· πούς?⟩ Ρ 1 μὲν ῥὰ — ἰητροῖς 5 περιτιθέμενοι 6 καὶ .... [νόμος] post 5

HES. 85 πίτυλος· ἡ συστροφὴ τῆς χειρός, ὅταν πυκνῶς ἐπιφέρηται. δηλοῖ δὲ καὶ τὴν εἰρεσίαν, καὶ τὴν τῶν πυκτῶν ἑκατέρας χειρὸς συνέχειαν Ad 89 ποίμνια (Λ 677) 91 πωλέσκετο (Α 490)· ανεστρέφετο. εὑρίσκετο 93 πωλεύμενοι (β 55)· συνιόντες 94 πωλήσεαι (Ε 350)· φοιτήσεις, παραγενήσεις, ἀναστρέψεις 4502 πωλοεῖσθε· ἐπιμελῶς ὁ πολλάκις φοιτῶν Ad 6 λύπη ⟨4510⟩ 8 πωπολία· ἡ ἀναφορὰ τοῦ πυρός ⟨4488⟩ 14 πώρωσις (Rom. XI 25)· ἐξ ὀστέων σύμφυσις καὶ σύνδεσμος λέγει τόδε ⟨L. λέγεται. τὸ δὲ⟩ ἐπὶ σαρκῶν πώρως ⟨πῶρος⟩ καὶ ἀναισθησία 16 πωσαχῶς· ποσαπλῶς 17 πῶς τ' ἄρ' (γ 22)· πῶς δέ 18 πῶς τ' ἄρ τοι (Α 123)· πῶς δή σοι 19 πῶς κεν ἔοι (Ξ 333)· πῶς ἂν γένοιτο 20 πωτᾶσθαι· πέτασθαι ⟨πότ—⟩ 21 πωτώμεναι (Ar. Pac. 830)· διατρίβουσαι. διακινοῦσαι ⟨ποτ—⟩ 22 πωτῶνται (Β 462)· πέτωνται πῶϋ (Γ 198 al.)· ποίμνιον, ἢ ποίμνη Ρ Ad 3 καὶ φράσειν 4 ῥάβδιδα· τὰ διδασκαλεῖα

ῥάγα· ἀκμή. βία, ὁρμή (Hippocr. 233, 43?). καὶ ἣν ἡμεῖς ῥᾶγα θηλυκῶς, Ἀττικοὶ ῥᾶγα (Plat. Legg. VIII p. 845 A) [8]

†ῥάγανον· ῥάδιον. Θούριοι

ῥαγάς· πήλυξ, ἡ σταφυλίς, ῥωγάς [11]

ῥαγδαῖον (Comici)· τὸ ὀξύ, ὁρμῆς μεστόν, ἢ ἄθρουν, σφοδρόν, ἰσχυρόν, φοβερόν, σκληρόν [13]

Ῥαδαμάνθυος ὅρκος (Cratin.)· τὸν ἐπὶ χηνὶ καὶ κυνὶ καὶ τοῖς τοιούτοις ὅρκον

ῥαδαμεῖ· βλαστάνει [16]

ῥάδαμον (Nic. Al. 92)· καυλόν, βλαστόν

ῥαδανᾶται· πλανᾶται ⟨113⟩

ῥαδάνη· κρόκη. ὁμοίως ῥοδάνη

ῥαδανίζεται· τινάσσεται ⟨cf. βραδ—⟩ [21]

ῥαδανῶροι· οἱ τῶν λαχάνων κηπουροί. Ταραντῖνοι ⟨145⟩ [23]

ῥάδια· εὔκολα, εὐχερῆ

ῥάδια (Pherecr. fr. LXXVI)· ὑπόδημα ποιόν· οἱ δὲ σανδάλιον ⟨60. 395⟩ [26]

ῥαδινόν (Σ 576)· λεπτόν, ἰσχνόν. εὐκίνητον. ἁπαλόν. εὐδιάσειστον

ῥᾳδιουργεῖ· ῥᾳδίως ποιεῖ. κακοποιεῖ, δεινοποιεῖ

ῥᾳδιουργός· πλαστογράφος, ἢ ταχυγράφος, πονηρός, μηχανουργός, πολυμήχανος

ῥᾳδίως· εὐκόλως, εὐχερῶς [31. 32]

ῥάζειν (Cratin. Hermipp.)· τρώγειν. κυρίως ἐπὶ τῶν κυνῶν· μιμητικῶς ἐπὶ τοῦ ⟨ποιοῦ⟩ ἤχου

ῥάθαγος· τάραχος, ἦχος, θόρυβος, ψόφος

†ῥαθάμη· ῥαστώνη, ῥᾳθυμία

ῥαθαίνεται· ῥαίνεται, βρέχεται

ῥαθάμιγγες (Λ 536)· ῥανίδες, σταγόνες. καὶ ὁ ἀπὸ τῶν ἵππων κονιορτός (Ψ 502). ἄλλοι †ῥαθάμιγγες λέγουσι

ῥαθαπυγίζειν (Ar. Eqq. 806)· ὃ τινες σκομβρίζειν. τὸ τῷ σκέλους πλάτει παίειν κατὰ τῶν ἰσχίων, τὸ εἰς τὸν γλουτὸν σιμῷ ποδὶ τύπτειν

ῥαθασσόμενοι· ῥαινόμενοι. πληττόμενοι

ῥαθμίζεσθαι· ῥαίνεσθαι

ῥᾳθυμία· ἀμέλεια, κατήφεια. ἀνοχή

ῥάθυμος· ὁ μὴ πονητικός [ad 42] [43—45]

ῥᾷ (Soph. fr. 978 Ion. fr. 66)· ῥᾷστον, ῥᾳδίως

†ῥαιβίας· ἀζήμιος δῆμος ⟨97⟩

ῥαιβόν (Archiloch. fr. 60, 4)· ἐπικαμπές, τὸ μὴ ὀρθόν, καμπύλον, στρεβλόν, σκαμβόν [49]

ῥάιδια· σανδάλια. οἱ δὲ ὑποδήματα γυναικεῖα ⟨25⟩ [51. 52]

ῥαίει· πορθεῖ, φθείρει

ῥαίεται· πλανᾶται ⟨62. 18. 113⟩. φθίνει

ῥαΐζεται· ὑγιαίνει

†ῥαικακερεῖς· στρεβλοκέρατοι

†ῥαίκερος· χαλεπός

Ῥαικός (Soph. fr. 979)· Ἕλλην. Ῥωμαῖοι δὲ τὸ Γ προσθέντες, Γραικόν φασι ⟨162⟩

ῥαίνει· μιλτοῖ [60]

ῥαιξία· τόπος ἴδιος ἰατροῦ ἐν Ταραντίνοις

ῥαίοιτο· [ad 62]. πλανῷτο [63]

ῥᾷον (Plato)· συγκριτικὸν †ἢ ἕτερον

ῥαίουσι· φθείρουσιν

ῥαῖσαι· τρισυλλάβως Ἀττικοὶ τὸ ἐκ νόσου ἀναλαβεῖν

ῥαῖσας (Demosth. 13, 2)· ὑγιάνας, ἀνασφήλας

ῥᾷστα (Theocr. XI 7)· ῥᾳδίως, εὐκόλως

ῥαιστάζει· πονεῖ. ὠθεῖ ⟨130⟩ [70]

ῥαιστήρ· σφῦρα σιδηρᾶ μονοκέφαλος. τινὲς δὲ σιαγόνα

ῥαιστῆρα (Σ 477)· ὁμοίως

ῥᾷστον· ὑπερθετικόν

ῥαίστωρ· κραντήρ (dens apri eminens)

ῥαΐσω (cf. Plat. Axioch. 364 C)· βέλτιον σχῶ

†ῥαιφάσσει· ἁγνεύει ⟨146⟩

ῥαίω· φθείρω

ῥᾴων· εὐθυμότερος

COD. 7 ῥάγα ⟨10 cf. π 2193 12 cf. ὀράγδαιναν⟩ 14 ἐπιχήνιον 19 κρόκος 25 ῥαδίαι 38 ῥαθαπυρίζειν — κομβ| 46 ῥαῖ· ῥαῖστον 50 ῥαΐδια ⟨56 ῥαιβοκέροις· στρεβλοκεράτοις?⟩ 58 ῥαῖκος 60 κατεγράσσοντο 71 cf. ἱστήρ et ῥωστήρ σταγόνα 73 ῥαιστόν 74 κρατήρ; cf. ῥάστωρ

HES. 8 ῥάβδος· βέλος 11 ῥάγαται (υ 150)· ῥάνεται ⟨128⟩ 13 ῥαδαλόν (Zenodot. Σ 576)· ἁπαλόν. εὐδιάσειστον 16 ῥάδαμνος (Iob. VIII 16)· βλαστὸς ἁπαλός, κλάδος. ἄνθος. ὅρπηξ. καὶ τὰ τοιαῦτα ⟨col. 1145, 20⟩ 21 ῥάδανον (v. l. Σ 576)· ῥάδινον, ἀπὸ τοῦ ῥᾳδίως δονεῖσθαι 23 ῥαδές· τὸ ἀμφοτέρως ἐγκεκλιμένον ⟨ἀμφιρραδές⟩ 26 ῥαδινήν (Ψ 583)· λεπτήν 31 ῥαδμῶες (Ζ 323)· θεράπαιναι 32 ῥαῖσας· ὑγιάνας Ad 42 ἀλλὰ ἔκλυτος. ἄλλοι ἐπὶ τοῦ μεγάλου θυμοῦ ⟨μεγαλοθύμου ad ζαθόμου⟩ κέχρηνται τῇ λέξει. m. sec. in marg. 43 ῥακ[κ]ά· κενός (Matth. V 22) 44 ῥαμά (Matth. II 18)· ὑψηλή 45 ῥαθώδημα· ψεῦσμα ⟨166⟩ 49 ῥαιδῆλες· ἐμφανές 51 ῥαιδεῖται· σκώπτει ⟨διαιρεῖται· κόπτεται cf. 245⟩ 52 ῥαῖαν· ὑγείαν 60 ῥαίνοντο (Λ 282)· ἐβάλλοντο. κατεπάσσοντο Ad 62 φθείροιτο ⟨56. 215⟩ 63 ῥαιομένου (ζ 326)· φθειρομένου 70 ῥαῖσαι (υ 151)· φθεῖραι

πύσσαχος· ξύλον καμπύλον τοῖς κόσχοις πρὸς τοὺς συντρίμας τιθέμενον (ἢ) πιάζειν 2961

πῦστις (Aesch. Sept. 54)· ἐρώτησις. πεῦσις. ἀγγελία. ἀκοή. ÷ παιδί

÷ πυτά· Λάκωνες τὰ ἐρυθρὰ ἱμάτια

πυτία· οἷον πίπτουσα, παρὰ τὸ πίπτειν, ἐν ᾗ τὸ γάλα πήγνυται ἢ πυτίας ὁ τῶν τυρῶν πηγνύων [85]

πυτίνη πλεκτή, λάγυνος (Arist. fr. inc. CCXLIV)· ÷ οἶνος. ἔπλεκον δὲ ταύτας ὡς ἐπὶ τὸ πολὺ αἱ δεσμῶται, καὶ σπυρίδας, καὶ τὰ τοιαῦτα. ἢ ἡ ἀμίς

πῶ (Sophro. fr. 89)· ποῦ. ὅθεν. ὁπόθεν. Δωριεῖς

πώγων· γένειον. ἄλλοι τὴν ἀναφορὰν τῆς φλογός (Aesch. Ag. 306 Eur. fr. 833)

πῶεα· βοσκήματα. [ad 89] πληθυντικῶς

πωλεῖται (δ 384)· συνεχῶς ἐπὶ τὸν αὐτὸν τόπον παραγίνεται. τὸ δὲ καθ' ἡμᾶς πωλεῖσθαι περνᾶσθαι λέγουσι [91]

πωλεύειν (Xen. eq. II 1)· παιδεύειν πώλους [93. 94]

πωληταί (Dem. 738, 6)· οὗτοι ἐπώλουν τὰ ἐνεχυριασθέντα· ἀρχή τις

÷ πωλία· χαλκοῦν πῆγμά τι. φέρει δὲ ἐπὶ τῶν ὤμων τὰς τῶν Λευκιππίδων πώλους. δύο δὲ εἶναι παρθένους φασίν

πωλικοῖς διώγμασι (Eur. Andr. 972)· τοῖς διὰ τῶν ἁρμάτων διώγμασι

πωλοδαμνεῖν (Soph. Ai. 549)· πῶλον δαμάζειν

πωλοδάμνης (cf. Eur. Rhes. 187 Xen. eq. II 1)· πώλους δαμάζων

πῶλος (Eubul.)· ἑταίρα. πώλους γὰρ αὐτὰς ἔλεγον, οἷον Ἀφροδίτης. πώλους (Cratin. p. 69) τοὺς νέους, καὶ τὰς νέας, καὶ παρθένους

πωλούμενοι· συνερχόμενοι (4493) [4502]

πῶμα (Eur. Ion 1212)· ἔκπωμα

πώπαλα (Aristoph. locat. fr. III)· ἀντὶ τοῦ οὔ. οὐ πάλαι. οὐδαμῶς. καὶ πόθεν, ὅπερ ἐστὶν πάλιν οὐδαμῶς

πῶ μοι (1487)· ποῦ μοι. οἷον ποῦ γάρ

÷ πῶννα (2989. 90)· γραφίον [ad 6]

÷ πῶπει· φορεῖ. Δωριεῖς [8]

πωρεῖν (Elei)· κηδεύειν, πενθεῖν (4153)

πωρῆσαι· λυπῆσαι. καὶ τὰ ὅμοια

πωρητύς (Antimach.)· ταλαιπωρία, πένθος

πώρινον (Herod. V 62)· λίθινον. ὁ δὲ πῶ(ρο)ς οὐ πᾶς λίθος

πῶρος· ὁ ταλαίπωρος [14]

÷ πῶς· πός. ὑπὸ Δωριέων [16—23]

πῶϋξ· ποιὸς ὄρνις. ὁ Ἀριστοτέλης ἐν τῷ περὶ ζώων (IX 18)

P

Ῥά· δή. σύνδεσμος (B 1)·

ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες

καὶ παρὰ ἰατροῖς ῥιζίον τι (ῥᾶ)

ῥάας· ῥεύματα (Cyrill. Voss.)

ῥαβάττειν· ἄνω καὶ κάτω βαδίζειν. τινὲς δὲ τύπτειν, καὶ ψόφον ποιεῖν [ad 3] τοῖς ποσί, καὶ ῥάσσειν [4]

ῥάβδοι· καὶ τὸ σύνηθες καὶ ἡ διάφυσις τῆς γῆς, ὡσεὶ φλέβες (Theophr. CP. IV 13 XII 6). καὶ ὀβελοὶ δὲ οἱ παρατιθέμενοι τοῖς Ὁμήρου στίχοις. καὶ οἱ τῶν φοινίκων κλῶνες (Theophr. HP. II 2, 2)

ῥαβδοφόροι· ῥαβδοῦχοι. καὶ ὁ βραβευτὴς ῥαβδονόμος

COD. 84 πιτία οἷον πιπτιοῦσα — πίπτειν 84 ἢ .... πηγνύων] post 86 86 λάγυνος — ταῦτα 88 cf. πωπολία 95 πωλῆται 4513 πωρός Suidas (15 πός· πούς?) P 1 μὲν ῥὰ — ἰητροῖς 5 περιτιθέμενοι 6 καὶ .... |νόμος] post 5

HES. 85 πίτυλος· ἡ συστροφὴ τῆς χειρός, ὅταν πυκνῶς ἐπιφέρηται. δηλοῖ δὲ καὶ τὴν εἰρεσίαν, καὶ τὴν τῶν πυκτῶν ἑκατέρας χειρὸς συνέχειαν Ad 89 ποίμνια (Λ 677) 91 πωλέσκετο (Λ 490)· ἀνεστρέφετο. εὑρίσκετο 93 πωλεύμενοι (β 55)· συνιόντες 94 πωλήσεαι (Ε 350)· φοιτήσεις, παραγενήσεις, ἀναστρέψεις 4502 πωλεῖσθε· ἐπιμελῶς ὁ πολλάκις φοιτῶν Ad 6 λύπη (4510) 8 πωπολία· ἡ ἀναφορὰ τοῦ πυρός (4488) 14 πώρωσις (Rom. XI 25)· ἐξ ὀστέων σύμφυσις καὶ σύνδεσμος λέγει τόδε (L. λέγεται. τὸ δὲ) ἐπὶ σαρκῶν πώρως (πῶρος) καὶ ἀναισθησία 16 πωσαχῶς· ποσαπλῶς 17 πῶς τ' ἄρ' (γ 22)· πῶς δέ 18 πῶς τ' ἄρ τοι (Λ 123)· πῶς δή σοι 19 πῶς κεν ἔοι (Ξ 333)· πῶς ἂν γένοιτο 20 πωτᾶσθαι· πέτασθαι (πότ—) 21 πωτώμεναι (Ar. Pac. 830)· διατρίβουσαι. διακινοῦσαι (ποτ—) 22 πωτῶνται (B 462)· πέτωνται πῶϋ (Γ 198 al.)· ποίμνιον, ἢ ποίμνη P Ad 3 καὶ φράσειν 4 ῥάβδιδα· τὰ διδασκαλεῖα

ῥάγα· ἀκμή. βία, ὁρμή (Hippocr. 233, 431). καὶ ἣν ἡμεῖς ῥῶγα θηλυκῶς, Ἀττικοὶ ῥᾶγα (Plat. Legg. VIII p. 845 A) [8]

†ῥάγανον· ῥάδιον. Θούριοι

ῥαγάς· πήλυξ, ἡ σταφυλίς, ῥωγάς [11]

ῥαγδαῖον (Comici)· τὸ ὀξύ, ὁρμῆς μεστόν, ἢ ἄθρουν, σφοδρόν, ἰσχυρόν, φοβερόν, σκληρόν [13]

Ῥαδαμάνθυος ὅρκος (Cratin.)· τὸν ἐπὶ χηνὶ καὶ κυνὶ καὶ τοῖς τοιούτοις ὅρκον

ῥαδαμεῖ· βλαστάνει [16]

ῥάδαμον (Nic. Al. 92)· καυλόν, βλαστόν

ῥαδανᾶται· πλανᾶται ⟨113⟩

ῥαδάνη· κρόκη. ὁμοίως ῥοδάνη

ῥαδανίζεται· τινάσσεται ⟨cf. βραδ—⟩ [21]

ῥαδανῶροι· οἱ τῶν λαχάνων κηπουροί. Ταραντῖνοι ⟨145⟩ [23]

ῥάδια· εὔκολα, εὐχερῆ

ῥάδια (Pherecr. fr. LXXVI)· ὑπόδημα ποιόν· οἱ δὲ σανδάλιον ⟨50. 395⟩ [26]

ῥαδινόν (Σ 576)· λεπτόν, ἰσχνόν. εὐκίνητον. ἁπαλόν. εὐδιάσειστον

ῥᾳδιουργεῖ· ῥᾳδίως ποιεῖ. κακοποιεῖ, δεινοποιεῖ

ῥᾳδιουργός· πλαστογράφος, ἢ ταχυγράφος, πονηρός, μηχανουργός, πολυμήχανος

ῥᾳδίως· εὐκόλως, εὐχερῶς [31. 32]

ῥάζειν (Cratin. Hermipp.)· τρώγειν. κυρίως ἐπὶ τῶν κυνῶν· μιμητικῶς ἐπὶ τοῦ ⟨ποιοῦ⟩ ἤχου

ῥάθαγος· τάραχος, ἦχος, θόρυβος, ψόφος

†ῥαθάμη· ῥᾳστώνη, ῥᾳθυμία

ῥαθαίνεται· ῥαίνεται, βρέχεται

ῥαθάμιγγες (Λ 536)· ῥανίδες, σταγόνες. καὶ ὁ ἀπὸ τῶν ἵππων κονιορτός (Ψ 502). ἄλλοι †ῥαθάμιγγες λέγουσι

ῥαθαπυγίζειν (Ar. Eqq. 806)· ὅ τινες σχομβρίζειν. τὸ τῷ σκέλους πλάτει παίειν κατὰ τῶν ἰσχίων, τὸ εἰς τὸν γλουτὸν σιμῷ ποδὶ τύπτειν

ῥαθασσόμενοι· ῥαινόμενοι. πληττόμενοι

ῥαθμίζεσθαι· ῥαίνεσθαι

ῥᾳθυμία· ἀμέλεια, κατήφεια. ἀνοχή

ῥᾴθυμος· ὁ μὴ πονητικὸς [ad 42] [43—45]

ῥᾷ (Soph. fr. 978 Ion. fr. 66)· ῥᾷστον, ῥᾳδίως

†ῥαιβίας· ἀζήμιος δῆμος ⟨97⟩

ῥαιβόν (Archiloch. fr. 60, 4)· ἐπικαμπές, τὸ μὴ ὀρθόν, καμπύλον, στρεβλόν, σκαμβόν [49]

ῥάιδια· σανδάλια. οἱ δὲ ὑποδήματα γυναικεῖα ⟨25⟩ [51. 52]

ῥαίει· πορθεῖ, φθείρει

ῥαίεται· πλανᾶται ⟨62. 18. 113⟩. φθίνει

ῥαΐζεται· ὑγιαίνει

†ῥαικακερεῖς· στρεβλοκέρατοι

†ῥαίκερος· χαλεπός

Ῥαικός (Soph. fr. 979)· Ἕλλην. Ῥωμαῖοι δὲ τὸ Γ προσθέντες, Γραικόν φασι ⟨162⟩

ῥαίνει· μιλτοῖ [60]

ῥαϊξία· τόπος ἴδιος ἰατροῦ ἐν Ταραντίνοις

ῥαίοιτο· [ad 62]. πλανῷτο [63]

ῥᾷον (Plato)· συγκριτικὸν †ἢ ἕτερον

ῥαίουσι· φθείρουσιν

ῥαῖσαι· τρισυλλάβως Ἀττικοὶ τὸ ἐκ νόσου ἀναλαβεῖν

ῥαΐσας (Demosth. 13, 2)· ὑγιάνας, ἀνασφήλας

ῥᾷστα (Theocr. XI 7)· ῥᾳδίως, εὐκόλως

ῥαιστάζει· πονεῖ. ὠθεῖ ⟨130⟩ [70]

ῥαιστήρ· σφῦρα σιδηρᾶ μονοκέφαλος. τινὲς δὲ σιαγόνα

ῥαιστῆρα (Σ 477)· ὁμοίως

ῥᾷστον· ὑπερθετικόν

ῥαίστωρ· κραντήρ (dens apri eminens)

ῥαΐσω (cf. Plat. Axioch. 364 C)· βελτίον σχῶ

†ῥαιφάσσει· ἁγνεύει ⟨146⟩

ῥαίω· φθείρω

ῥάων· εὐθυμότερος

COD. 7 ῥάγα ⟨10 cf. π 2193 12 cf. ὀράγδαιναν⟩ 14 ἐπιχήνιον 19 κρόκος 25 ῥαδίαι 38 ῥαθαπυρίζειν — κομβ| 46 ῥαΐ· ῥαῖστον 50 ῥαΐδια ⟨56 ῥαιβοκέροις· στρεβλοκεράτοις?⟩ 58 ῥαῖκος 60 κατεγράσσοντο 71 cf. ἰστήρ et ῥωστήρ σταγόνα 73 ῥαιστόν 74 κρατήρ; cf. ῥάστωρ

HES. 8 ῥάβδος· βέλος 11 ῥάγαται (υ 150)· ῥάναται ⟨128⟩ 13 ῥαδαλόν (Zenodot. Σ 576)· ἁπαλόν. εὐδιάσειστον 16 ῥάδαμνος (Iob. VIII 16)· βλαστὸς ἁπαλός, κλάδος. ἄνθος. ὅρπηξ. καὶ τὰ τοιαῦτα ⟨col. 1145, 20⟩ 21 ῥάδανον (v. l. Σ 576)· ῥάδινον, ἀπὸ τοῦ ῥᾳδίως δονεῖσθαι 23 ῥαδές· τὸ ἀμφοτέρως ἐγκεκλιμένον ⟨ἀμφιρραδές⟩ 26 ῥαδινήν (Ψ 583)· λεπτήν 31 ῥαδμῶες (Ζ 323)· θεράπαιναι 32 ῥαΐσας· ὑγιάνας Ad 42 ἀλλὰ ἔκλυτος. ἄλλοι ἐπὶ τοῦ μεγάλου θυμοῦ ⟨μεγαλοθύμου ad ζαθόμου⟩ κέχρηνται τῇ λέξει. m. sec. in marg. 43 ῥακ[κ]ά· κενός (Matth. V 22) 44 ῥαμά (Matth. II 18)· ὑψηλή 45 ῥαθώδημα· ψεῦσμα ⟨166⟩ 49 ῥαιδῆλες· ἐμφανές 51 ῥαιδεῖται· σκώπτει ⟨διαιρεῖται· κόπτεται cf. 245⟩ 52 ῥαΐαν· ὑγείαν 60 ῥαίνοντο (Λ 282)· ἐβάλλοντο. κατεπάσσοντο Ad 62 φθείροιτο ⟨56. 215⟩ 63 ῥαιομένου (ζ 326)· φθειρομένου 70 ῥαῖσαι (υ 151)· φθεῖραι

ῥάκε᾽ ἄζει (epic. inc.)· ἱμάτια ξηραίνει
†ῥάκελος· σκληρός ⟨85⟩
ῥάκη (Soph. Phil. 39)· ἀπορακίσματα. καὶ ἀποσπάσματα ⟨154⟩. ἱμάτια
ῥακῖδες (Nicand.)· ὀρόδαμνοι, κλάδοι [83. 84]
†ῥακλεός· σκληρός ⟨80⟩ [86]
ῥακτήριον· ὄρχησίς τις ⟨cf. μακτήρ⟩
ῥακτηρίοις κέντροισιν (Soph. fr. 730)· ἀντὶ τοῦ ταῖς κώπαις· διὰ τὸ [ἀ]ῤάττεσθαι. καὶ ἐν Φιλοκτήτῃ τῷ ἐν Τροίᾳ (fr. 632)·
μέλη βοῶν ἄναυλα καὶ ῥακτήρια
ἀντὶ τοῦ ψοφώδη καὶ θορυβώδη [89]
?ῥακτήρια· τύμπανα
ῥακτοί· φάραγγες. πέτραι. χαράδραι ⟨124⟩
ῥακτὸς λόφος· ......
ῥάκτρια(ι)· τὰ ῥαβδία, ἐν οἷς τοὺς καρποὺς ἀπαράσσουσιν
†ῥακωλέον· ῥάκος
ῥάματα· βοτρύδια. σταφυλίς. Μακεδόνες [96]
†ῥαμβάς· ὁ δήμιος ⟨47⟩
ῥάμνος· τὸ φυτόν, ὅπερ εἰς ἀλεξιφάρμακον παραλαμβάνεται [ad 98]
Ῥαμνουσιάδας ἀκτάς· δῆμος ἐν τῇ Ἀττικῇ, ὅπου Νέμεσις τιμᾶται
Ῥαμνουσία Νέμεσις· ἐν Ῥαμνοῦντι Νεμέσεως ἵδρυτο ἄγαλμα δεκάπηχυ, ὁλόλιθον, ἔργον Φειδίου, ἔχον ἐν τῇ χειρὶ μηλέας κλάδον
†ῥαμοσαίτης· κατάρατος
†ῥαμφαδέκται· τὸ πυκτεύειν
ῥαμφάξει· ῥύγχει ὠθήσει [104]
ῥαμφή· κοπίς. μάχαιρα. ἢ τὰ τῶν ὀρνέων ῥύγχη ⟨ῥάμφη⟩
ῥαμφησταί· ἰχθῦς ποιοί
ῥαμφίς· νεὼς εἶδος
ῥάμφος· ῥύγχος τὸ ἐπὶ τῷ στόματι τῶν μεγάλων πετεινῶν
ῥαμψὰ γόνατα· βλαισὰ γόνατα. τὸ δὲ αὐτὸ καὶ ῥαιβά
ῥαμψόν· καμπύλον, βλαισόν
ῥᾶνα· ἄρνα. Ῥωμαῖοι δὲ βάτραχον
ῥανίς (Ar. Ach. 171)· σταλαγμός
ῥανᾶται· πλανᾶται ⟨18⟩. σπείρεται
ῥαντίζει· σκώπτει ⟨121⟩ [15]
ῥάξ [ad 16] ἡ τῆς σταφυλῆς [ad 16]
ῥᾶον· εὐχερές. κοῦφον. εὔκολον
ῥάπα (Macedones)· τὴν καλάμην, καὶ τοὺς ἐν αὐτῇ αὐλοῦντας ῥαπαύλους
ῥαπίδες· ὑποδήματα. περόναι ⟨147⟩
ῥαπιδοποιόν· [τὸν ποιητὴν] Δωριεῖς· ἢ ποικιλτήν. ἢ τὰς κρηπῖδας ποιοῦντα
ῥαπίζει· †σκώπτει ⟨114⟩. ἀλοᾷ. †παίζει. μαστιγοῖ, τύπτει
ῥαπίς· ῥάβδος. κρηπίς. †κώμη. γογγυλίς, οἱ δὲ λαψάνην ⟨147⟩
ῥαπίσαι· ῥάβδῳ πλῆξαι, ἢ ἀλοῆσαι
ῥάπται· φάραγγες, χαράδραι ⟨91⟩. γέφυραι
ῥάπτειν (π 423)· μηχανᾶσθαι, κατασκευάζειν
Ῥάριον πεδίον ......
Ῥᾶρος· ἰσχυρός. καὶ ὄνομα τοῦ Τριπτολέμου πατρός
ῥάσσα(τε υ 150)· ῥάνατε ⟨11⟩
ῥᾷστα· εὐχερῆ, εὔκολα
ῥαστάζει· πονεῖ. ὠθεῖ ⟨69⟩. ταράττεται
ῥᾷστον· εὐχερές, εὔκολον
ῥᾳστωνεύεται· ῥαθυμεῖ, ἀμελεῖ, καταφρονεῖ
ῥᾳστώνη· ῥαθυμία. καὶ τὰ ὅμοια
ῥᾳστώνης (Herod. III 136)· τρυφῆς, τέρψεως. ἀναπαύσεως
†ῥάστωρ· κρατήρ ⟨74⟩
ῥατάναν· τορύνην
†ῥατίζει· πρεσβεύει
†ῥατιχεύειν· καταρᾶσθαι ⟨α 7066 col. 613, 12⟩
†ῥατῶνα ⟨383⟩· ῥεκτῆρα. σφαγέα [40]
ῥαφάνη· κράμβη
ῥαφανιδωθῆναι· τοὺς μοιχοὺς ταῖς ῥαφανίσιν ἤλαυνον κατὰ τῆς ἕδρας
τίς γὰρ
ἀντὶ τῆς ῥαφανῖδος ὁρῶν ὀξυθυμίαν
ἔλθοι πρὸς ἡμᾶς; (Com. inc. fr. CLXXIV)

COD. 79 ῥακεάζει ⟨80. 85 ῥ᾽ ἀσκελής?⟩ 81 ἀποσχοραχίσματα 88 μέλι — ἄνανδα 92 ῥάκτος, 95 βοστρύχια 99 |ουσίας 100 |ουσίαν 3 |ξη, ῥυγχωδήση 4 μάχη 6 ἰχθεῖς 8 cf. ῥέμφος et σίραμφος 11 ῥάνα — βάτραχοι ⟨13 ῥαθαίνεται· σπείρεται Phot. 480, 10⟩ 17 ῥαπατὴν, κ. ῥαπάλους 19 cf. ἀρπίδες 22 κροπίς — λαμψάνην 26 ῥάριον, παιδίον 27 ῥάρος ⟨cf. ῥωρός⟩ 36 ῥοτάναν, τὸ ῥένναν ⟨cf. βρατάναν⟩ 42 μυχοὺς

HES. 83 ῥακκίζειν· τὸ διαιρεῖν τὰ μέλη τῆς ῥάχεως, ἢ παίειν ⟨ῥαχ—⟩ 84 ῥακκίζει· ὁ διακόπτων 86 ῥάκκος (ς 178)· διερρωγὸς ἱμάτιον 89 ῥακτήριαι· ψοφώδη καὶ θορυβώδη 96 ῥαμας· ὁ ὕψιστος θεός Ad 98 καὶ δένδρον ἀκανθῶδες (Ps. LVII 10) 104 ῥομφαία· μάχαιρα. καὶ ἡ πυγμὴ τῆς χειρός 15 ῥαντὸν (Genes. XXX 32)· ποικίλον Ad 16 [ῥάγα] — [ἣν ἡμεῖς ῥῶγα καλοῦμεν] 40 †ῥαυλόν· ἄγραυλον. ἄγροικον

ῥαφανίς (καὶ) ῥάφανος διαφέρει παρὰ τοῖς Ἀττικοῖς· ῥάφανος μὲν γὰρ ἡ κράμβη, ῥαφανὶς δὲ ἡ παρ' ἡμῖν ῥάφαν(ος). Τρύφων δέ φησι, παρὰ Δωριεῦσι τὰς μικρὰς ῥαφανῖδας λέγεσθαι, τὰς δὲ μέγαλας ῥάφας [44]

ῥαφανουροί· κηπουροί ⟨22⟩

ῥαφάσσει· πλανᾶται

ῥαφίς (Archipp. fr. IV p. 725)· ὑπόδημα. περόνη. καὶ ἄγριόν τι λάχανον λαψανῶδες. καὶ ἡ ῥάβδος ⟨122⟩

ῥάφοι· ὄρνεις τινές

ῥαχάδην· ἐπὶ τῆς ῥάχεως

ῥαχάς· χωρίον σύνδενδρον καὶ μετέωρον, διὰ τὸ ψόφον ἀποτελεῖν καταπνεόμενον

ῥάχετρον· ῥαχίς· ὡς πλευρὸν καὶ πλευρά. οἱ δὲ τὴν ῥάχιν τοῦ ἱερίου (Didym. ad Soph. fr. 21)

ῥαχθέντος· σπαραχθέντος [53. 54]

ῥαχία (Soph. fr. 981 Thuc. IV 10)· πᾶς πετρώδης αἰγιαλός

ῥαχίζειν (Dinarch.)· τὸ εἰκαίως καὶ ῥᾳδίως ψεύδεσθαι

ῥαχίζων (Soph. Ai. 55)· διακόπτων, διὰ τὸ τὴν πρώτην καὶ μεγάλην διακοπὴν κατὰ τὴν ῥάχιν γίνεσθαι

ῥάχι (*fraces*)· τὸ στέμφυλον

ῥάχις (Herod. III 54)· ἄκρα. ὀσφῦς. ἡ ἄκανθα τοῦ νώτου (Soph. fr. 21)

ῥαχιστήρ (Theopomp. com. p. 809)· ψεύστης. ἀλαζών. μεγαλουργός, μεγάλα κακουργῶν, μεγάλα ψευδόμενος

ῥᾶχοι (Xen. Cyn. X 7)· χοιράδες. στοιβαί. σάγματα. ἔνιοι τοὺς φακέλους τῶν ξύλων· ἄλλοι τὰς μυρικίνας ῥάβδους. ἔστι δὲ ἀκανθῶδες φυτόν, ἀφ' οὗ τὸ περίφραγμα

Ῥαχός· Ἕλλην ⟨58⟩. δηλοῖ δὲ παρὰ τοῖς βαρβάροις τὸν ἐλεύθερον. καὶ ὁ φραγμὸς τῶν τειχῶν ⟨ῥᾶχος⟩ [63]

ῥαψῳδία· ἡ σύνταξις τῶν λόγων, ἢ λόγων συγγραφή. ἢ μέρος ποιήματος

ῥαψῳδοί (Plat. Civ. 395 A)· ὑποκριταὶ ἐπῶν [66]

ῥαψῳδός· Σοφοκλῆς Οἰδίποδι (T 399) οὕτως ἔφη τὴν Σφίγγα [ad 67]

ῥέα (E 304 al.)· ῥᾳδίως, εὐχερῶς

Ῥέας πόντος (sch. Aesch. Prom. 837)· παρὰ τὸν Ἀδριακὸν κόλπον, ἔνθα τιμᾶται (ἡ Ῥέα. καὶ) ὁ Βόσπορος [70]

ῥέγματα (Ibyc. fr. 58)· τὰ βάμματα

ῥέγος (Anacr. fr. 138)· ῥάμμα. βάμμα. ῥάκ(κ)ος [73]

ῥέγχειν (Hippocr.)· ἐπὶ τῶν κοιμωμένων

ῥέδδι (Bocoli)· πράττει, θύει [76]

ῥεδίων· ἁρμάτων ⟨248⟩ [78—80]

ῥεέθρων (Soph. Ant. 105)· ῥευμάτων, ῥείθρων

ῥέζει (χ 158 Pherecr. p. 335)· πράττει. θύει, ἱερεύει. παρασκευάζει [83—85]

ῥέθη (Apoll. lex.)· μέλη τοῦ σώματος. σῶμα. πρόσωπον [ad 86]

ῥέθος (Soph. Ant. 529)· πρόσωπον. παρειά

ῥεῖ (Aesch. Sept. 80)· ῥέει, χεῖται [89]

ῥεῖα ζώοντες (δ 805)· ἀπόνως καὶ ἀμόχθως ζῶντες

ῥεῖά κεν· εὐχερῶς ἤνεγκεν [92—98]

ῥεῖθρον (A 186)· ῥεῦμα. λέγεται δὲ καὶ ῥέεθρον [200]

†ῥεῖρος· ταλαίπωρος

Ῥειτοί (Thuc. II 19 Soph. fr. 981)· ἐν τῇ Ἀττικῇ δύο εἰσὶν οἱ πρὸς τῇ Ἐλευσῖνι Ῥειτοὶ ῥωγμοί. καὶ ὁ μὲν πρὸς τῇ θαλάττῃ τῆς πρεσβυτέρας θεοῦ νομίζεται, ὁ δὲ πρὸς τὸ ἄστυ τῆς νεωτέρας, ὅθεν τοὺς λουτροὺς ἁγνίζεσθαι τοὺς θιάσους

ῥέκος· ζῶμα. ζώνη

ῥεκτός· ἀνδρεῖος (ad ῥέκτης?) ἢ χιτών ⟨*recla*⟩

COD. 43 τρυφὴν 47 λαμψ— 56 τοῦ εἰκέως (58 ῥάχιον?) 59 ῥαχίς ⟨cf. ῥηχίς⟩ 61 ῥαχοί — στυβαί — σφακέλους 62 cf. ἔραχος. ὀρήχου. κλαδαράχοι. ῥῆχος 69 πόρτος 75 ῥέδδει 91 ῥείακεν (201 ῥεῖος EM. 539, 30?) 2 ἐλεύσει — ῥωγμός

HES. 44 ῥάφανος· κράμβη 53 ῥαχίζειν· παίειν τὸ ἱερεῖον 54 ῥάχη· ἀποραχίσματα καὶ ἀποσπάσματα ⟨81⟩ 63 ῥάψαι (Σ 367)· συνθεῖναι 66 ῥαψῴδημα· ψεῦσμα. φλυαρία ⟨45⟩ Ad 67 καὶ οἱ τὰ Ὁμήρου ᾄδοντες ποιοὶ ⟨ἔπη⟩ ῥαψῳδοὶ καλοῦνται 70 ῥεγεονάριος· γειτονίαρχος (Ducang. 1287) 73 ῥεγισταί· οἱ βαφεῖς 76 ῥεδείη· τράχηλος. ἡ ῥεδέρη (Eur. Tro. 99) 78 ῥέε (Γ 339), ῥέεν (Λ 249)· ἔρρει, ἔρεεν 79 ῥέε δ' αἵματι γαῖα (Δ 451)· κατερρεῖτο ἡ γῆ ἀπὸ τοῦ αἵματος 80 ῥέεθρα (B 461 al.)· ῥεῖθρα, ῥεύματα 83 ῥέζεσκον (Θ 250)· ἔθυον. ἔπραττον 84 ῥέζουσι· πράττουσι (Δ 32). θύουσι. καὶ τὰ ὅμοια (ε 102) 85 ῥεθέων· σπλάγχνων, μελῶν (X 68), σωμάτων (Π 856) Ad 86 θηρίον ⟨cf. ῥέος⟩ 89 ῥεῖα· ῥᾳδίως εὐχερῶς μωλωπωνι ⟨l. μάλα, πάνυ⟩ ἰσχυρῶς 92 ῥειγεδανοῖς· φοβεροῖς 93 ῥειγηλά· φοβερά 94 ῥείγησε βοὴν (E 596)· ἐφοβήθης 95 ῥείγησεν (Γ 259)· ἐφοβήθη 96 ῥειγῆνος· ἀπειράγαθος ⟨Ῥηγῖνος cf. 305⟩ 97 ῥείζω· ὠθήσω (Ψ 673?) 98 Ῥείης (Ξ 203)· τῆς Ῥέας 200 ῥεινοτόρος (Φ 392)· τὰς ἀσπίδας τορῶν, ἢ τιτρώσκων

ῥεκτῶν· ἀπομακτρῶν. ἢ ἱματίων [6]
ῥεμβέσθω· τὰ ὅμοια
ῥεμβονᾶν σφενδόνας
†ῥεμεῖ· ὀδυνᾷ. σήπει
ῥεμφθῆναι· ῥέμβεσθαι
ῥέμφος (Aeol.)· τὸ στόμα. ἢ ῥίς [12]
ῥέξει· πράξει. θύσει, ἱερεύσει. παρασκευάσει, ἑτοιμάσει (Ξ 62?), ξέσει [14. 15]
ῥέοντα (Astydamant. fr. 3)· ῥυτά. ἐκπώματα
ῥέοντι· †ῥεῖ
ῥεόντων· παρερχομένων
ῥέος· ῥεῦμα (sch. Aesch. Prom. 400) [ad 19]
ῥέπει· κλίνει, βαρεῖ, καθέλκει [21]
†ῥέπεις· ῥέψις [ad 22] [23]
ῥεῦεν (Elei)· ἐδίωκεν
†ῥεῦμιν· βρέφος νεογνόν
ῥεύσαντα (Plat. Civ. VIII 544 E)· ἐγκλίναντα
ῥευσταλέον· ῥέον
ῥευστόν· χυτόν [29—31]
ῥέψας· κλίνας [ad 32]
ῥέωνος· εὔωνος. †ἀνδρός
ῥήγεα (γ 349)· παλλία βαπτά, ἀπὸ Ῥωμαίων. βεβαμμένα ἱμάτια. Ῥηγεῖς γὰρ οἱ βαφεῖς
ῥηγεύς· βαφεύς
Ῥηγῖνος· τοὺς δειλοὺς Ῥηγίνους ἔλεγον [37. 38]
ῥῆγμα (Archipp. IV p. 725)· τάσις ἀνέμου. κατὰ μῆκος τραύματος οὐλή ⟨244⟩. στάλαγμα ⟨309⟩
ῥήγματα· σχίσματα
ῥηγμίν· αἰγιαλός, περὶ ὅνπερ ῥήγνυται τὸ κῦμα
[42] τὰ †ἀπορπύματα τῆς πέτρας
ῥηγμίς· αἰγιαλός. διὰ (τὸ) ῥήσσειν τὰ κύματα ἐκεῖ [44]
ῥήγνυται· διαιρεῖται, κατακόπτεται ⟨51⟩
ῥῆγος (Ι 661 υ 73)· ῥάκος. περίστρωμα. σπάραγμα. προσκεφάλαια ⟨172⟩ [47—50]
ῥηΐτεροι· [ad 51] εὐχερέστεροι, εὐκοπώτεροι
ῥήνεα· πρόβατα, οἷα ⟨προβάτεια?⟩
ῥῆνες (Nic. Th. 453)· ἄρνες, πρόβατα
ῥήνικες (Hippocr. 611, 14)· ἀρνακίδες [55]
Ῥῆνος· ὄνομα ποταμοῦ
ῥῆξαι· διελεῖν. καταβαλεῖν (λ 538). ἀπολῦσαι. κρᾶξαι
ῥῆξαί με καὶ φράσαι ἀεὶ λόγον (Com. fr. CLXXV)· ἀντὶ τοῦ ἐκρῆξαι φωνήν [59]
ῥῆξε· [ad 60] κατέβαλεν. ἔκραξεν. ἀπέλυσεν. διέκοψεν
ῥηξήνορα (Η 228)· πολεμιστὴν πρακτικόν, ἢ ἀνδρεῖον πολεμιστήν [62]
ῥηξίφλοια (Theophr. HP. I 5, 2)· ῥήξαντα τὸν φλοῦν
ῥηξίφρονα· καταβαλόντα τὴν φρένα
ῥησίδιον· λεξίδιον
ῥησάμενος· διομολογησάμενος ⟨278⟩
ῥήσαντο· ἐψηφίσαντο [ad 67]
ῥήσεις (Ephipp. p. 335)· νόμοι, δόγματα. λόγοι, λέξεις. ψηφίσματα
ῥησκομένων· λεγομένων [70. 71]
Ῥησόσαρχος, ὃς ῥέει τὰ θέσφατα (Epicharm.)· ἤτοι παρὰ τὴν ῥῆσιν εἴρηκεν· ἢ ὡς Ἀσκληπιάδης ἐν ϛʹ τραγῳδουμένων, ἄριστον αὐτὸν γεγονέναι ἀλήθειαν εἰπεῖν. ἐγένετο δὲ καὶ ἕτερος [73]
ῥήσσει· τέμνει, σχίζει. τύπτει, κροτεῖ
ῥητήν (cf. Xen. Hell. III 5, 6)· τὴν ὡρισμένην ἡμέραν τοῖς θεοῖς εἰς θυσίαν σημαίνει [76]
ῥητοί (Hesiod. opp. 4)· οἱ ἔνδοξοι [ad 77]
ῥητόν (Thuc. II 7)· τὸ τεταγμένον, ὃ ἄν τις τάξηται. καὶ ῥησάμενοι· ταξάμενοι [79. 80]

COD. 5 ἀπὸ μάκτρων 43 ῥηγμός 54 ῥηνέκες 61. 62. 63 = 63. 61. 62 63 ῥηξει| 72 ἐν καὶ τραγ| ⟨Ῥῆσος ἀρχός, ὃς χρέει?⟩

HES. 6 ῥέμβεται (Prov. VII 12)· πλανᾶται, γυρεύει 12 ῥέξαι· ποιῆσαι (Γ 354). θῦσαι (Λ 444) 14 ῥέξομεν (Δ 837)· ποιήσομεν. καὶ τὰ ὅμοια 15 ῥέοιτο (ι 459)· φθείροιτο Ad 19 ῥεῦμα. θηρίων (Call. Dian. 100) 21 ῥέπει (Θ 72)· ἐβαρεῖτο Ad 22 ῥέπου- (διον Theognost. 11, 10) 23 ῥερπιδάω· τὸ πῦρ ἐκκαίουσι ⟨ῥιπίδα, ῶ⟩ 29 ῥεφέα· ἐστεγασμένα ⟨ἀμφηρεφέα⟩ 30 ῥεφούγια· ῥεμπτά 31 ῥεχθέν (Ρ 32)· πραχθέν, συντελεσθέν Ad 32 στεγάσας ⟨ad ἐρέψας⟩ 37 ῥήγησεν (Γ 259)· ἐφοβήθη, ἐδειλίασεν 38 ῥῆγλαι· σίδηρα ὡς ῥάβδοι ⟨regulae⟩ 42 ῥηγμῖνος (Υ 229)· 44 ῥήγνυσκε (Π 141)· τάσις ἀνέμου. ἢ τραύματος οὐλή ⟨239⟩ 47 ῥηγῶν· βοηθῶν ⟨ἀρηγῶν⟩ 48 ῥηδίων· χαρούχων. ῥαιδίων ⟨177⟩ 49 ῥηδίως (Δ 390)· εὐκόλως, εὐχερῶς 50 ῥήϊα καὶ ῥηΐδια (Υ 265)· ὁμοίως· εὐχερῶς μάλα, ῥαδίως Ad 51 εὐκαταγωνιστότεροι (Σ 258) 55 Ῥήνη ποιμήν (Β 728)· καὶ πόλις 59 ῥηξάτω (Iesai. 52, 9)· κραξάτω Ad 60 διέρρηξε (Ν 507) 62 ῥηξήνορες (δ 5)· ὁμοίως Ad 67 οἱ δὲ ἐτύπτοντο ⟨ῥήσσοντο⟩ 70 Ῥῆσος (Μ 20)· ποταμὸς Τρῳάδος 71 ῥήσσοντας (Σ 571)· τοῖς ποσὶ κροτοῦντας 73 ῥήσιας (φ 291)· ὁμιλίας 76 ῥητῆρα (Ι 443)· διδάσκαλον Ad 77 ταξάμενοι 79 ῥητόν· τὸ τεταγμένον 80 ῥήτωρ· ὁ τὴν ἰδίαν ἀποφαίνων γνώμην κριτήν

ῥήτορες (Eur. Hec. 126)· λέκται. οὐχ οἱ συνήγοροι μόνοι

ῥῆτραι· συνθῆκαι διὰ λόγων. ἢ δίκαι. ἢ ὁμιλίαι

ῥήτρας· συνθήκας

ῥήτρης· ῥητορικῆς [85]

ῥητῶν· φανερῶν [87]

ῥήτωρ (Soph. fr. 982)· συνήγορος. καὶ ὁ τὴν ἰδίαν ἀποφαίνων γνώμην. ἢ κριτής

†ῥήχη· στάσις. ἐξουσία

ῥηχθέντα· καταβληθέντα. χωρισθέντα

ῥηχιάδαι· οἱ τοὺς καταδίκους εἰς ῥαχίας βάλλοντες

ῥηχίς· ἄκρα

ῥῆχος (Herod. VII 142)· φραγμός

ῥία· ἀκρωτήρια ὄρθια. καὶ τὰ εἰς θάλασσαν ἐγκείμενα [ad 94]

ῥίαινα (Boeot. Cret.)· πηγή, λιβάς [96. 97]

ῥίγα (Elei)· σιώπα

ῥιγεδανῆς (Τ 325)· φρικώδους. χαλεπῆς, κακίστης, φοβερᾶς

ῥιγεδανόν· φρικῶδες, ὅμοιον [301]

ῥιγηλόν (Nic. Al. 220)· φοβερόν [3]

ῥίγησεν (Γ 259 al.)· ἔφριξεν. ἐφοβήθη [5]

ῥίγιον· [ad 6] φρικτόν

ῥίγιστα· φοβερώτατα. ἀτυχέστατα

Ῥιγίστη· κρήνη τῆς Σινωπίδος

ῥῖγμα· σταλαγμός ⟨239⟩

†ῥιγνόν· ῥιγεδανόν, φρικῶδες

†ῥιδαεῖ· σκυβαλίζει [12]

ῥίζειν· τρώγειν. †καίειν ⟨369⟩. μυστιλᾶσθαι. θηλάζειν

ῥιζοῦχος (Callim. fr. CCLXXXV)· σπερμογόνος

†ῥιζῶν· νεάζων. Ἐρετριεῖς

ῥῖθρον (Boeot.?)· ῥεῦμα

ῥικνὴν ὄφιν· φρικτήν

ῥικνοί· ἰσχνοὶ σαρξίν. ἐπικεκαμμένοι, σκαμβοί, σκολιοί

ῥικνοῦσθαι (Soph. fr. 295)· διέλκεσθαι, καὶ παντοδαπῶς διαφέρεσθαι κατ' εἶδος ⟨372⟩

ῥικνοῦται· λεπτύνεται. ἐπὶ τῶν ὀστέων τῶν γερόντων

ῥικνοτέρους· ἀσθενεστέρους

ῥικνοφυεῖς· τὰς στρεβλάς, καὶ πεπιεσμένας

ῥικνώσεαι· ῥυσωθήσῃ

ῥίμβαι· ῥοιαὶ μεγάλαι. ἄμεινον δὲ διὰ τοῦ Ξ ξίμβαι ⟨q. v.⟩

ῥίμβησις· ἀγκύλη τοῦ ὤμου. οἱ δὲ βραχίονα τοῦ ἱερείου

ῥίμφα (Ζ 511 al.)· ῥαδίως, εὐχερῶς. συνεχῶς. ἢ ταχέως

†ῥίμφια ⟨ῥίμφ' ἴαλαν?⟩· ῥαδίως ἔρριψαν

ῥινᾶν (Menand. fr. CCCXXVII)· ἐπὶ τοῦ ἐξαπατᾶν καταβουκολοῦντας

.ρίνεαι· αἱ μέλαιναι ἰσχάδες

ῥίνη· ἰχθύος δορά

ῥινηλάτην †ὄνον· τὸν καθικνούμενον τῇ ἀμῇ

ῥινόβατος (Ar. HA. VI 11)· ἰχθῦς ποιός

ῥινοβόλους ἀνέμους· ἢ τὰς διὰ τῆς ἐνέδρας φύσας

ῥινοδέψου· βυρσοδέψου

ῥινόκερως (Callixen. Ath. 201 C)· τὸ τετράπουν θηρίον. καὶ ποιὸς ὄρνις ἐν Αἰθιοπίᾳ [36. 37]

ῥινοπύλη (Polyb. XV 31, 10)· μικρὰ πύλη [39]

ῥινοτόρος (Φ 392)· ῥινοὺς διατορῶν, τουτέστιν ὅπλα καὶ φάλαγγας διακόπτων. ἢ βυρσοτόμος

ῥινούς (Δ 447)· βύρσας. δέρματα. ἀσπίδας

ῥινοχόος· χώνη

†ῥίνφα ῥήτρας· συνθήκας [44]

ῥινωτηρία· μέρος τι τῆς νεώς (Poll. I 86)

ῥιξικάζεται· ῥικάζεται. στροβεῖται

ῥίον (ι 190)· ἀκρωτήριον ὄρους

ῥίον Οἰναῖον· Οἰνώη τῆς Ἀργείας ὄρος χαλεπόν [49. 50]

Ῥῖπαι (Aesch. fr. 66 Alcm.)· ὄρη Σκυθικά· ὅθεν βορρᾶς ὁ ἄνεμος πνεῖ

COD. 93 ῥηχός ⟨cf. 162⟩ 95 ῥίενα 313 cf. ῥάζειν, βρίζειν 16 ῥεῖθρον ⟨10. 17 (φ)ρικν—?⟩ 18 ἱκανοί 22 στρύβλας 23 ῥυσωθήσει 28 τοὺς — καὶ β| 30 Cf. πελάγια ⟨31 ὄνθον?⟩ 32 |αστος 40 διὰ τὸ ῥίσκον 48 οἰνήναιον, οἰνοήτης ἀρτείας 51 Ῥίπαι

HES. 85 ῥητῷ (φ 445)· ὡμολογημένῳ. ἑσταμένῳ 87 ῥητῶς (I Tim. IV 1)· φανερῶς Ad 94 ἢ μάλα ⟨ῥεῖα μάλ'⟩ 96 ῥία μάλα (Boeot. Cret.)· εὐχερῶς πάνυ 97 ῥία φέροι (Ρ 70)· ῥαδίως φέροι 301 ῥίγειστα (Ε 873)· φρικωδέστατα 3 ῥιγηδανῆς (Τ 325)· φρικτῆς 5 ῥηγῖνος· ἀπειράγαθος ⟨196⟩ Ad 6 φοβερώτερον (Δ 325). χαλεπώτερον (Λ 405) 12 ῥίζαι (ι 390)· οἱ θέσεις τοῦ ὀφθαλμοῦ, καὶ πάντων φυτῶν 36 ῥινός (Ν 616)· δέρμα(τος) .... 37 ῥινόν (Ε 308)· τὴν βύρσαν. τὸ δέρμα 39 ῥινότερος (Φ 392)· τὸ ὅπλον .... 44 ῥινῷ (Η 248)· δέρματι, βύρσῃ 49 ῥίος ⟨—ον⟩· ἄκρα, κορυφή, ὄρος χαλεπόν, κρημνός 50 ῥίου (Ξ 154)· ἀκρωτηρίου

ῥίπεσ(σ)ι (ε 256)· ψιάθοις. πλέγμασιν ἐκ καλάμων
ῥιπή· ὁρμή [ad 53] ῥοπή [54. 55]
ῥιπίδιον· μέρος τῆς νεώς
ῥιπίζει (Ar. Ran. 363)· φυσᾷ, πνεῖ, πνοὴν πέμπει. ἀνακαίει
ῥιπίζεται (Com. an. XLVIII)· ἀνακινεῖται
ῥιπίζων· κινῶν
ῥιπίρ (Laced.)· ῥιπίς, τὸ πλέγμα, ἢ ἐκ σχοίνων πέτασος. Ἀττικοὶ δὲ ῥιπίδα (Ar. Ach. 888), ᾧ τὸ πῦρ καίουσι· καὶ τραπέζας οὕτω λέγουσι
ῥιπίς· τοῦ σκέλους τὸ ἀκροκώλιον [62]
†ῥίπον· μικρόν [64]
ῥῖπος· ἔδαφος πρὸς κοίτην
ῥίς· ῥίν. ῥώθων [67]
ῥίσκοι· εἰδός τι μυῶν
ῥίσσουσα· λυπουμένη ⟨313⟩
ῥίστρον· πτύον ⟨λι—⟩ εν
†ῥίψανεν· ἐρρίψανεν ⟨ῥῖψαν?⟩
ῥιχνοῦσθαι (Cret.?)· κινεῖσθαι ἀσχημόνως ⟨319⟩
ῥίψασπις (Ar. Nubb. 353)· ὁ ἐν τῷ πολέμῳ τὰ ὅπλα ῥίψας ἐκ φόβου, δειλός
ῥιψοκίνδυνος· παράβολος, τολμηρός, ἐπικίνδυνος (Poll. I 179)
†ῥόα· ῥεύματα
ῥοαί· ῥεύματα, ῥεῖθρα, πηγαί: ἱππόδρομος ⟨ῥοία⟩
⟨ῥοάς·⟩ τοὺς καλαμῶνας. πηγάς, χεύματα [78—80]
ῥόβιλλος· βασιλίσκος ὄρνις
†ῥόγαν· τὸν φονέα, τὸν αὐτόχειρα ⟨139⟩
ῥόγαν· ῥᾶγα (lacerta)
†ῥογεῖ· ὀργᾷ. ἀκμάζει. δαμάζει
ῥογεύς· βαφεύς
†ῥογία· ἀκέστρια
ῥογκιῆν· ῥέγκειν. Ἐπίχαρμος
ῥογοί (Heracleens)· σιροὶ σιτικοί, σιτοβολῶνες
ῥόδαμνοι (Aeol. Dor.)· κλῶνες, βλαστοί [90]
Ῥοδανός (Aristot. Meteor. I 13)· ποταμοῦ ὄνομα
ῥόδεα· ἐρυθρά
ῥόδεον (Eur. Med. 841)· εὔχρουν. εὐῶδες. εὐειδές
ῥοδῆ (Archil. fr. 28)· αὐτὸ τὸ δένδρον
ῥόδια· ὑπόδημα ἀνδρεῖον ⟨25⟩. καὶ ἀμπέλου εἶδος ⟨ῥοδωνιά⟩
ῥοδιακόν (Diphil. fr. I p. 377)· ποτηρίου καὶ ἐκπώματος εἶδος
ῥοδιάς· ποτηρίου εἶδος
Ῥόδιοι τὴν θυσίαν· ......
ῥόδιον (Ar. Lys. 943)· μύρον [400]
ῥοδόεντα (Eur. IA. 1298)· πυρρά [2]
ῥόδον (Pherecr. I 29 p. 300)· Μιτυληναῖοι τὸ τῆς γυναικός. καὶ τὸ σύνηθες
ῥοδωνιά (Cratin. p. 83)· ὁ τόπος, ἔνθα φύεται τὰ ῥόδα. καθάπερ καὶ ἰωνιά, ὅπου τὰ ἴα φύεται· καὶ κρινωνιά, ἔνθα τὰ κρίνα. δηλοῖ δὲ καὶ τὸ ἀναιδές ⟨cf. 395⟩
Ῥοδῶπις (Sapph. fr. 138. 148)· αὕτη γένει μὲν ἦν ......
ῥοήν (Plat. Theaet. 206 D)· ῥύσιν
ῥοθεῖ· ὁρμᾷ
ῥοθεῖν· ὁρμᾶν. τρέχειν. λέγειν. διώκειν
ῥοθιάζειν (Com. V p. 928)· ἐλαύνειν, ἀπὸ τοῦ ψόφου τῆς εἰρεσίας. οἱ δὲ τὴν ἀνακοπὴν τοῦ ὕδατος ῥόθον φασίν [10. 11]
ῥόθιον (Eur. Andr. 1096)· ταχύ, ὁρμητικόν
ῥόθον· τὸν ἀπὸ τῶν κυμάτων ψόφον
ῥόθῳ· ὁρμῇ μετὰ ψόφου
ῥοία· κυλίστρα τῶν ἵππων παρὰ τῷ ποταμῷ καὶ ψάμμῳ ⟨376⟩
ῥοίαγξ· φάραγξ
ῥοιβδεῖ· ῥοιζεῖ. διώκει. ῥοφεῖ ......
ῥοῖβδος (Soph. Ant. 1004)· ῥόγχος. ψόφος ποιός
ῥοιβδώδει· [μετὰ ἤχου ἀείδει, ὡς οἱ ποιμένες
..ιδαμός· ὁ ἀσπάραγος
ῥοιδμός· ποιὸς ψόφος
†ῥοίδνας· δάκνας ⟨431⟩

COD. 58 ἀνακλίνεται 61 |κόλιον 65 ῥίπος 66 ῥόθων 83 ῥώγαν 87 ῥογ-δ-κίην, ῥεγκεῖν 89 cf. ὀρόδ— et ῥαδ— 94 ῥόδη 97 ῥοδιᾶς 400 ῥόδιος 4 ἀναί 5 ῥοδόπς 19 ἀηδεῖ ⟨cf. Theognost. 24, 2⟩

HES. Ad 53 βολή (Π 589) 54 ῥιπῆς· ὁρμῆς (Μ 462). βουλῆς. ῥοπῆς 55 ῥίπῃ τ' ἄνοια (Π 589)· ὁρμὴ τοῦ ἄγαν ἐκτεταμένου 62 ῥιπιστά (Ierem. XXII 14)· διαπνεόμενα 64 ῥιπτάζων (Ξ 257)· ῥίπτων 67 ῥίσαντες (Α 3)· φιλονεικήσαντες ⟨ἐρι—⟩ 78 ῥοάων (Γ 5)· ῥευμάτων 79 ῥοβδεῖ· ἀναρριπτεῖ μετ' ἤχους ⟨ῥοιβδεῖ⟩ 80 ῥοβλεῖ· ῥοφεῖ. πνεῖ ⟨ἱαροβλεῖ⟩ 90 ῥοδανόν (Σ 576)· τρυφερόν 400 Ῥόδιος (Μ 20)· ποταμός, ὁ νῦν Δάρδανος 2 ῥοδοδάκτυλον (Greg. Naz. C. LXIII 163)· ῥοδόχρουν. ἀπὸ μέρους· καλόν 10 ῥόθειον· ῥεῦμα, κῦμα (ε 412), τὸ μετὰ ψόφου γινόμενον 11 ῥόθεον· τὰ αὐτά

ῥοιζεῖ· διώκει. ὁρμᾷ. τρέχει

ῥοιζηδόν (Nic. Th. 556)· σφοδρῶς ἠχητικόν

ῥοιζῆσαι (*K* 502)· ποιὸν ἦχον ἀποτελέσαι. συρίσαι

ῥοῖζος· ψόφος, ἦχος. ῥεῦμα σφοδρόν

ῥοιζοῦντος· ἠχοῦντος

ῥοίζωσον ⟨—ησον⟩· ἤχησον σφοδρῶς

ῥοικόν (Archiloch.)· σκολιόν, καμπύλον, σκαμβόν. ῥυσόν. ῥικνόν

Ῥοίκου κριθοπομπία· Ἐρατοσθένης ἐν τῷ ἐννάτῳ τῶν Ἀμαθουσίων (p. 231), βασιλέα τοῦτον αἰχμάλωτον γενόμενον, εἶτα ὑποστρέψαντα πρὸς ἑαυτόν, τῇ πόλει Ἀθηναίων κριθὰς ἐκπέμψαι φησίν

†*ῥοιλιαῖς*· δάκναις ⟨422⟩

ῥοῖσμός· ὁ τῶν ἵππων [ad 32]

ῥόμβος (Theocr. II 30)· ψόφος. στρόφος. ἦχος. δῖνος. κῶνος. ξυλήριον, οὗ ἐξῆπται σχοινίον, καὶ ἐν ταῖς τελεταῖς δινεῖται [ad 33] ἵνα ῥοιζῇ. τοῦτο αὐτὸ (καὶ *ῥύμβος* ἐκαλεῖτο). καὶ ἰχθῦς τις τῶν πλατέων. καὶ ὁ ἐν τοῖς δεσμοῖς γόμφος (medici)

ῥόμβῳ (Eurip.)· περιφορᾷ, κινήσει

ῥομβωτόν· ἐπίμηκες

ῥόμιξα· εἶδος ἀκοντίου ⟨rumex⟩

ῥόμος· σκώληξ ἐν ξύλοις

ῥομφαία (Phylarch.)· Θράκιον ἀμυντήριον, μάχαιρα, ξίφος, ἢ ἀκόντιον μακρόν

ῥομφάζει· βαστάζει (ὡς ῥομφαίαν)

ῥομφεῖς· ἱμάντες, οἷς ῥάπτεται τὰ ὑποδήματα ⟨cf. ὁρμοί⟩

†*ῥόνειν*· κρίνεσθαι

ῥόος· ῥοῦς, ῥύμη, ῥεῦμα (*Σ* 402?)

ῥοπαῖς· κλίσεσι

ῥοπαλίζει· στρέφει, κινεῖ ὡς ῥόπαλον

ῥόπαλον· βακτηρία, ῥάβδος

ῥοπή· κλίσις, νεῦμα [ad 46] δύναμις, βοήθεια [47]

ῥοπτίον· κλειδίον ⟨*ῥοπτίον*· ἠχείδιον?⟩

ῥόπτρον· ῥόπαλον (Eur. Hipp. 1172). ἢ τὸ ἐπικαταπῖπτον τῆς παγίδος καὶ συλλαμβάνον (Archilich. fr. 88b). καὶ τὸ ἐπίσπαστρον τῆς θύρας· ἔνιοι κρίκον (Lysias). καὶ τὸ αἰδοῖον. καὶ τὸ καμπύλον ξύλον

ῥοταρία· τορύνιον

ῥουβοτός (Maced.?)· ῥόφημα

ῥούγχος (Boeoti)· πρόσωπον

ῥουδόν (Lacones)· ῥευστικῶς

†*ῥουμάζεται*· φρίττει

†*ῥοῦτο*· τοῦτο. Μακεδόνες

ῥοφεῖ· καταπίνει. ἀναλαμβάνει [57]

ῥόφιον· κύκα ⟨κῦμα?⟩

ῥόφια (Aeol.?)· κύματα. ἢ *ῥόθια*

ῥόχανον· σκυταλίδα, ἀποραχτήριον, ἢ ἀπορηγλιῶσι τὸ μέτρον

ῥοχθεῖ (*ε* 402 *μ* 60)· ἠχεῖ, ψοφεῖ. κλύζει

ῥοῶδες (medici)·

ῥύαξ· περικεφαλαία. πύργος. ῥεῦμα ὑδρηγόν (Thuc. IV 96 schol.)

ῥυάχετον (Ar. Lysistr. 170)· θόρυβον. ἢ τὸν ῥέοντα ὀχετόν

ῥύβδην (Hipponact. fr. 34 Aristot. HA. IX 40)· [ad 65] ἢ ταχύτητι. ἢ μετ' ἤχου σφοδροῦ

ῥυγχιάζειν· †διαστρέφειν. ῥογχάζειν

†*ῥυδεῖ*· περιπλέκεται

ῥύδην· εὐκόλως, ἢ ἀθρόως *ἐπιτρέχοντες*

?*ῥυδωμένην*· ῥοφωμένην

†*ῥυδία*· ῥοά, ἢ ῥοιά

ῥυδὸν ἢ ῥύδην (*ο* 426)· χύδην, δαψιλῶς, ῥευστικῶς, σφοδρῶς

ῥύεινα· ἄρνα. Κύπριοι

ῥύεται· [ad 73] εἴργει. σκέπει. [ad 73] κωλύει

†*ῥύζα*· βία. ἢ τοῦ τόξου τάσις ⟨517⟩

ῥύζειν· ὑλακτεῖν ⟨hirrire⟩

ῥύζουσι (Hermipp.)· διαμωκῶνται. μισοῦσι. γογγύζουσιν

ῥυζῶν· πενθῶν· διὰ τὸ τοὺς πενθοῦντας ἄναυδόν τινα ἦχον προφέρειν

†*ῥυῆαν*· κατόχον †πιπάζεσθαι. καὶ *ῥυὰ* ὁ ἵππος [79]

ῥυηφενής· πλούσιος

ῥυθῆναι· †ἐρεχθῆναι, ὃ δηλοῖ ἐξαιρεθῆναι. ἢ ξυσθῆναι ⟨cf. ῥυστόν⟩

ῥυθμίζει· κανονίζει

ῥυθμοποιός· ὁ μέλη καὶ ῥυθμοὺς ποιῶν

ῥυθμός· κανών. μέτρον. τρόπος. μέλος εὔφωνον. ἀκολουθία. τάξις. (ἡ ἐμμέλεια ⟨496⟩) σύγκρισις

COD. 29 *ῥυχνόν* 33 *ἐναροίζη τοῦτο αὐτῷ* 37 *ῥόμοξ* 38 *ἐράκιον* 50 *τὸ ῥίνιον* ⟨cf. ῥατάνα. βρατάνα⟩ 52 *ῥουγός* 53 *ῥευστικόν* 60 *παρεχτήριος ἢ ἀποριχοῦσι* ⟨cf. ῥάγανον, ἐπιρρόγανον⟩ Post 62 *ῥεῦμα ὑδρηγόν* 68 *ῥυδεῖν* ⟨78 *ἱππάζεσθαι καὶ ῥοία ὁ ἱππόδρομος?*⟩ 80 |*φένης*

HES. Ad 32 *ῥισμός* Ad 33 *Ῥομελίας* (IV Regg. XV 25)· *μετέωρος περιτομῆς* Ad 46 *ῥάβδος* 47 *ῥοπήϊα* (*N* 199)· *σύμφυτος τόπος. καὶ ῥοπήρια ὁμοίως* 57 *ῥοῦν* (Siracid. IV 29)· *ῥεῦμα* Ad 65 *δαψιλῶς* Ad 73 *σώζει* (*K* 417) *φυλάττει* (*K* 259) 79 *ῥυήσονται* (Zachar. XIV 12)· *φθαρήσονται. ῥεύσουσιν*

ῥυκάνη· †ἀλθητήριον. †χειρομήριον. ἀμυντήριον. τεκτονικὸν ἐργαλεῖον

ῥῦμα· †τὸ ἐλαφρὸν καὶ πυκνόν. ὁλκός ⟨temulcum⟩. ῥύμη ⟨impetus⟩. φυλακή, ἀπὸ τοῦ ῥύεσθαι (Soph. Ai. 158)

ῥυμβονᾶν· διασκορπίζειν

ῥύμβος (Eupol. fr. XV p. 452)· δῖνος

ῥύμη (Eur. Rh. 64)· ὁρμή

?ῥυμβάδας· λάϊγγας τὰς διεσχισμένας

?ῥύμη· τάξις ἔρημος

ῥύμιγξ· χείμαρρος

ῥύμμα (Nic. Alex. 96)· σμῆμα. καὶ ἡ σμηματοδοχίς, σμηματοθήκη

ῥύμματα (Plat. Civ. 429 E)· τρίμματα. σμήγματα

ῥυμός (Z 40)· τοῦ ἅρματος τὸ ἐκτεταμένον ξύλον παρὰ τοὺς ἵππους ἕως τοῦ ζυγοῦ μέσον ἀπὸ τοῦ ἄξονος, ὅ τινες στήμονα ⟨temonem?⟩ καλοῦσιν. καὶ σταθμίον (τι Rhodii) [96]

ῥυ(μο)τομεῖται· εἰς ὀρθὸν κόπτεται

ῥυνδάκη (Ctesias)· ὀρνίθιον ἡλίκον, περιστερά [99. 500]

ῥυπαίνει· σμήχει. καθαρίζει. πλύνει (?)

ῥυπαρόν· αἰσχρόν

ῥυπαρός (Plat. Parm. 130 C)· περίψηφος. αἰσχροκερδής

Ῥύπας (Aesch. fr. 394)· τοὺς ἐν τῇ Ἀρκαδίᾳ Ἀχαιούς

ῥυπόεν· αἰσχρόν. αἰσχροκερδές

ῥύπος (Ar. Lysistr. 1199)· ῥύπον Ἀττικοὶ τὸν εἰς τὰς σφραγῖδας κηρὸν λέγουσι

ῥυποκονδύλους (Hipponact. fr. 134 Archil. fr. 193)· ἀεὶ ῥυπῶντας καὶ ῥυπαρούς

ῥυππαπαί (Aristoph.)· ναυτικὸν ἐπιφώνημα

ῥύπτει· σμήχει. πλύνει

?ῥύπται (Iones)· οἱ ἀναρροφοῦντες ⟨544. 546⟩

ῥυπτικόν (Aristot. de sens. c. 5)· σμηκτικόν. καθαρτικόν [12. 13]

†ῥύσε· λυτρωσαμένῳ

ῥύσια (Λ 673)· ἐνεχυράσματα, σωτήρια, λύτρα, λεηλασία

ῥυσιάζει· ἀντενεχυράζει

ῥυσίαν βολάν· τὴν τῶν τόξων τάσιν· ἀπὸ τοῦ ἐρύσαι, ἢ τοῦ ῥύσιον ⟨474⟩

ῥυσίλλας· τὰς ῥυτίδας

ῥυσίοις ἐνταφαῖς· ἑλκυσταῖς, ὑπὸ τῶν †λοιπῶν γινομέναις

ῥύσιον (Soph. OC. 858)· ἑλκυστόν. λύτρον, τίμημα, ἢ τὸ ἕνεκα ἐνεχύρου κατεχόμενον, παρὰ τὸ ῥύεσθαι τὸν κατεχόμενον

ῥύσις· φιάλη χρυσῆ (Ath. XI p. 496 E). καὶ ξύλινόν τι σταθμίον. ἡ ἀπόρροια

ῥυσοῖσι (Eur. Tro. 491)· ῥερυσηκόσι, γεραιοῖς

ῥυσμοῦσθαι (Democr.)· συγκρίνεσθαι

ῥυσοῦται· γηράσκει, γεγήρακε

ῥυστάζοντες (π 109)· [ad 25] ἕλκοντες. μεθ' ὕβρεως σπαράσσοντες [26]

ῥυστόν· δόρυ. Κρῆτες ⟨481⟩

ῥυτά· τὰ στέμφυλα ⟨βρύτεα⟩. καὶ πήγανον λευκόν ⟨Dor.⟩. ἢ πόπανα ⟨Cratin. p. 169⟩. ἢ εἶδος φιαλῶν

ῥυτά· ἱερὰ τὰ ἡπατοσκόπα. ἢ τὰ ἑλκυστά

ῥυτήρ· ἡνίον, λῶρος, ἱμάς, ἑλκυστήρ

ῥυτῆρες (Apoll. lex.)· ἡνίαι, ἱμάντες τῶν ἵππων, οἷον ἑλκυστῆρες

ῥυτῆρι κρούων· ὁ Κύκνος (Soph. fr. 458) λέγει·

καὶ μὴν ὑβρίζων αὐτίκ' ἐκ βάθρων ἐλῶ ῥυτῆρι κρούων ⟨γλουτὸν⟩ ὑπτίου ποδός·

ἔνιοι δὲ οὐχ ἐπὶ τοῦ Κύκνου, ἀλλ' ἐπὶ τῶν πολεμίων, ὥστε εἶναι τὸν λόγον· φεύγοντας αὐτοὺς τῷ ὑπτίῳ ποδὶ τοὺς ἰδίους γλουτοὺς ποιήσω τύπτειν

ῥυτῆρος (Soph. OC. 900)· ὁ λόγος· καθάπερ ἁρματεύει ἵππος. ἐκ μέρους γὰρ τῶν ποδῶν τοῦτο βούλεται δηλοῦν. Ῥυτῆρας δὲ ἔλεγον τὰς ἡνίας, ἤτοι χαλινούς [~~34~~—36]

ῥῦτο· ἐρύσατο, ἔσωσεν

ῥυτοί· ἑλκυστοί. λίθοι μεγάλοι, διὰ τὸ μέγεθος οὐ δυνάμενοι βασταχθῆναι

ῥυτόν· ποταμηδόν ⟨ῥυδόν?⟩. πολύ, μέγα. ἑλκυστόν

ῥύτορας· τοὺς θαλλοὺς τοὺς καθαρτηρίους

ῥῦτρα· λυτήρια, σωτήρια, σῶστρα

†ῥύτρυς· χύτας

COD. 86 ῥύμα ⟨ῥυμινά, ἐλαφρὰ πυκνὰ Theognost. 23, 31⟩ 90 λαιγγάστας 93 ὁματοθήκη 95 περὶ — στήμονα καὶ σταθμίον καλοῦσιν 507 ῥυποχαν δλ. 11 σμι| ⟨21 χρυσοῖς⟩ 22 γερεοῖς 32 μὴ — ἔλω — πόλος 37 ῥύτο 41 ῥύτρα

HES. 96 ῥυμός· τάξις. ἡ ἐμμέλεια 99 ῥύονται (Ι 396)· σώζουσιν 500 ῥύπαν (ζ 93)· ῥύπον, πίνον 12 ῥῦσαι· φύλαξαι (Ω 430). ῥυτίδας ἔχουσαι ⟨ῥυσαί Ι 503⟩ 13 ῥύσατο (ψ 244)· ἠλευθέρωσεν, ἐλυτρώσατο (Greg. Naz. C. XVIII 18) Ad 25 ῥυσιάζοντες· ἐνεχυριάζοντες 26 ῥύστης (Ps. LXIX [LXX] 6)· σωτήρ, λυτρωτής 34 ῥυτῆρσι (Π 475)· λώροις, ἱμᾶσι 35 ῥυτίδα· σπίλον (Ephes. V 17) 36 Ῥύτιον (Β 648)· πόλις

ῥύτωρ (cf. Aesch. Sept. 318)· σωτήρ. βοηθός. ὁλκεύς

ῥύψαι· σμῆσαι, σμῆξαι. πλῦναι. λοιδορῆσαι. ῥοφῆσαι (Iones). καθᾶραι

ῥύψις (Plat. Tim. 65E)· κάθαρσις, καθαρισμός

ῥυψόμεθα· καθαρισόμεθα. ῥοφησόμεθα

ῥωγάδες (cf. Nic. Th. 389)· κρημνοὶ διεσχισμένοι

ῥωγαί· ῥήξεις. καὶ ἀπορρωγαί, ἀπο(ρ)ρήξεις

ῥωγαλέα (ν 435)· διεσχισμένα. (κατερρηγμένα) [50]

ῥῶγας· οἱ μὲν τὴν ὀρσοθύραν· οἱ δὲ τὴν ἐκτομάδα. οἱ δὲ τὰς θυρίδας· ἄλλοι τὰς κλίμακας, καὶ αὐτοὺς τοὺς βαθμοὺς τῶν κλιμάκων. ῥωγάδας·

ἀνὰ ῥῶγας μεγάροιο (χ 143)

ῥωγμός· †ὄγκος. κοῖλος τόπος. ῥῆξις ⟨594⟩

ῥώδιγγες· πληγαὶ ὕφαιμοι διακεκομμέναι. οἱ δὲ μώλωπες ⟨591⟩

ῥῳδιόν (Hipponact. fr. 63)· τὸν ἐρῳδιόν

ῥώεσθαι· σπεύδειν. ὁρμᾶν

ῥώεται· σπουδάζει

ῥώθυνες (Aeoles)· μυκτῆρες

ῥώκομαι· ὀργίζομαι. λυποῦμαι. Λάκωνες

ῥώκωσα· πρίουσα τοὺς ὀδόντας

ῥῶμα· ῥώμην, ἰσχύν. ὅρμημα. ὡς γνῶμα γνώμην

ῥωμαλέος· ἰσχυρός, ἀνδρεῖος. ὑγιής. γενναῖος. θρασύς [ad 62]

ῥώμη· δύναμις, ἰσχύς. ὄγκος. ὑγεία. ἀνδρεία [63]

ῥώνιξις· ποταμίας νεὼς εἶδος

ῥ' ὤνιος· ἄξιος. πλούσιος [66]

ῥώξ (Archil. fr. 190)· κόκκος. ἢ εἶδος φαλαγγίου (Nic. Th. 716)

ῥώοντο (Σ 411)· ὥρμων, ἐρρωμένως ἐκινοῦντο, ὁρμὴν ἐλάμβανον

ῥωπάς· εἶδος φυτοῦ ἱμαντώδους

ῥῶπες (Hom.)· τὰ δασέα τῶν φυτῶν. καὶ θαμνώδης ὕλη. ἢ εἶδος λύγου [71]

ῥωπεύειν· ῥωποπωλεῖν. ἤδη δὲ καὶ ἐπὶ τοῦ μεταβάλλεσθαι ⟨cf. ἐρωπ⟩ [73]

ῥωπικόν· τὸ ἐπίκτητον καὶ ὡραϊσμένον

ῥωπικά· τὰ παρεμπορεύματα

Ῥωπῖτις· τῶν τριττυῶν τις καὶ πατριῶν οὕτω καλεῖται [77]

ῥωποπώλης· ὁ ῥῶπον πωλῶν. Ῥῶπον δὲ ἔλεγον τὸν λεπτὸν καὶ ποικίλον φόρτον

ῥῶπος (Aesch. fr. 256)· ῥωπικόν. ἀντὶ τοῦ οὐδενός ἄξιον. ὁ γὰρ ῥῶπος λεπτὸς φόρτος, ἤγουν μίγματα, χρώματα, ὅσα ζωγράφοις, βαφεῦσι, μυρεψοῖς χρησιμεύει

ῥωρός· σφοδρός, καὶ τὰ κάρτα ....

ῥωσαμένω· ῥωσάμενοι. δυϊκῶς

ῥώσασθαι (cf. Call. Del. 175)· ἐπιθέσθαι, ὁρμῆσαι, ἐπείγεσθαι

ῥῶσθαι· σπουδάζειν

ῥωσθείς (Plat. Symp. 210 D)· ἰσχύσας, ὑγιάνας τὴν διάνοιαν

ῥῶσις (Theophr. de vent. § 23)· ὑγεία

ῥωστήρ· σφῦρα ⟨cf. ῥαιστήρ⟩

ῥωστήριον· φρενῶν (Trag. inc.) κίνημα, καὶ παρορμητικόν ⟨573⟩. Ῥῶσαι γὰρ τὸ εἰς ἀλκὴν παρορμῆσαι

ῥωστικόν· ὁρμητικόν

ῥῶστρον· ἔμβολον

ῥῶται· ἵσταται

ῥώτιγγες· πληγαὶ ὕφαιμοι διακεκομμέναι ⟨553⟩

ῥώχειν· βρύχειν τοῖς ὀδοῦσι ⟨559⟩

(ῥωχμάδας·) ῥωγάδας. ῥαγάδας γῆς

ῥωχμοῖς· ῥήξεσιν, ἢ ῥηγμοῖς

ῥωχμός (Ψ 420)· βάθος γῆς

ῥώψ· βοτάνη ἁπαλή

Σ

Σᾶ (Eur. fr. 762)· σῶα, ὑγιῆ, ἀκέραια. καὶ ἀντωνυμία δευτέρου προσώπου (γ 92)

(σαᾶμα [Lacones]· σησάμη) cf. 115

σαβάζειν· εὐάζειν, βακχεύειν [3. 4]

Σαβάζιος (Ar. Lys. 388)· ἐπώνυμον Διονύσου. οἱ δὲ υἱὸν Διονύσου· καὶ Σάβον ἐνίοτε καλοῦσιν αὐτόν. Φρὺξ δὲ ὁ Σαβάζιος

COD. 44 σμῖξαι 47 ῥογάδες 49 ῥωγ. κατερρηγκέα 51 ῥώγας — ἀναρώγας 59 ῥωκῶσα 63 cf. ἐπιρρώπια 65 ῥώνιος 67 σφαλ| cf. ῥόγαν 68 ὥρμουν 74 ὡραῖον 76 ῥωπῆ τις — τριπτῶν 79 ἄριος. ὁ γὰρ λεπτὸς ῥῶπος ἤγουν ὁ φόρτος μίγματα 80 cf. ῥᾶρος 85 cf. ἐπίρρωσις 93 ὁρμηστικόν Σ 5 σαβὸν

HES. 49 ῥωγαλέον (Β 417)· διερρωγότα. κατατετρυμμένον. ῥακώδη Ad 62 ῥωώδης 63 ῥώνια· φρύγανα ⟨ῥωπήϊα⟩ 66 ῥώννυσιν (LXX)· ὑγείαν παρέχει 71 ῥωπήϊα (Ν 199)· τόπος, ἐν ᾧ οἱ ῥῶπες φύονται. ἢ οἱ σύμφυτοι τόποι 73 ῥωπητήριον· παρορμητήριον ⟨ῥωστ—⟩ 77 ῥωποπῶλαι (Nehem. III 31. 32)· μυροπῶλαι Σ 3 σαβά (Genes. X 28)· αἰχμαλωσία 4 σαβέκ· ,ἐν φυτῷ σαβέκ' (Genes. XXII 13). βάτος

σαβακός (Hippocr. II p. 210 K)· ὁ σαθρός. Χῖοι
σαβακτίδες· ὀστράκινα ζῴδια
σαβακῶς· αὐστηρῶς, ξηρῶς ⟨261⟩, τραχέως
σαβάξας· διασκεδάσας, διασαλεύσας
σαβαρίχην (Teleclid. fr. XXI)· τὸ ......
†σάβειρος· σάβειρος, σάβειος, κόραξ
†σαβῆρον· τὸ δακτύλιον
σάβηττοι· κώνωπες ⟨1316⟩
σάβος· βακχεία
σάβυττος· εἶδος ξυρήσεως εἰς καλλωπισμόν· πότερον δὲ τοῦ πώγωνος, ἢ τῆς κεφαλῆς, ἄδηλον. τινὲς δὲ τὸ γυναικεῖον
σάγαρις· πελέκιον μονόστομον. †φαρέτρα. ἄροτρον (Xen. An. IV 4, 16 Herod. VII 64)
?σάγανα· σκεπάσματα. περιβόλαια [18—22]
σαγγάδην (Persae)
(Σαγγάριος [Γ 187]· ποταμὸς Λυδίας καὶ Φρυγίας)
σάγδας (Aristoph. p. 1027)· εἶδος μύρου. ἢ ψάγδας ⟨q. v.⟩
σάγη (Menand. et Trag.)· ἡ ὅλη πανοπλία. ἢ περιβόλαιον, σκέπασμα
(σάγην·) τὸν θύλακον· ἄλλοι δὲ σάκταν λέγουσιν ὁδοιπορικὸν θύλακον
σαγηνεύειν (Herod. VI 31)· θηρεύειν. αἰχμαλωτίζειν. ἢ ἁλιεύειν
σαγηνεύσαντες (Herod. III 149)· τοὺς πολιορκηθέντας δικτύοις ἔθος .... †οἷς καὶ σαγηνεύειν τοῦτο Ἕλληνες
σαγήνη· πλέγμα τι ἐκ καλάμων εἰς θήραν ἰχθύων [Λάκωνες
†σαγείρετον· μετακλέπτην
σαγίς· πήρα
†σαγλῶδες· πλαδαρὸν σῶμα
σάγμα (Eur. Andr. 617)· τὸ ἔλυτρον τῆς ἀσπίδος
σάγος· μέρος τι τῆς πανοπλίας
σάγουρον· γυργάθιον
Σάγραι· ἔθνος Αἰθιόπων ⟨251⟩
†σαγροῖς· κοπίς. ἢ πέλεκυς

σαγύριον· ἄρτου κλάσμα ⟨σάγυρι?⟩
σάθα· μόρια [39]
σαθαρυγά· ταραχή [41]
σάθη (Archil. fr. 95)· τὰ ἀνδρεῖα ἀναγκαῖα
σαθρά· ἀσθενῆ. κεκλασμένα
σάθραξ· φθείρ
σάθων (Teleclid.)· ὑποκόρισμα ἐπὶ παιδίων ἀρρένων, ἐπὶ τοῦ αἰδοίου [46]
†σαικίς· δειλός ⟨480⟩ [48. 49]
σαικωνίσαι (Ar. Plut. 681)· διασαικωνί(σαι, τὸ κινηθῆναι ἁπαλῶς)
σαίνει· κολακεύει, προσηνεύεται. τινάσσει. ἀσπάζεται. θωπεύει [52]
†σαινικρίζει· ἐκτρέφει
σαίνουροι καὶ σαινουρίδες· οἱ τὰς οὐρὰς συνεχῶς κινοῦντες ἵπποι καὶ κύνες ⟨176. 513. 1261⟩
Σάϊοι· πολέμιοι. νεκροί. καὶ ἔθνος, οἱ πρότερον Κίκονες (Archil. fr. 6) [56]
σαίρει· κοσμεῖ, φιλοκαλεῖ, καλλύνει
σαίρειν· σαροῦν, κοσμεῖν
†σαιρός· σαρός
†σαῖς· κοῦρος, κάρος
Σαισαρία· ἡ Ἐλευσὶν πρότερον
σαιστός· ἐλαία θλαστή ⟨56⟩
Σακάδ(ε)ιον· εἶδος μουσικοῦ ὀργάνου
Σάκαι (Herod. VII 64)· οἱ Σκύθαι
σάκαια (Ctesias)· ἡ Σκυθικὴ ἑορτή
σάκαν· τὸ τῆς γυναικός
Σάκας (Ar. Av. 30)·

ἡμεῖς γάρ, ὦ 'νδρες οἱ παρόντες ἐν λόγῳ,
νόσον νοσοῦμεν τὴν ἐναντίαν Σά(κᾳ)

οὕτω δὲ προσαγορεύει διὰ τὸ ξένος εἶναι· οἱ γὰρ Σάκες Θρᾷκες
Σάκας ἀφικνεῖ (Cratin.) [69. 70]
σακέσπαλος (Ε 126 Call. Iov. 71)· πολεμιστής
σάκε' ὤμοισι κλίναντες (Λ 592)· κεραμιδώσαντες
σακκίζειν· ἐπὶ τοῦ ἐκκενῶσαι διὰ κλοπὴν τοὺς σάκκους· †ὁποῖόν φασι τοῖς ἐργάταις [74]

COD. ⟨6 Κῷοι?⟩ 9 διακευάσας 12 ἄβηρος· δάκτυλος Cyr. Dr. 15 ξυρῆς 23 σαγάδην Post 23] 25b 36 κόνις 38 μοίρα 40 σαθάρυγα, ταραχή 42 σάθει 45 cf. ἀνδροσάθων ⟨48 δοῦλος Boeotice?⟩ 50 σαικωνῆσαι, διασαικώνη .... (cf. 46) 55 σαῖοί 64 σακαιοί 65 σακαία 67 σάθρες 68 σάκασα· σαφήνεια Post 73] ὡσεὶ — λέγει

HES. 18 Σαγάριος (Γ 187)· ποταμὸς Λυδίας καὶ Φρυγίας 19 σαραβάρια (Antiphan. III p. 115)· βρακία ⟨190⟩ 20 σαδδαεί (Ezech. I 24)· εἰ κακοῦ ⟨ἱκανοῦ⟩ 21 σαβαώθ (צבאות)· στρατιῶν 22 σαβαώθ· παντοκράτωρ 39 σαθεύει· θάλπει ⟨στα—⟩ 41 σάθεα· τὰ ἀσθενῆ ⟨43⟩ 46 σαί· τὸ κινηθῆναι ἁπλῶς 48 σαῖκτας· θύλακας, μαρσίππους. ἔνιοι αὐλοθήκας ⟨82⟩ 49 σαίκουλουμ· χρόνος, σάκκος. Ῥωμαῖοι 52 (σαίνεται 1 Thess. III 3·) κινεῖται, σαλεύεται, ταράττεται 56 σεπτὸς ἢ σεπτή· ἐλαία θλαστή ⟨62 et Pausan. II 28, 2⟩ 69 σακέλα· ὅπου τὸ χρυσίον τίθεται 70 σακέλιον· ὁμοίως 74 σάκκινον· λεπτόν, ἀσθενές ⟨σύκινον⟩

σακκινόσυκοι· δασύπρωκτοι
σακοδερμιστής (Soph. fr. 573)· ὄφιν σάκος ἔχοντα. οἱ δὲ σκώληκα, παρ' ὅσον δερμιστὴς οὗτος. βέλτιον δὲ τὸ(ν) χαλκοῦν ἔχοντα δέρμα νοεῖν .... (ὡσεὶ ἔλεγε χαλκοδερμιστής. τὰ γὰρ σάκη ἐπίχαλκα λέγει)
σάκοιτοι· οἱ ἱστῶντες τὸν κέραμον ⟨1054⟩
σάκος· ἀσπίς. ἀφ' οὗ καὶ οἱ νεώτεροι σάγην τὴν πανοπλίαν φασί
σάκος αἴγειος· ἀντὶ τοῦ τεῦχος αἴγειον. θέλει δὲ εἰπεῖν τὴν πήραν, κατὰ μετάληψιν [80]
σάκταρον· τοῦτο ἐμφερές ἐστι κόμμει, γεννώμενον ἐν τῇ Ἰνδικῇ, διαλυτικόν
σάκτας (Ar. Plut. 681)· ὁ θύλακος ⟨25ᵇ 48⟩
σακτῆρος· θυλάκου. ἔλεγον δὲ καὶ σάκταν
σακτός· ὁ τεθησαυρισμένος. ὁ πολυχρόνιος, καὶ ἤδη ἀποκείμενος. καὶ χιτῶνος εἶδος. καὶ θύλακος
σακυνδάκη· ἔνδυμα Σκυθικόν
σάκωσε (Dor.)· κατέκλεισεν
σάλα (Aeschyl. fr. 312)· φροντίς. βλάβη ⟨90⟩
Σαλαβακχώ (Arist. Eqq. 765)· πόρνης ὄνομα. ἀπὸ δὲ ταύτης καὶ τὰς καταφερεῖς εἰς τὰ Ἀφροδίσια οὕτως ἔλεγον Ἀττικοί
σαλαβάρ· μάγειρος. Λάκωνες
σαλάβη (Soph. fr. 985)· [ad 90] θύρας ὀπή ⟨101. 137⟩ [ad 90]
σαλάβους· θυρῶν ὀπάς
σαλαγεῖ· ταράσσει. ἡ γὰρ φροντὶς σάλα λέγεται
σαλαγή· βοή
σάλαγξ· ἰχθῦς †ἀγαθός. καὶ μεταλλικὸν σκεῦος
(......) ὡσεὶ ἔλεγε σιδηροπλά(σ)της
σαλαΐζειν (Anacr. fr. 167)· κόπτεσθαι
σαλαϊσ(μός)· κωκυτός
σαλακύρων· εὐήθων
σαλάκων (Aristot. 1221, 35)· ὁ πτωχὸς ἀλαζών
σαλακωνία· ἡ ἐν πενίᾳ ἀλαζονεία
σαλακωνίσαι· σαλακωνεῦσαι. ἔλεγον τοὺς διαθρυπτομένους σαλάκωνας· ἀπὸ τοῦ ἁβρῶς καὶ μετὰ θρύψεως βαδίζειν. ὁ δὲ Θεόφραστος σαλάκωνά φησιν εἶναι τὸν δαπανῶντα, ὅπου μὴ δεῖ

σαλάμβη (Soph. fr. 985. 6)· ἡ ὀπή, δι' ἧς τὸ σέλας βαίνει. ἡ πύλη. καπνοδόχη. θυρίς ⟨90. 137⟩ †ἡ τροφός
Σαλαμβώ· ἡ Ἀφροδίτη παρὰ Βαβυλωνίοις
Σαλαμίν· νῆσος
(Σαλαμινία (Ar. Av. 147)· μία τῶν ἱερῶν νεῶν
Σαλαμίνιος (Ar. Eccl. 38)·
σαλάννη· φαρέτρα
σαλαχθέν· σεισθέν
σαλάξαι· κατακλύσαι. κινῆσαι
σαλέη· σάλη. βλάβη
σαλεύειν· ῥιπτάζεσθαι
σαλητόν· Σοφοκλῆς Ἀνδρομέδᾳ (fr. 123). Ἀντίπατρος βαρβαρικὸν χιτῶνα. οἱ δὲ καὶ μεσόλευκον (Poll. VII 61) αὐτὸν εἶναί φασι
σαλία· πλέγμα καλάθῳ ὅμοιον, ὃ ἐπὶ τῆς κεφαλῆς φοροῦσιν αἱ Λάκαιναι. οἱ δὲ θολία
†σαλιβάσσα· τῇ θαλάσσῃ ἀπελθούσῃ [113]
†σαλιᾷ· ἀρκεῖ ⟨129⟩ [15]
†σάλλα· δρυσοφύουσα
†σάλλινον· φρόντισμα
Σάλμοξις (cf. Herod. IV 94)· ὁ Κρόνος. καὶ ὄρχησις. καὶ ᾠδή
Σαλμυδησός (Soph. Ant. 969)· αἰγιαλὸς περὶ τὸν Εὔξεινον πόντον
σάλος· φροντίς, ταραχή. κλύδων, καὶ ἡ τῆς θαλάσσης κλύδωνος κίνησις
σαλοῦσα· φροντίζουσα
σάλπη· ἰχθῦς ποιός, ὃν καὶ βοῦν καλοῦσιν
σαλπιγκτής· ὁ τῆς σάλπιγγος φωνοβόλος
σάλπιγξ· †σιγηνοσάλπιγξ. ἀντὶ τοῦ κῆρυξ. τινὲς δὲ ὄρνιν ποιόν. καὶ ὄργανον πολεμικόν. καὶ θαλασσίαν σάλπιγγα. παρὰ Ἀρχιλόχῳ (fr. 191) δὲ τὸν στρόμβον. ἐκδέχονται δὲ καὶ Σάλπιγγος Ἀθηνᾶς ἱερὸν παρὰ Ἀργείοις
σαλπι(σ)τής· ὀρνεόν τι
σαλυγά· ἡ συνεχὴς κίνησις ⟨v. ψαλίς⟩
σαλυγήν· τὴν γινομένην κίνησιν ἐκ τῆς καταφορᾶς τοῦ ἀτράκτου οὕτω καλεῖσθαί φασι
†σάλω· ἀρκεῖ. παρὰ Ῥίνθωνι ⟨114⟩
σαλῶος· ὁ πεφροντισμένος. ἡ γὰρ φροντὶς σάλα

COD. ⟨75 σακχόκυσοι?⟩ 75 |πρακτοι 76 σακκ| — σάκκη 78 σάνη 79 αἴγειον 81 κώμη, γενόμενον 92 σαλάγη 99 ἀλαζωνεία 100 σαλακῶνα φησὶ 7 καταχλῆσαι 8 σαλέης, ἅλη 10 ἀντὶ πατρὸς ἢ ⟨cf. σάρητον⟩ 20 σαλμύδης 22 σάλουσα 25 σάλπιγγας, Ἀθ| 27 |υγα 28 |υγην

HES. 80 σακοφόροι (Eur. Phoen. 139)· ὁπλοφόροι Ad 90 καὶ φροντίς ⟨σάλα⟩ 113 σάλιξ· ἰτέα. Ῥωμαῖοι 15 σάλμα ⟨σαᾶμα⟩· σησάμη

σᾶμα (Theocr. I 125)· μνῆμα, Δωριεῖς δὲ στοιχεῖον ⟨155⟩

σάμαινα· εἶδος νεώς, ὑὸς ἔχουσα προτομήν

σαμαίνεται· σφραγίζεται. παρὰ Ἐπιχάρμῳ

σαμάκια· κοσμαρίου εἶδος

σάμαξ (Lysippus)· ὕλη τις δρυώδης, οἷον βούτομον. οἱ δὲ φορμόν (Eratosth.). καὶ οἱ πλείους (σάττουσιν) ἀπὸ τοῦ σάττεσθαι. ἔνιοι δὲ τὴν βούτομον καλεῖσθαι σάμακα. καὶ τοξικὸς κάλαμος. ἀφ' οὗ τὰ λεπτὰ συνάγοντες στιβάδια ποιοῦσιν

†σαμβά· ὀσφῦς. ὀφρῦς [37]

σάμβαλα (Sappho, Callim.)· σάνδαλα ⟨415⟩

σαμβύκη· οὐ μόνον τὸ μουσικὸν ὄργανον, οὗ μέμνηται Ἰόβας· ἀλλὰ καὶ πολιορκητ(ικ)όν, οὗ Βίτων

σάμεα· τὰ ἐν ταῖς ᾤαις τῶν ἱματίων παράσημα. Λάκωνες

σαμένορα· τὸν βραβευτὴν τῶν σφαιριζόντων

σάμερα· σάμερος. σήμερον

σάμερον (Call. LM. 45)· σήμερον, νῦν [Ταραντῖνοι [44]

Σαμία· εἶδός τι ἀμπέλου

Σαμία γῆ· ἰατρικὸν μῖγμα, ὅμοιον τῇ †ἱερᾷ τριαδικῇ

Σαμιακὸς τρόπος (Cratin. fr. XI p. 24)· δύο δηλοῖ ἡ λέξις· ἓν μὲν τὸ ἐπὶ διαβολῇ τῶν Σαμίων θρυλλουμένων ὡς κατεαγότων· ἕτερον δέ, ὅτι αἱ λεγόμεναι Σάμαιναι ναῦς κατέστρωντο δι' ὅλου. Δίδυμος δὲ τὰς Σαμαίνας ἰδιαιτέραν παρὰ τὰς ἄλλας ναῦς τὴν κατασκευὴν ἔχειν· εὐρύτεραι μὲν γάρ εἰσι τὰς γαστέρας. τοὺς δὲ ἐμβόλους σεσίμωνται, ὡς δοκεῖν ῥύγχεσιν ὑῶν ὁμοίως κατεσκευάσθαι, οἷον ὑοπρώρους εἶναι. διὸ καὶ ἐπὶ τ(οι)αύτης λέγεται (Choerili?)·

ναῦς δέ τις ὠκυπόρος Σαμία ὑὸς εἶδος ἔχουσα

σαμίθη· ῥόφημά τι, ὡς Γλαυκίας ὁ ἰατρός

σαμινά· θαμινά. συνεχῶς. Λάκωνες

Σαμίων ὁ δῆμος· φησί τις παρὰ τῷ Ἀριστοφάνει, τοὺς ἐκ τοῦ μυλῶνος ἰδὼν Βαβυλωνίους (fr. II p. 972)·

Σαμίων ὁ δῆμός ἐστιν ὡς πολυγράμματος·

καταπληττόμενος τὴν ὄψιν αὐτῶν, καὶ ἐπαπορῶν. ἔστι δὲ καὶ ἑτέρα ἱστορία, δι' ἣν πολυγράμματον ἔφη δῆμον· ἐπειδὴ Ἑλλήνων Σάμιοι πολυγράμματοι ἐλέγοντο πρῶτοι καὶ χρησάμενοι καὶ δι(α)δόντες εἰς τοὺς ἄλλους Ἕλληνας τὴν διὰ τῶν τεσσάρων καὶ εἴκοσι στοιχείων χρῆσιν

σάμμα· ὄργανον μουσικὸν παρὰ Ἰνδοῖς [52]

Σαμονία· οἱ δὲ Σαμορνία· ἡ Ἔφεσος

σαμυλίς· ἡ πρόπολις ὑπὸ τῶν μελισσουργῶν ⟨1290. 1240⟩

σαμφόρας (Ar. Eqq. 603)· σαμφόραι ἵπποι λέγονται, οἷς ἐπικεχάρακται τὸ C στοιχεῖον. τοῦτο γὰρ σὰν ἔλεγον .... ⟨131⟩

σαμψοῦχος· πλείστη γίνεται ἐν Αἰγύπτῳ. ἄλλοι δὲ μάραθον καλοῦσιν αὐτήν

†σαμώσῃ· κεραυνώσῃ (Eur. El. 1140)

σάναπτιν· τὴν οἰνιώτην. Σκύθαι (schol. Apoll. Rhod. II 948)

?σανδαράχη· χρώματος εἶδος

σανδαία· τροπὴ ἀπὸ γῆς. ἔνιοι δὲ τὸν λίβα ἄνεμον

σανδάλια (Theopomp. com. p. 809)· σάνδαλα· γυναικεῖα ὑποδήματα, ἃ καὶ βλαυτία. καὶ ἰατρικὸς ἐπίδεσμος σανδάλιον

Σανδαλιῶτις (Timaeus)· ἡ Σαρδὼ πάλαι

σανδαράκη· τροφή τις τῶν μελισσῶν, ὡς Ἀριστοτέλης (HA. IX 40). καὶ εἶδός τι μεταλλικόν

Σανδαροφάγος· ὑπὸ Ἀλεξάνδρου ποταμὸς μετωνομάσθη, καὶ ἐκλήθη Ἀκεσίνης

σάνδυξ· δένδρον θαμνῶδες, οὗ τὸ ἄνθος χροιὰν κόκκῳ ἐμφερῆ ἔχει, ὡς Σωσίβιος. ἢ φάρμακον ἰατρικόν. καὶ κιβωτός

†σανθείς· αἰσθόμενος, γνούς [67]

(Σ)ανίκετις· θεοφιλής

σανίς (Callim. fr. 105)· θύρα. λεύκωμα, ἐν ᾧ αἱ γραφαὶ Ἀθήνησιν ἐγράφοντο πρὸς τοὺς κακούργους. τίθεται δὲ καὶ ἐπὶ τοῦ (σ)ταυροῦ

†σάνιτρα· τροφός, τιθήνη

σαννάδας· τὰς ἀγρίας αἶγας

σκίταλοι (Ar. Eqq. 643)· ἀπὸ τῶν ἀφροδισίων καὶ τῆς προυνικίας τῆς νυκτερινῆς θεούς τινας ἐσχημάτισεν. Θέων δέ φησι πεπλάσθαι τοὔνομα

†σκιτυπίαι· σκηναί

σκιφίας (Epicharm. fr. 29)· εἶδος ἰχθύος

σκιφίζει· ξιφίζει. ἔστι δὲ σχῆμα μαχαιρικῆς ὀρχήσεως

σκιφίνιον· πλέγμα ἐκ φοίνικος

σκίφος· ξίφος. οἱ μὲν τὸ ἐγχειρίδιον, ἄλλοι ἐπὶ τοῦ αἰδοίου

σκιφύδρια (Epicharm. fr. 23)· εἶδος κογχυλίου

σκίψαι· ὀκλάσαι. Ἀχαιοί [39]

σκλῆρος· νόσημά τι ἀραχνίδων ἐν τοῖς σμήνεσι, πρὸς τὸ σήπεσθαι τὰ κηρία (Ar. HA. IX 40)

σκληφροί (Theopomp. com. p. 813)· οἱ ἰσχνοὶ καὶ λεπτοὶ τοῖς σώμασι

σκνιπόν· μικρολόγον ⟨1021⟩

σκνίπτειν· νύσσειν ⟨1020⟩. †καινοτομεῖν

†σκνιφ.¯· ἄκρα ἡμέρας καὶ ἑσπέρας †λεῖοι

σκνιφόν· ἀμυδρὸν βλέπον ⟨Poll. II 65⟩. Ἀττικοὶ γὰρ καὶ τὸ σκότος σκνίφος λέγουσι

σκνίψ (Strattid. fr. XII p. 790)· ζῷον χλωρόν τε καὶ τετράπτερον

†σκοβαδές· ἔδεσμά τι

†σκογχούλας· γογγυσμούς. τονθρυσμούς

σκοιά· σκοτεινά. τινὲς †χολόροβοι

σκοΐδιον· σκιάδ(ε)ιον

σκοῖδος· ἀρχή τις παρὰ Μακεδόσι τεταγμένη ἐπὶ τῶν δικαστηρίων. Ἡ λέξις κεῖται ἐν ταῖς ἐπιστολαῖς Ἀλεξάνδρου [52]

σκοιόν· ἰσχυρόν. δασύ. μαλακόν. βαθύ. μέγα. χλωρόν. ποικίλον. σύσκιον

σκοῖπος· ἡ ἐξοχὴ τῶν ξύλων, ἐφ' ὧν εἰσιν οἱ κέραμοι ⟨77⟩

σκοίψ· ψώρα

σκύλεφραι· κατακεκαυμέναι τὰς τρίχας ⟨1068⟩

σκόλια· τὴν παροίνιον ᾠδὴν οὕτως ἔλεγον, οὐ διὰ τὸν τῆς μελοποιίας τρόπον, ὅτι σκολιὸς ἦν, ἀλλ' ὅτι οὐχ ἅπαντες ᾖδον αὐτά, ἀλλὰ μόνοι οἱ συνετοί

σκολιά (Plat. Theaet. 194 B)· σκαμβά, οὐκ

COD. 10 |ρῆσαι 18 σύσκηνα 23 τραχοῦρος 26 σκιροφορειά 31 θεῶν — τοῦ νόμου 40 σκληρός; cf. κλῆρος. σκῆνος ⟨48 σκονθύλας?⟩ 51 Menand. fr. IX p. 151 57 σκολεία

HES. 24 σκίπωνι χειρός (Eur. Hec. 65)· βακτηρίᾳ χειρός 39 σκληραγωγία· ἄσκησις. παρὰ τὸ σκληρῶς ἄγεσθαι 52 σκοίθης· διάβολος. Ἀττικοί. λάλος, στωμύλος ⟨1315 et ψοίθης⟩

ὀρθά. ἄδικα. δυσχερῆ. ἐπικαμπῆ. ἄνισα. δύσκολα

†σκολλέ· σκυμμόν

σκόλλυς (Alcm. fr. 35)· κορυφὴ ἡ καταλελειμμένη τῶν τριχῶν. τινὲς δὲ μαλλόν, πλόκαμον

σκολοῖς· δρεπάνοις ⟨1211⟩

σκολόπαξ (Arist. HA. IX 8)· ὄρνις ποιός [63]

σκολόπενδρα (Ar. HA. I 5)· ζῶον καὶ ἐνάλιον καὶ χερσαῖον [65]

σκόλοπες· ὀρθὰ καὶ ὀξέα ξύλα, στ(αυ)ροί, χάρακες [67]

σκολοφρή· κατακεκαυμένη ⟨1056⟩

σκόλοφρον· θρανίον

†σκολοβρᾶ· χαλεπαίνει ⟨1074. 1079⟩

σκόλοψ· ξύλον ὠξυμμένον

σκόλοψιν ὡς ὀπτῶσιν· τὸ γὰρ παλαιὸν τοὺς κακουργοῦντας ἀνεσκολόπιζον, ὀξύνοντες ξύλον (καὶ) δια(τείνοντες) τῆς ῥαχέως καὶ τοῦ νώτου, καθάπερ τοὺς ὀπτωμένους ἰχθῦς ἐπὶ ὀβελίσκων

σκόλυβος· ὁ ἐσθιόμενος βολβός

σκολύβρα· ἡ σκυθρωπή ⟨1070. 1079⟩

σκολύθρια (Plat. Euthyd. 278 B)· ταπεινὰ διφρία. ὑποπόδια

σκολύθρων· ταπεινῶν. ἀπὸ σκολύθρων δίφρων

σκόλυμος (Heriod. opp. 580)· λάχανον ἄγριον ἀκανθῶδες

σκολύπτειν· ἐκτίλλειν. κολούειν. (σπαράττειν)

σκολύφρα· σκυθρωπή. σκληρά. ἐργώδης. δυσχερής

σκολύψαι· κολοῦσαι, κολοβῶσαι

σκομβρίδες· ἰχθύες

σκομβρίσαι· γογγύσαι. καὶ παιδιᾶς ἀσελγοῦς εἶδος (Iuba)

Σκόμβροι· Θρᾴκιον ἔθνος

†σκονδάμνα· ῥάφανος

†σκόνδρον· δρυπτόν. ἢ δρύπτει

σκόνυζα (Pherecr. fr. LI p. 353)· ἡ κόνυζα. ἔστι δὲ φυτὸν †ἄφυλλον ἱκανῶς, καὶ στιβάδας ἐξ αὐτῆς ἐποίουν, καὶ ταῖς οἰκίαις στεγάσματα ἐπέβαλλον

σκοπεῖσθαι· ὁρᾶσθαι

σκόπελος· ὑψηλὸς τόπος, ἢ πέτρα, ἡ ἀκρώρεια, ἀφ' ἧς ἔστι σκοπεῖν τὰ κύκλῳ. καὶ ἐξέχουσα εἰς θάλασσαν πέτρα. οἱ δὲ ἀκρόπολις [89. 90]

σκοπή· ἄποψις

σκοπήσεις· σκέψεις [93. 94]

σκοπιαί (Eur. Phoen. 223)· ἀκρώρειαι, ὑψηλοὶ τόποι

σκοπιή· ὑψηλὸς τόπος, ἀφ' οὗ ἔστιν ἰδεῖν καὶ περισκέψασθαι

σκοπιωροῦνται· ‚κατὰ ....‘ ⟨Ar. Vesp. 361⟩

σκοπός (K 324)·

σοὶ δ' ἐγὼ οὐχ ἅλιος σκοπὸς ἔσσομαι [99. 1100]

σκοπῶν (Soph. OT. 68)· σκεπτόμενος, ἐνθυμούμενος

σκορακίζει· εἰς ἔρημον πέμπει, καὶ ἀρᾶται. ἀπὸ τοῦ εἰς κόρακας πέμπειν, τὸ ἐκφαυλίζειν

σκορακισμός· χλευασμός. ἀπάτη. ὕβρις. φαυλισμός, ἀποδοκιμασία

σκορδάζειν· σπᾶσθαι

σκορδαμυκτεῖ (Dor.)· πυκνὰ κλείει καὶ ἀνοίγει τοὺς ὀφθαλμούς

σκορδινᾶσθαι (Ar. Vesp. 642)· τὸ παρὰ φύσιν τὰ μέλη ἐκτείνειν καὶ στρέφεσθαι μετὰ χάσμης. γίνεται δὲ τοῦτο περὶ τοὺς ἐγειρομένους ἐξ ὕπνου, ὅταν χασμώδεις ὄντες ἐκτείνωσι τὰς χεῖρας. ὅπερ καὶ περὶ τοὺς ἄλλως πως βασανιζομένους καὶ διαστρεφομένους ἔξω μελῶν γίνεται

σκόρδυλ.., θαλάσσιος ἰχθῦς. ἔνιοι κορδύλη

σκορδύλη (Ar. HA. VI 17)· ζῶόν τι τῶν τελματιαίων, ἐμφερὲς καλαβώτῃ

σκόρθοι· τόρνοι †σκορωβροί

σκόρνος· κόρνος, μυρσίνη τὸ φυτόν

COD. ⟨59 σκόλλε· σκύλλε (Cyprii)⟩ 60 σκολλύς — μᾶλλον 66 ὀρθέα 71 ὀξιμον 72 ὄπτωσιν Post 80] σπαράττειν, ἐκτίλλειν ⟨86 εὔφυλλον?⟩ 91 σκόπη 97. 98 κατάσκοπος — ἀλλοιόσκοπος ἔσομαι 1105 σκαρδ— κλαίει 6 π φυ τὰ — ὅτε — ἄλλοτε πῶς 8 τελματέων

HES. 63 σκόλοπες (M 63)· ὀξέα ξύλα ὀρθά 65 σκολοπώνυμον· τὸν στ(αυ)ρώσιμον, ἀπὸ τῶν σκολόπων 67 σκόλος· ἀκάνθης εἶδος ⟨1212⟩ 89 σκόπες· ὀρνέου γένος ⟨σκῶπες⟩ 90 σκοπεύει (Prov. V 21)· ἰχνεύει. ἐπιτηρεῖ 93 σκοπιαζέμεναι (K 40)· κατασκοπεῖν 94 σκοπιάζων· ἀποσκέπων (Ξ 58)· σκεπτόμενος 99 σκοπός (Levit. XXVI 1)· τύπος 1100 σκοπεῖ ⟨σκώπτει⟩· χλευάζει, διαπαίζει, καταπαίζει, μέμφεται ⟨1219⟩

σκορόβυλος· κάνθαρος

σκόροδα (Eupol. fr. V p. 550)· τόπος ἐν ᾧ τὰ σκόροδα φύεται [Ad 12]

σκοροδίσαι (Ar. Eqq. 494)· τὸ πρὸ τῆς μάχης σκορόδοις ἀνατρῖψαι τοὺς ἀλεκτρυόνας

(σκόροδοι· τόρμοι) cf. ἐσκόροδοι

σκοροδοῦν (Com. an. CCCXCVII)· συνουσιάζειν ⟨1272. 71⟩

σκορπίος· τὸ ἄστρον. καὶ τὸ χερσαῖον ἑρπετόν. καὶ θαλάσσιος ἰχθῦς (Mnesimach. p. 570). καὶ πόα, ἣν ἔνιοι σκορπίουρον (Theophr. IX 19)

σκο(ρ)πίος ὀκτώπους· παροιμία· σκορπίον ὀκτώπουν ἐγείρεις ⟨gl. ο 504⟩

σκορπιοῦται· ἀγριαίνεται, ἐρεθίζεται

σκορπίωσ(αι)· ὡς θηρίον τραχύνου, ὀργίζου

σκοταῖον· ὅταν συσκοτάσῃ, ἡ σκοτία

σκοταρία· ζόφος. Ἀχαιοί

σκοτίας· δραπέτης

σκοτεύει· δραπετεύει [23]

σκοτία· μέρος τι παρὰ τοῖς ἀρχιτέκτοσι προσαγορευόμενον τριγλύφου. καὶ Ἀφροδίτης Σκοτιᾶς ἱερὸν κατ' Αἴγυπτον (EM. 543, 49)

σκότιος (Callim. fr. CVIII 3 CLXX)· νόθος, ὁ λάθρα γεννηθεὶς τῶν γονέων τῆς κόρης. τοὺς γὰρ μὴ ἐκ φανερᾶς, λαθραίας δὲ μίξεως γεγονότας σκοτίους ἐκάλουν, ἔνιοι παρθενίους, ἄλλοι κοριναίους· καθάπερ Μαρσύας ἐν τῇ α'

σκοτοδινιᾷ· σκοτοῦται

σκοτοδινιάσας· μετὰ σκότους ὀφθαλμῶν συστραφείς, ὅ ἐστιν ἰλιγγιάσας

σκοτοιβόρον· συννεφές, σκοτεινόν

σκοτόμαινα· Ἀττικὸν τὸ οὕτω λέγειν

σκοτομήνη· βαθεῖα νύξ, ἢ ἀσέληνος

σκοτομηνία· σκότος σελήνης

σκοτομήνιος (ξ 457)· ἀσέληνος νύξ

σκότος· ὄλεθρος, θάνατος

σκότος ὄσσε κάλυψε (Φ 181)· θάνατος κατέσχεν

σκοῦλαι (Lacon.)· κνῆσαι

σκύβα· λάχανον ἡ λαψάνη. τινὲς δὲ σκοῦβα [37]

σκυβαλίζεται· ἐξουθενεῖται, παρα(ρ)ρίπτεται, ἀποδοκιμάζεται

σκυβαλισμός· ἐκφαύλισμα, καὶ τὸ ἀδόκιμον. ἐκ μεταφορᾶς τῶν σκυβάλων τῶν ἀχύρων

σκυδά· σκιά. Εὔκλος

σκυδίζει· λακτίζει ⟨1015. 1178⟩

σκυδικαί· Πολέμων (fr. XCVI) παρὰ Ἑρμοδώρῳ γεγράφθαι φησί· ὑποδήματα δὲ φορεῖν τὴν ἐλευθέρην σκυθικὰς λευκὰς καὶ μασθλητίνας

σκυδμαίνειν· σκυθρωπάζειν, νεμεσᾶν, ὀργίζεσθαι

σκύθμαινος· σκυθρωπός [45]

(σκυδμανεῖς· θυμωθήσῃ) 1174

σκύζει· λυπεῖ. [ὀργίζεται

σκύζεσθαι (Ω 113)· χολοῦσθαι, θυμοῦσθαι, σκυθρωπάζειν

σκύζης (Com. an. CLXXVII)· παρὰ Φιλητᾷ· παύσω σε τῆς σκύζης. ἀντὶ τοῦ τῆς κάπρας

σκυζομένη· λυπουμένη [ad 49]

σκύζουσιν· ἡσυχῇ ὑποφθέγγονται, ὥσπερ κύνες

Σκύθαι· οὕτω τι τῶν γενεῶν ἐλέγετο

Σκύθης ὄνειον δαῖτα· παροιμία [ad 52]

Σκυθιάς (Nicanor)· οὕτως ἐκαλεῖτο ἡ Δῆλος

Σκυθικά (Alc. fr. 104)· ὑποδήματα ποιά

Σκυθικὸν ξύλον (Sapph. fr. 167)· τὴν διάπυρον. ἔνιοι τὴν θαψίαν

Σκυθικός· Κρατῖνος (fr. LXV) Σκυθικὸν ἔφη τὴν Ἱππόνικον, διὰ τὸ πυρρὸν εἶναι. καὶ ᾧ ξανθίζονται αἱ γυναῖκες καὶ βάπτουσι τὰ ἔρια

σκυθιστὶ χειρόμακτρον (Soph. fr. 429)· οἱ Σκύθαι τῶν λαμβανομένων †πόλων ὧν τὰς κεφαλὰς ἐκδέροντες [ἦσαν] ἀντὶ χειρομάκτρων ἐχρῶντο

σκυθράζει (Eur. El. 830)· σκυθρωπάζει

σκύθραξ· μεῖραξ, ἔφηβος

σκυθρός (Menand. p. 72)· στυγνὸς τὰς ὄψεις, χαλεπός, ὠμός, σκυθρωπός

COD. 19 σκοτέον 25 παρθένους — τῇ ἰάς. κοτοδινιᾶ 30 βαρεῖα 36 ἡ 40 σκυδάσκια, εὔκλος 42 μασθλητύνας 47 σκύθεσθαι 48 φίλιτα ⟨51 οὕτω ἱππέων τι γένος?⟩ 53 σκυθίας 57 σκυθίς, τίχ|

HES. Ad 12 διὸ καὶ ὀξυτόνως ⟨σκοροδῶν⟩ 23 σκότιον (Ζ 24)· λαθριμαῖον 37 σκύβαλα (Philipp. III 8)· κόπρος 45 σκύδμαινε· ὀργίζου (Ω 592) Ad 49 ὀργιζομένη (Δ 23 Θ 460) Ad 52 ἐπὶ τῶν ἀκκιζομένων [τινὲς δὲ βδελυττομένων] τῷ λόγῳ, ἔργῳ δὲ ἐφιεμένων· ἰδὼν γάρ τις νεκρὸν ὄνον, ἔφη πρὸς Σκύθην παρόντα ......

Σκυθῶν ἐρημία (Ar. Ach. 704)· παροιμία, ἀπὸ τῶν φυγόντων ἐξ Ἐφέσου Σκυθῶν διαδοθεῖσα· φοβηθέντες γὰρ καὶ ταραχθέντες κατὰ γνώμην· τίθεται τοίνυν ἐπὶ τῶν ἐρημουμένων ὑπό τινων

σκῦλα· αἰχμαλωσία [ad 62]

σκυλαίας· τὰ σκῦλα, καὶ λάφυρα. οἱ δὲ τὰς πανοπλίας

σκύλαξ· σχῆμα ἀφροδισιακόν, ὡς τὸ τῶν φοινικιζόντων

σκυλεύσας (Herod. I 82)· αἰχμαλωτεύσας

σκύλλειν· τὸ τοῖς ὄνυξι σπᾶν

σκυλλανίς· ἡ πολεμική. ἴσως ἀπὸ τοῦ σκυλεύειν

σκυλλίς· κληματίς

σκύλλον· τὴν κύνα λέγουσιν [70]

σκυλόδεψος (Dem. 781, 18)· ὁ τὰς βύρσας βυρσεύων [72]

σκῦλος· δέρμα, κώδιον (Callim. fr. CXLII 1). οἱ δὲ ῥάκος. καὶ τριβώνιον, ἢ δέρμα ἄρκου, τὸ τοῦ καστανίου κάλυμμα [74]

σκύλσις· θυμός. σάλος, ταραχή

σκύμνος· ὁ σκύλαξ τοῦ λέοντος [77]

σκυνίζει· λακτίζει ⟨1015. 1141⟩

†σκυξιφόν· σκύφον

σκύρβια· κρόμμυα

σκυρθάλια· Θεόφραστος τοὺς ἐφήβους οὕτω φησὶ καλεῖσθαι, Διονύσιος δὲ τοὺς μείρακας

σκυρθάλιος· νεανίσκος [83]

Σκυρία δίκη (Com. an.)· Ἀρτεμίδωρος ἰδίως φησὶ ἡ Θησέως καλεῖται τελευτή. φυγόντα γὰρ αὐτὸν εἰς Σκῦρον ἐκεῖ καταχρημνισθῆναί φασιν

Σκῦρος· πόλις. καὶ νῆσος [Ad 85]

[86] ἀργιλώδης. Λυσίμαχος τὴν λατύπην

σκυρωθῶσι (v. l. Hippocr. II p. 828 K)· λιθωθῶσιν ⟨1029⟩

σκυρωτὴ ὁδός· ἡ ἱππόκροτος (Pind. P. V 93)

σκύτα (Sophro)· τὸν τράχηλον. Σικελοί

σκυτάλαι· βακτηρίαι. καὶ αἱ ἱππικαὶ ἶλαι. καὶ ὄφεων εἶδος (Nic. Th. 384). φραγέλλια, λῶροι. πίνακες, ἐφ' οἷς ἡ Δίκη γράφει τὰ τῶν ἀνθρώπων ἁμαρτήματα. ἢ θύλακες δερμάτινοι

σκυτάλη Λακωνική (Ar. Lys. 991)· ἐπὶ τῶν ἀγγελιαφόρων τάσσεται. ἔθος γὰρ ἦν ἀρχαῖον τὸ χρήσασθαι ταῖς σκυτάλαις, (ἀντὶ) τῶν παρ' Ἕλλησι γραμματείων καὶ βιβλίων

σκυτάλια· αὐλίδια, περι†στρώματα. καὶ τὸ ῥάβδωμα

σκυταλίδα (Iuba Ath. 177 A)· αὐλὸν ποιόν

σκυταλίδες (Alexandrini)· εἶδος χαρίδων

σκυταλουμένη· ξύλῳ τυπτομένη [96]

σκύτη· κεφαλή

σκυτίζει· σπαράττει

σκυτίνη ἐπικουρία (Ar. Lys. 110 Stratt. p. 785)· .... Ἀττικοὶ ἐπὶ τῶν ἀσθενούντων βοηθημάτων

σκύτινον καθειμένον (Ar. Nubb. 538)· διεζωσμένοι εἰσῄεσαν οἱ κωμικοὶ ὑποκριταί. οἱ δὲ αἰδοῖα δερμάτινα τοῦ γελοίου χάριν ἀνωτέρω τῶν ἰσχίων καὶ τῶν αἰδοίων περικείμενοι

σκυτοδέψης (Theophr. III 18, 15)· δερματομαλάκτης

σκῦτος (ξ 34)· πᾶν δέρμα

σκυτοτόμος· λωροτόμος. [ad 1203] σκηνορράφος

σκυφοκώνακτος· Ἐπίχαρμος ἐν τοῖς Μησὶ τοῖς σκύφοις περιφόρητος

σκύφος· εἶδος ποτηρίου, ἢ ἔκπωμα

†σκῶ· πεδίσκη ⟨σηκώ· παιδίσκη?⟩ [7]

σκώληξ· τὸ κυλιόμενον κῦμα (Aeoles). καὶ ἀπὸ τῆς ἅλω τὸ δινηθὲν καὶ συναχθὲν εἰς λικμητόν

σκωληκίζονται· κινοῦνται ὡς οἱ σκώληκες

σκωλοβάτης· ὄνομα θηρίου μικροῦ, (παρα)πλησίου ἐρισύβῃ, τὸ γινόμενον ἐν τῇ ἅλῳ καὶ τῷ σίτῳ λυμαινόμενον

COD. 62 σκύλα 66 σκύλλειν 71 σκυλοδέψιος 73 σκύλον 79 σκυφόν
τ
81 σκυρθαλιάς 86 ἀργιολίδης ⟨EM. 720, 25⟩ 88 ἀπόκρι 89 σκυτατόν — σικελόν 90 ειλαι — ὀφρε.. εἰσὶ φρ| ⟨92 περιζώματα?⟩ 93 σκυταυλίδα· αὐλοποιόν (Ath. 117 A)
ε
1200 σκυτινον, καθημένων — ἀνω... τῶν — πκείμενοι 1 |έψις 2 σκύτος 3 σκηε
ροράφος 4 πφορητήν 8 σκώλυξ 10 ἐρισύβης

HES. Ad 62 [πραίδα] 70 σκυλῆναι· ξηρανθῆναι ⟨σκλ—⟩ 72 σκύλλου (Luc. VII 6)· ἐνόχλει 74 σκυλμανεῖς· θυμωθήσῃ ⟨σκυδ—⟩ 77 σκύμνους (Σ 319)· ἐκγόνους λεόντων, καὶ ἄλλων ζώων 83 σκυρθάλια· μειράκια, ἔφηβοι Ad 85 ἢ λατύπη ⟨892⟩ Ad 86 σκῦρος 96 σκυτεύς· σαγγάριος, καὶ καλιγάριος Ad 1203 σκυτεύς ⟨Moer.⟩ 7 σκῶλα (Iesai. LVII 14)· ξύλα ὀξυμένα

σχώλοισι· δρεπάνοις· διὰ τὴν σκολιότητα ⟨1061⟩

Σκῶλος· ῥάβδος. σκάνδαλος. [ad 12] οἱ δὲ σκόλοψ, ἢ ῥάβδος, ἢ ἀπωξυμμένος πάσσαλος
ὥστε σκῶλος πυρίκαυστος (*N* 564)
ἢ ἀκάνθης εἶδος ⟨1067⟩. παρὰ τὸ σκέλλω. τὸ ξηραίνω. ἔστι δὲ καὶ πόλις ἐν Βοιωτίᾳ (*B* 497) [13]

σκώμ(μ)ατα (Dem. 1261, 12)· λοιδορήματα γέλωτος χάριν

σκωρυφίαν· τὸ σκάνδαλον (Epicharm.), ἐν Μησίν· ἐν δὲ Τριακάσιν τὰ ὀσιώδη χρέα

σκῶπες (ε 66?)· εἶδος ὀρνέων, οἱ δὲ κολοιούς. καὶ εἶδος ὀρχήσεως [17]

σκωπευμάτων (Aesch. fr. 74)· σχῆμα τῆς χειρὸς πρὸς τὸ μέτωπον τιθεμένης, ὥσπερ ἀποσκοπούντων

σκώπτει· γελοιάζει, παίζει, ληρεῖ ⟨1100⟩

σκωρίδες· γρᾶες

σκωρία (Aristot. d. sens. 5)· ἡ γαιώδης ἐν ὑποστάθμῃ

σκῶψαι (Antiphan. p. 79)· μέμψ(...)αι

σμᾶν· σμήχειν

σμαραγεῖ (*B* 210)· ἠχεῖ, ψοφεῖ [25]

σμαράγνα· μάστιγξ, ῥάβδος. καὶ χωρὶς τοῦ σ (q. v.)

σμάρδικον· στρουθίον ⟨1398⟩

σμαρδικοπῶλαι· οἱ τοὺς στρουθοὺς πωλοῦντες

σμαρίδες (Epicharm. fr. 10)· γρᾶες. καὶ ἰχθύδια μικρὰ ἄριστα· οἱ δὲ τὰς μαινίδας

†σμαρχόν· καθαρόν. βρωτικόν. δριμύ ⟨1236⟩

σμερδαλέον· φοβερόν [ad 31]

σμερδνόν (*O* 687)· δεινόν, καταπληκτικόν, πολεμικόν, σκυθρωπόν

σμέρδος· λῆμα. ῥώμη, δύναμις, ὅρμημα

σμέρδος· ἰχθύος εἶδος

σμηκτικόν· τήλης ἡ θέρμη (foeni graeci decoctum)

†σμιχρόν· καθαρόν. δριμύ ⟨1230⟩

†σμῆλαι· ῥίψαι

†σμηλακεῖ· φωνεῖ ⟨1253⟩

σμῆναι· τῶν μελισσῶν οἱ κηροδόχοι, ἤτοι αἱ θῆκαι

σμηνίων· ἡ πρόπολις· ....

σμηνοκόμος· μελισσουργός

σμῆνος (Aesch. Pers. 128)· τὸ μελισσῶν καὶ σφηκῶν ἄθροισμα. τὰ δὲ ἀγγεῖα σμήνη

σμηρία (Theophr. VI, 1, 4)· κισσός. Χαλκιδεῖς

σμήριγγες (Lycophr. 37)· πλεκταί, σειραί. βόστρυχοι. καὶ τῶν κυνῶν ἐν τοῖς μηροῖς καὶ τοῖς αὐχέσιν ὀρθαὶ τρίχες

σμῆριγξ· πόα. καὶ εἶδος ἀκάνθης

σμήρινθος· ὄρνις ποιός

?σμήρινθοι (Plat. Legg. 644 E v. l.)· σπάρτα, σχοινία (e Paus. Eustath. 1333, 32?)

†σμῆσον· τὸ τοῦ ὀμφαλοῦ μέρος ⟨πρότμησιν⟩

σμήχει· τρίβει, καθαίρει

σμήχη· τὸ σευτλίον

σμικρίζεσθαι· διαττᾶσθαι

σμικρόν· μικρόν. ἢ τοῦ ὀβολοῦ· τίμιον (Eupol. fr. XX p. 506)

σμιλακτεῖ· φωνὴν ἀποτελεῖ ⟨1238⟩

σμῖλαξ (Eupol. p. 426)· κιττοειδὲς φυτὸν ἑλισσόμενον. ἕρπει δὲ ἀεὶ πρὸς τὸ ὕψος, καὶ λεπτοὺς ἀνίησι κλῶνας, καὶ τῶν ἐγγὺς ἑστηκότων καταδράσσεται φυτῶν, ὡς καταπνίγεσθαι ὑπ' αὐτοῦ

σμιλεύματα (Ar. Ran. 819)· διαγλύμ(μ)ατα

σμῖλος· δένδρον (ἐλάτῃ ὅμοιον.) οἱ δὲ πρῖνος. ἄλλοι μίλακα, ᾗ στεφανοῦνται

σμινδυρ(ίδ)εια· εἶδος ὑποδημάτων γυναικείων ⟨1281⟩

σμίνθα (Cyprii)· ὁ κατοικίδιος μῦς

Σμινθεύς· ὁ ἐν τῇ Σμίνθῳ τιμώμενος. λέγεται δὲ [καὶ] ὁ Ἀπόλλων (*A* 39)

σμίνθος· μῦς. καὶ ὁ Ἀπόλλων δὲ Σμίνθιος διὰ τὸ ἐπὶ μυωπίας φασὶ βεβηκέναι

σμίνθουροι· τὰ(ς) οὐρὰς †οἱ σαίνοντες

σμίντα· παλίουρος

σμινύη (Ar. Nub. 1500)· σκαφ[ε]ίδιον, δίκελλαν

†σμινύης· σμινύη

σμιρεύς· μέτρον οἰνικὸν εἰς Πεντάπολιν Λιβύης. καὶ σμηρεύς

σμιρίς· ἄμμου εἶδος, ᾗ σμήχονται οἱ σκληροὶ τῶν λίθων. καὶ δένδρον

σμίς· μῦς ⟨1288⟩

COD. 12 ἀποξυσμός — ἢ ξ. παρὰ τὸ σκελῶ 20 σκορίδες γράες ⟨cf. κωρίδες, καραβίδες⟩ ⟨29 μίκρ' ἄττα⟩ 33 σμέρδνος; cf. εὐσμερδής 37 ΕΝΙΗΛΑΙ? 40 σμηνίον 45 σμήριξ cf. μῆριγξ 51 διαιτᾶσθαι Post 52 ἐλάτῃ ὅμοιον cf. 1256 56 σμίλος — πρῖνος (cf. σιλός et σπῖλος) 60 σμίνθειος 63 δίκελλον 67 σμῦς

HES. Ad 12 [ἡ σκώληξ] 13 σκώλοψ· ξύλον ὀξυμ(μ)ένον. ἢ ἄκανθα ⟨σκό—⟩ 17 σκῶμμα· εἶδος κουρᾶς, ἢ λοιδορίας 25 σμαραγήσει (*Φ* 199)· ἠχήσει, ψοφήσει Ad 31 καταπληκτικόν (*B* 334)

σμογερόν (Cyprii)· σκληρόν. ἐπίβουλον. μοχθηρόν
σμοιός· χαλεπός, φοβερός, στυγνός
σμοιῷ προσώπῳ (Aesch. Ag. 639)· φοβερῷ, ἢ στυγνῷ, σκυθρωπῷ
σμοχορδοῦν (Com. an. CCCXCVII)· τὸ σχηματίζεσθαι τὰς γυναῖκας
σμοκόρδους· τοὺς τὰς †ὀφρῦς ἐγκοίλους ἔχοντας
σμορδοῦν· συνουσιάζειν ⟨1114⟩
σμόρδωνες· ὑποκοριστικῶς ἀπὸ τῶν μορίων· ὡς πόσθωνες
σμυγερόν· ἐπίπονον. οἰκτρόν. μοχθηρόν. πονηρόν. ἐπίβουλον. ἀνιαρόν. χαλεπόν
σμυγερῶς (Hom.)· ἐπιπόνως ⟨cf. ἐπισμ—⟩
σμύδρος· διάπυρος σίδηρος
σμυκτήρ· ὁ μυκτήρ
σμυλίχη· τοῦ ζυγοῦ τὸ τρῆμα, ἐν ᾧ ὁ ἱστοβοεὺς καθήρμοσται
σμύλλα· σαύρα
σμυνδαρίδ(ε)ια· ὑποδήματα, ἀπὸ σκυτέως τινὸς Σμυνδυρίδου. ἢ τὰ πολυτελῆ, ἀπὸ Σμυνδυρίδου ⟨1257⟩
σμῦξαι· φλέξαι, ἐμπρῆσαι. μαρᾶναι ⟨cf. κατασμῦξαι⟩
σμυός (Boeot.?)· σκυθρωπός ⟨1269⟩
Σμυρναῖος· ἀπὸ Σμύρνης
σμυρνεῖον (Theophr.)· τοῦ ἱπποσελίνου ὁ καρπός. καὶ αὐτὴ ἡ βοτάνη
σμῦρος (Ar. HA. V 10)· ὁ ἄρσην ἰχθῦς. καὶ ἡ θήλεια σμύραινα
σμυρτή· σμυρτός
σμῦς· ὁ μῦς ⟨1267⟩
σμύσσεται· ἀπομύσσεται
σμυστία· ἡ πρόπολις. Λυσικράτης ⟨154. 1240⟩
σμύχοιτο (Χ 411)· ἀφανίζοιτο. κατακαίοιτο. φθείροιτο. τρύχοιτο
σμύχει· φθείρει. τρύχει
σμυχόμενον· [94]
σμώγη· ῥανίς. τὸ τυχόν. Ἀμερίας βο(ύ)γλωσσον [96]

σμῶδιγξ· ὕφαιμος μώλωψ, ὁ τῆς πληγῆς τύπος
σμῶδιξ (Β 267)· μώλωψ, τὸ ἀπὸ πληγῆς οἴδημα. φλέψ, φλυκτίς [99]
†σμωσή· ἀνέμου πνοή
†σμωνθίοντα· τὰ ταρασσόμενα, ζέοντα, πομφόλυγας ποιοῦντα
σμώχειν· ἐνεργεῖν μετὰ σπουδῆς
σοάνα ⟨—λα⟩· ἀξίνη. Πάφιοι
σοβάδες· ὑπερήφανοι. ἄστατοι. μαινόμεναι [Ad 1304]
σοβαρεύεσθαι· ἐξιτήλως, ἔξω τοῦ δέοντος (φέρεσθαι)
σοβαρεύεται· ἐπαίρεται
σοβαρ†ητικήν· σφοδράν
σοβαρός (Ar. Nub. 604 al.)· ὑπερήφανος, αὐθάδης. σεμνός· ἀπὸ τοῦ σέβας. ἢ συβαρὸς καὶ πλούσιος, ἀπὸ Συβαριτῶν
σοβεῖν· διώκειν. τρέχειν. ἀπελαύνειν (Xen. Eq. V 5)
σοβεῖται· διώκεται
σοβῶν· τῶν σοβῶν. ἀφ' οὗ καὶ τὸ σοβεῖν [12]
σόγχος (Callim. fr. LXIII)· λάχανον ἄγριον
†σοιδηύδεις· βάκχαι. διὰ τὸ σεσοῆσθαι ἐν τῷ βακχεύειν. Σόος γὰρ ἡ ὁρμὴ καὶ φορά
σοίθης· ψίθυρος. ἀλαζών. διάβολος ⟨1052⟩ (Ἀττικοί. λάλος, στωμύλος)
σοίκιδες· κώνωπες
σοῖο (ο 510)· τοῦ σοῦ [18—20]
Σόλοι· πόλις
σοκᾷ· βροχίζει. ὀχλεύει
σολοικίζει (Dem. 1110)· βαρβαρίζει
σολοικισμός· ὅτε τις ἀτέχνως διαλέγεται
σόλοικον· τὸ ἀμαθές
σόλοικος· ἐπισεσυρμένος. ἀδιάφορος
σολοιτύπος· μυδρακτύπος. καὶ χαλκός τις ἐν Κύπρῳ ⟨σολοίτυπος⟩
σόλον .... (Ψ 826)· αὐτοχώνευτον δίσκον, ἢ σιδηροῦν, ἢ κεχωνευμένον
σόλον· δίσκον

COD. 69 σμοῖς (cf. μοῖος, σμυός) 70 σμοῖος 74 σμορδονεός — π^{ο}θωνες 77 σμυδρός 79 τρίμμα 82 σμύξαι — μαράναι 85 σμυρνίον 86 σμύρνος — σ^{ό}μ^{ῦ}ρναία 90 προπ ⟨1300 σμώνη, 1301 σμωόωντα⟩ 2 |εῖν 9 ἀπολαύειν 14 σεσοβεῖσθαι 22 Chilmead. ad Malel. p. 619 Bonn.

HES. 94 σμύχων (Greg. Naz. C. XIII 132 p. 74 Dr.)· τὰ αὐτά 96 σμώδιγγες (Ψ 716)· μώλωπες, τραύματα 99 σμώμενος (cf. Arist. fr. IX p. 1100) ⟨Mocr. 355⟩ Ad 1304 ἢ μαινόμεναι 12 Σόδομα· πήρωσις. τύφλωσις. ἡ στείρωσις. ἑστῶσα σιωπή. ὁμοίωμα. ἔκκλισις. καὶ θεμέλιος (Prop. in Iesai. XIII p. 217) 18 σοῖσι (Α 42)· τοῖς σοῖς 19 σοὶ πάντες μαχόμεσθα (Ε 875)· διὰ σὲ πάντες μαχόμεθα 20 σόεις (Ι 681)· σώζεις

Σολουντίς (Herod. II 32)· ἄκρα τῆς Λιβύης
Σολύμοισιν (Z 184)· ἔθνη Σκυθῶν
σομφόν (Hippocr. II p. 103)· χαῦνον
σομφώδεις· αἱ χαυνότεραι τῶν αἰγιαλῶν
†σοναρόν· ῥωμαλέον ⟨σοβ—⟩
σόοι (Λ 344)· σωτήριοι, ὑγιεῖς, ὁλόκληροι, σωζόμενοι
σόος· σῶος (τ 300), καὶ τὰ ὅμοια. καὶ ὁρμὴ πρὸς αὔξησιν
σοοῦται· φεύγει, διώκεται ⟨1366⟩
σορδισμός· τὸ μὴ καθαρῶς διαλέγεσθαι, ἤτοι ἑλληνίζειν [39]
σορέλλη (Arist. fr. XVI p. 1033)· σκῶμμά τι ἐπιχωριάζον εἰς τοὺς γέροντας, ἀπὸ τῆς σοροῦ [41—43]
σόρνιξα· εὔζωμον (eruca)
σορόα· παλιούρου εἶδος
σορός (Ψ 91)· μνῆμα, θήκη
σορωνίς (Dor.)· ἐλάτη παλαιά
σόσσος· ἡ διόπτρα. καὶ τὸ σταδιαῖον διάστημα
σοῦ (Ar. Vesp. 209)· ἴθι, τρέχε, ὅρμα [50]
σούκινος (Boeot.)· ὁ εὐνοῦχος
σοῦκλαι· φοινικοβάλανοι. Φοίνικες
σουκ(λ)οβάλανος· τὸ αὐτό
†σούλαδ· περιέχεσθαι
σοῦν· σῶν, ὑγιές
†σούμωρος· κεχορτασμένος, πλήρης
†σουνεπτᾶσθαι· συνακολουθῆσαι
Σουνιεύς· Σουνιῆς, δῆμος (Dem. 238)
Σούνιον (γ 278)· ἀκρωτήριον τῆς Ἀττικῆς
σοῦς (Democrit.)· ἡ πόρευσις. ἄλλοι †τὸ οὖς, ἡ δρόμος [61]
σοῦσθε (Call. LM. 4)· ἴτε, ὁρμᾶτε
σούσινον (Hippocr. II p. 561 K)· τὸ ἐκ (κ)ρίνου μύρον
σοῦσο· ἴθι, ὅρμα
σοῦσο· ἔρχου, πορεύου
σοῦται· ἔρχεται, πορεύεται, διώκεται ⟨1337⟩. σώζεται
σοφία· πᾶσα τέχνη (O 412), καὶ ἐπιστήμη [68. 69]
σοφίζεται (Ar. Eqq. 718)· σοφόν τι λέγει. καὶ παρακρούεται λόγῳ
σοφιστήν· πᾶσαν τέχνην σοφίαν ἔλεγον, καὶ σοφιστὰς τοὺς περὶ μουσικὴν διατρίβοντας καὶ τοὺς μετὰ κιθάρας ᾄδοντας
σοφιστής· ἀπατεών, διδάσκαλος, πανοῦργος
σοφός· φρόνιμος. φιλότεχνος, καὶ ἐξευρετικός. καὶ ὁ τῶν θείων ἔμπειρος
σοφῶς· εὐτάκτως, καλῶς
σοώμην· ὡρμώμην. [προάγουσα
σπᾷ· φλοιὸς ῥίζης. ἢ ἐρυθρόδανον. ἢ τὸ φυτὸν τοῦ φοίνικος. καὶ ὄργανον μουσικόν
σπάδακες· κύνες ⟨1396⟩
†σπαδάχηρ· σπαράττει
σπάδιον (Argivi)· τὸ στάδιον
σπαδόνα· τὸ σπάσμα [ad 80]
σπάδων· ὁ εὐνοῦχος
σπάζει· σχυζᾷ. Ἀχαιοί
σπαθᾷ (Diphil. fr. II 27 p. 395)· τρυφᾷ, ἀναλίσκει, ἀσώτως καὶ ἀφειδῶς ἀλαζονεύεται [84]
σπαθατόν· τὸ ὀρθὸν ὕφος, σπάθῃ κεκρουμένον, οὐ κτενί
σπάθημα (cf. Phot. 529, 5)· πύκνωμα, ἀπὸ τῶν ταῖς σπάθαις κατακρουόντων τὰ ὕφη
σπαθητόν· γυναικεῖον
σπαθίζεσθαι· μύρῳ ἀλείφεσθαι
σπαθίνης (Cret.)· τῶν ἐλάφων τις οὕτω καλεῖται. ἡ ἡλικία[ν] ἐλάφου
σπαθίς· ἱμάτιον σπάθῃ ὑφασμένον
σπαθίσματα· τὰ σπαδονίσματα
σπαθῶσι· σκορπίζωσιν
σπαίρει (Nic. Al. 318)· ἄλλεται, σκιρτᾷ, πηδᾷ. σκορπίζει. †ψυχαγωγεῖ
σπαιρόντων· τὴν ψυχὴν ἐκπνεόντων
σπάκα (Herod. I 110)· κύνα. ἡ σφίγξ
σπάλαξ (Aristot. de anim. 3, 1)· εἶδος ἀρουραίου μυός, ἐκ γενετῆς τυφλοῦ. καὶ ἵππων εἶδος οἱ σπάλακες (spadices)
σπαλακία· νόσος ἡ περὶ τοὺς ὀφθαλμούς, πήρωσις
?σπαράσιον· ὄρνεον, ἐμφερὲς στρουθῷ. ἔνιοι σκίφ ⟨1227⟩

COD. 33 χαννω| 40 σωροῦ (cf. τορελλῇ) 44 παλινούρου 47 σορωνῆς (cf. σαρ— σωρ—) 52 Φοίνικες post 1353 55 σούνσων 58 σουνιεῖς, δ| 59 σοῦ.ον 60 σούς, ἡ 64 σοῦσοι, θίορμα 75 ὁρμώμην 82 σκύζαι 85 ὑφεστάθη 89 σπαθήνης 90 σπαθές 96 σπάλεξ

HES. 39 σόρδιδον· ῥυπαρόν (sordidum) 41 σορεύει ⟨σω—⟩· συνάγει 42 Σόορ (Ezech. XXVI 2. 3)· Τύρος 43 σορηδόν (Philo VM. I 17 p. 96)· ὁμοῦ, παρὰ τὸ σωρόν ⟨v. σω—⟩ 50 σουγλάριον· ἐργαλοθήκη (theca subulae) 61 σούς ⟨συσσοῦσθαι⟩· εἰς τὸ αὐτὸ συμφέρεσθαι 68 Σουφείρ (Iesai. XIII 12)· χώρα, ἐν ᾗ οἱ πολύτιμοι λίθοι, καὶ ὁ χρυσός, ἐν Ἰνδίᾳ 69 σοφίης (O 412)· τῆς περὶ τὴν τέχνην σχολῆς Ad 80 ἢ τὴν εὐνοῦχον ⟨σπάδωνα⟩ 84 σπάθη· μάχαιρα, ξίφος

†σπαύλαθρον· σκάλαυθρον
σπαλύσσεται· σπαράσσεται, ταράσσεται
σπάναχα· ὀρίγανον
σπανίαν· τὴν σπανιότητα. ὡς ὁσίαν, τὴν ὁσιότητα [1403]
σπάνιον· ἀραιόν
σπανόν· τίμιον, πολλοῦ ἄξιόν ἐστιν
σπαραβάραι· οἱ γερ(ρ)οφόροι
σπαρασσόμεθα· ξεόμεθα. ταραττόμεθα
σπαράγμασι (Eur. Bacch.)· ξεσμοῖς. ταραχαῖς. ἀποβολαῖς. δαρμοῖς
σπαργαί· ὀργαί. ὁρμαί
σπαργᾶν· ὅτε οἱ μασθοὶ πλήρεις ὦσι γάλακτος
σπάργανα (Ar. Ach. 431)· δεσμά. ῥάκη
σπαργάνοις (Aesch. Cho. 755)· δεσμοῖς. ῥάκεσι
σπαργοῦσι (—ῶσι Plat. Civ. 460 C)· πλημμυροῦσιν. ἀποστάζουσιν
σπαργῶν (Eur. Bacch. 701)· ὁ πλήρης, καὶ δεόμενος ἐ(κ)κρίσεως
σπαρνάς (Aesch. Ag. 556)· σπανίους. ἀραιάς. διεσπαρμένας
σπάρνιοι· ἐνθαλάττιοι πέτραι
σπαρνόν (Call. Dian. 19)· σπάνιον, ὀλίγον
σπαρνοπόλιος (Menand. CCCLXXXII?)· ὀλιγοπόλιος
σπάρξαι· σπαργανῆσαι. σπαράξαι (1461) [20. 21]
Σπάρτη· πόλις. καὶ στάθμη τεκτονική (Cratin. fr. LXX)
Σπάρτωλος (Thuc. II 79)· πόλις
σπασμός (Thuc. II 49)· ἡ παλίρροια. καὶ τὸ πάθος [25]
σπάσσατο· [ad 26]. ἤγρευσεν
σπάσωμεν· ἀγρεύσωμεν. ἑλκύσωμεν
σπατάγγαι (Aristoph. p. 1119)· οἱ μεγάλοι ἐχῖνοι οἱ θαλάσσιοι
σπαταγγίζειν· ταράσσειν
σπαταλᾷ· τρυφᾷ
†σπαταλᾶς· μαστιγωτιᾶς
σπατείων· δερματίνων
σπατίακτον· διεσπασμένον. καὶ †εὔχροον
σπατίζει· τῶν (σ)πατίων ἕλκει, τῶν δερμάτων, τῶν τιτθῶν
σπατίλουροι· οἱ τὴν οὐρὰν εἰς τὴν σπατίλην ἐκτιθέντες
σπατίλη (Hippocr. 388, 35)· τὸ ὑγρὸν διαχώρημα
σπάτος· δέρμα. σκύτος
†σπαύονθες Σαλαμίνιοι [39]
σπεῖμα· σχοινίον (πεῖσμα) [41]
σπείομεν· πορευθῶμεν. ἀκολουθήσωμεν
σπεῖό μοι (Κ 285)· ἐπακολούθησον, σύνελθέ μοι [44]
(σπεῖρα)· †σπύλων οἱ πρὸς τῇ βάσει λίθοι. καὶ τῆς νεὼς σκεῦός τι (ε 318). καὶ σύστρεμμα ἐκ σχοινίου, ἡ ῥάκη (δ 245). καὶ ἱμάτια. καὶ ἱστία. ἄλλοι εἶδος ἱματίου εὐμέγεθες γυναικείου
σπεῖραι· σειραί. δράγματα. ἕλικες. καὶ τὰ μαλάγματα τῶν νεῶν
σπείραμα· πλῆθος [48]
†σπείρεσιν· †αἱ ἐλυγαῖς τοῦ ὄφεως
(σπειρηδών· εἴλησις, περιπλοκή) 1465
σπεῖρον (ε 318)· τὸ καλὸν ἱμάτιον, καὶ τὸ ῥακῶδες
σπεῖσαι· ἐκχύσαι, προσενέγκαι, θῦσαι θεῷ
σπέλεκτος· πελεκάν
σπελλάμεναι (Aeol.)· στειλάμεναι
σπέλληξι· σπελέθοις
σπένδαμνον· ξύλον (σφ—)
σπένδεσθαι· θυσιάζεσθαι
σπένδεται· θύεται [58]
σπενδόμενος· ἀνατιθεὶς τῷ θεῷ
σπέος (Δ 279)· σπήλαιον, ἄντρον
σπεργανῆσαι (Aeol.?)· σπαράξαι (1419)
σπέργδην· ἐρρωμένως
σπέργουλος· ὀρνιθάριον ἄγριον
σπέργυς· πρέσβυς
σπερηδών· εἴλησις, περιπλοκή [66]
σπερματίας (Cratin. p. 97)· ὁ μέγας σικυός

COD. (99 σπάλυθρον?) 1401 σπάρναχα (cf. πάνακτος) 9 σπάργαι (forte Hippocr. 1053 G) 14 πλῆρες 23 σπαρτωλός 26 σπάσατο (33 σπατικτόν?) 38 Cf.
τ
ἔνανον (Bergk. titul. Arcad. p. XI) 45 ἱμά (cf. Basil. Patric. Naumach. p. 138) 46 cf. ἐπιζευκτήρ 63 cf. πέργουλος 65 σπέρηδον

HES. 1403 σπανίζεται (Iob. XIV 11)· σκορπίζεται. ἀπορεῖ 20 σπάρτα (Β 135)· σχοινία. ῥάμ(μ)ατα 21 σπαρτίου (Aquil. Genes. XIV 24)· ῥάμ(μ)ατος 25 σπασάμενος (κ 439)· ἑλκύσας Ad 26 εἵλκυσεν (Λ 240) 39 σπειλάς· πέτρας (σπιλάς) 41 σπινθήρ· ἀκοντισμός. ..... πυρὸς ἀποβολαί (1524) 44 σπεῖος (ε 194)· σπήλαιον 48 σπεῖρα· πλῆθος. στράτευμα. [τάγματα. ἡ συστροφαί 58 σπένδομαι (II Tim. IV 6)· θύομαι 66 σπέρμα πυρός (ε 490)· τὸ ἡμίκαυστον ξύλον. ἡ αὐτὸ τὸ πῦρ. ἡ βραχύ τι τοῦ πυρός. ἡ τὴν λαμπηδόνα. ἡ σπινθῆρα

σπερμολόγος (Dem. 269, 19)· φλύαρος. καὶ ὁ τὰ σπέρματα συλλέγων. καὶ κολοιῶδες ζῷον

σπερμονόμος· τὰ αὐτά

σπέρξομαι· ὀργισθήσομαι

σπερύνειν· σπείρειν [ad 71]

σπέρχει· σπουδάζει, σπεύδει [73]

σπέρχειν· σπεύδειν. χαλεπαίνειν. θυμοῦσθαι. ἀπειλεῖν. ταράσσεσθαι

σπερχνή (Hippocr. II p. 572 K)· σπερχνοποιός

σπερχνόν (Hesiod. Scut. 454)· σπουδαῖον. καὶ εἶδος ἱέρακος

σπερχνός· ταχύς. σπουδαῖος. ἄγαν ἐγκείμενος πρός τι, ἢ ἐπειγόμενος

σπερχόμενος (Δ 110)· ἐπειγόμενος

σπέρχοντες· ἐπείγοντες. θυμοῦντες

σπερχυλλάδην κέκραγας (Com. CCCLXXXVII)· ἀγανακτήσας ὑλακτεῖς ἄγαν, παρὰ τὸ σπέρχεσθαι

σπέρχων· ἐπείγων. κελεύων

σπέσθαι (χ 324)· ἐπακολουθῆσαι

†σπέται· ἵσταται

σπέτε· εἴπατε (cf. ἔσπετε)

σπεύδεται· ἐριθ[ρ]εύεται, ἐρεθίζεται

σπεύδων (Hes. Scut. 364)· σπουδάζων, ἐνεργῶν

σπεύσαιτο· παρακαλέσειεν

Σπευσανδρίδαι· γένος ἰθαγενῶν

σπεῦσεν· ἔκαμεν (ι 250?), ἐταλαιπώρησεν, ἐκακοπάθησεν

σπήλαιον· ἄντρον, σπέος

†σπηλόν· σκληρόν

σπήλυγγες· τὰ κοῖλα τῆς γῆς, σπήλαια

†σπήσονται· συνέσονται ⟨1526⟩

σπίγγος· ἰχθῦς

σπίγγον· σπίνον

?σπίλα· στέμφυλα [97]

σπιγνόν· μικρόν, βραχύ

σπίδεος (Λ 253)· μεγάλου. στρογγύλου. μακροῦ

σπίδιον (Aesch. fr. 369)· τὰ αὐτά (cf. ψίδιον)

σπιδές· μέγα, πλατύ, εὐρύ

σπιδνόν· πυκνόν, συνεχές, πεπηγός

σπιδόεν· μέλαν. πλατύ. σκότεινόν. πυκνόν. μέγα

σπίζα (Soph. fr. 395)· ὀρνιθάριον, στρουθῷ ἐμφερές

σπιζία· τὰ ὄρνεα ἅπαντα ⟨cf. ἔπιζα⟩

σπιζίας (Ar. HA. VIII 3 IX 36)· εἶδος ἱέρακος

σπιζίτης (id.)· εἶδος αἰγιθαλοῦ ὀρνέου

σπιθαμή· τὸ μέτρον, τὸ ἀπὸ τοῦ μεγάλου δακτύλου ἐπὶ τὸν μικρὸν διάστημα ἐκταθέν

σπιθίαι· σανίδες νεώς

σπίκανον· σπάνιον

σπίλα· χορδαὶ ἐξ ἐντέρων ⟨2905. 6⟩

σπιλάδες (ε 405)· αἱ περιεχόμεναι τῇ θαλάσσῃ πέτραι

σπίλαξ· μῶλος ὁ πλατανώδης

σπίλοι· αἱ ἐν τοῖς ἱματίοις κηλῖδες

σπίλον Παρνασσίαν· Ἴων Ὀμφάλῃ (fr. 19). οὐκ εὖ. σπιλάδες γὰρ πέτραι

σπίλος· ῥύπος ἱματίου. [1517] κηλίς. πέτρα πωρώδης. χοιράς. γῆ κεραμική

?σπίλη· συμπεφυκός. λεῖον

†σπίλων· τραχεῖς τόποι

σπιλῶσαι· ῥυπῶσαι

σπίνα· ὁ σπίνος

†σπινδεῖρα (Boeot.?)· ἄροτρον [23. 24]

σπινθία ⟨—νία⟩· εἶδος ὀρνιθαρίων, σπίνοι

†σπίσονται· συνῶνται ⟨1493⟩

σπλάγχνα· ἧπαρ, ἔγκατα, καὶ τὰ ἐντὸς τῶν ζώων

σπλαχρός (Cyprii?)· μεμιασμένος

σπλεκοῦν (Ar. Lys. 152)· πλησιάζειν, συνουσιάζειν, περαίνειν

σπληδώ ⟨—ός Nic. Th. 763 Lyc. 483⟩· σποδὸς λεπτή, κόνις

σπλῆνες· οἱ ὑπὸ τῷ λέβητι ἕλικες. καὶ παρὰ τοῖς ἰατροῖς τὰ ἐπιμήκη ὀθόνια (Hippocr. II p. 233 K)

(σπληνώδους· ἀσθενοῦς cf. π 2574)

σπογγία· σπογγώδη

σπόγγος· σπογγίον

σποδεῖν (Ar. Av. 1016)· παίειν, συγγίνεσθαι

σποδεῖσθαι· περαίνεσθαι

σποδέοντο· ἐμάχοντο, ἐτύπτοντο

COD. ⟨70 cf. ἐσπερξάμην⟩ 75 σπέρχνη 80 |υλάγδην ⟨93 σπείσονται· συνθήσονται?⟩ 98 cf. ψιγνός 99 μικροῦ 1500 cf. ἀσπιδὲς 1500. 1 = 1. 1500 7 αἰγιδαλοῦ 8 ἐκτεθὲν 15 παρνασείαν 17 χοιρασγή ⟨18 ad σπιλόν — ψιλόν?⟩ 21 σπῖνα, ὁ σπῖνος 22 Theognost. 15, 9 29 cf. κατασπ— et διεσπ— 32 σπόγγια

HES. Ad 71 θυμοῦσθαι. ἀπειλεῖν. διώκειν 73 Σπερχειός (Π 174)· ποταμὸς Θεσσαλίας 97 σπιλάδες (epist. Iudae 12)· μεμια(σ)μένοι 1517 σπῖδος· πρῖνος ⟨ad σμῖλος⟩ 23 Σπίνθεος· ἄροτρον ⟨1523⟩. Ἀπόλλων ⟨1259⟩ 24 σπινθῆρες (Δ 77)· ἀποβολαὶ πυρός ⟨1441⟩

σποδιά (Eur. Cycl. 615)· *κόνις, σποδός*

σποδησιλαύρα (Hipponact.)· *ἡ τὰς ὁδοὺς τρίβουσα, ἢ ἐν τοῖς ὁδοῖς τριβομένη*

σπόδισον (Ar. Vesp. 329)· *ὄπτησον, φλέξον*

σποδός· κόνις. τέφρα: ἀφόδευμα ⟨ψόθος⟩

σποδούμενος (Eur. Andr. 1129)· *τυπτόμενος. καὶ τὰ ὅμοια*

σπολάς (Soph. fr. 10)· *χιτωνίσκος βαθὺς σκύτινος, ὁ βύρσινος θώραξ*

σπόλ†ια· τὰ παρατιλλόμενα ἐρίδια ἀπὸ τῶν σκελῶν τῶν προβάτων

σπολεῖσα (Aeol.)· *σταλεῖσα*

σπόμενοι· μετελθόντες

σπονδαί· εὐχαί. συνθῆκαι (*Δ* 159?)

σπονδεῖον (Arist. fr. XVII p. 964)· *ἀγγεῖον, ἐν ᾧ τοῖς εἰδώλοις οἶνον ἐπέσπενδον· λοιβεῖον. ἐν ᾧ ἔλαιον*

σπονδή· ὁ ἐπιχεόμενος ταῖς θυσίαις οἶνος. συνθήκη. ὅρκος [49]

σπόνδικες· οἱ τὰς σπονδὰς χέοντες

σπονδύλη· ἡ γαλῆ παρ' Ἀττικοῖς

σπόπια· πέμμα, ὃ τινες στατίας ⟨1616. 1657⟩

(Σπ)οράδες· Κυκλάδες νῆσοι ἐν τῷ Αἰγαίῳ

σποράδην (Plat. Prot. 322 A)· *ἐσπαρμένως. ἢ ἐν διαφόροις*

σπορευτής· σπορεύς

σποργαί· ἐρεθισμοὶ εἰς τὸ τεκεῖν ⟨1409?⟩

σπόρθυγγες ⟨Poll. II 28⟩· *αἱ συνεστραμμέναι μετὰ ῥύπου τρίχες* (Com. CCCXIII)

σπορθύγγια· τρίβολα. τὰ διαχωρή(μα)τα τῶν αἰγῶν, ἃ τινες σπυράδας καλοῦσιν

σπορτία· ἑορτὴ ἀγομένη ..... [60]

σπούδαξ· ἀλετρίβανος

σπουδαρχαιρεσίαι· οἱ περὶ τὰ ἀρχαιρέσια σπουδάζοντες

σπουδαρχίαι (cf. Xen. Symp. I 4)· *κατὰ σπουδὴν ἄρχοντες*

σπούδασμα (Plat. Phaedr. 249 D)· *σπουδή*

σπουδή· ἡ συνήθης ἡμῖν σπουδή. οἷον (ο 229) *(σπουδῇ νῦν) ἀνάβαινε· μετὰ τάχους*

σπύγγας· ὄρνις ⟨cf. *πίγγαν*⟩

?*σπυρθίς· ......*

σπυρθίζειν (Aristoph. CCCLII)· *σπᾶσθαι καὶ ἀγανακτεῖν. πυδαρίζειν. καὶ σφύζειν*

σπυρίς (id. p. 1123)· *τὸ τῶν πυρῶν ἄγγος*

σπυρίχνιον· πλεκτόν τι ἐξ οἰσυῶν

?*σπύραθοι· τῶν προβάτων καὶ αἰγῶν ἡ κόπρος*

σπυρούς (Syracus.)· *πυρούς* [73]

†σταβατίναι· κωπεῶνες

†σταβεύς· κωπεών ⟨1949⟩ [76]

†στάγην· κάρδοπον ⟨1650⟩

σταγόνες· ῥανίδες. †θυγατέρες

†σταγρόν· ξηρόν. θερμόν. ἀκμαῖον ⟨1613⟩·

σταγών (Timae. Locr. 99 C)· *ἐν τοῖς μεταλλικοῖς τὸ καθαρὸν σιδήριον, ὅ(θεν) καὶ σταγονόθαλπον τὸν διαιροῦντα ταῦτα καλοῦσιν*

σταδαῖα (Aesch. Pers. 239)· *ἑστηκότα. ὄρθια*

σταδαῖον μέλος· τὸ πρᾶον [83. 84]

σταδία· ἡ λυχνία [86]

σταδινόν· παρὰ †Δίωνι πολίτην

στάδιον· τέλειον (sc. *χιτῶνα*). *βραβεῖον* (q v.), *ἐπινίκιος δόξα*

στάδιος χιτών (Callim. Hecal. fr. LIX)· *στατὸς θώραξ* [90]

σταθερόν· βέβαιον, ἰσχυρόν, ἑδραῖον. ἄλλοι δὲ τὸ ὑποστατικόν. οἱ δὲ μεσημβρινόν, ἢ ἑστηκός. ἔνιοι θερμόν, καθαρόν, γαληνόν, εὔδιον

σταθερήν· τὴν μεσημβρινὴν ὥραν, τὴν θερμήν, ὡς Πλάτων (Phaedr. 242 A)

σταθεύειν· πυροῦσθαι ⟨cf. *σαθ—* 1649⟩

σταθεῦσαι (Ar. Av. 1051)· *τὸ τῷ πυρὶ ἡσυχῇ χλιᾶναι κρέας, καὶ τὸ ὀπτῆσαι*

σταθευτός (Aesch. Prom. 22)· *πεφλογισμένος ἠρέμα*

σταθμά· θύρετρα (Eur. H. f. 999). *τάλαντα*

σταθμά· φλιαί • [98]

COD. 38 *σποδι^α λαῦρα* (ε) 39 *σπόδησον* (π) ⟨47 *λοιβάσιον*?⟩ 51 *σπονδύλλη, ἡ γάλλη π* 53 *ἐγαίῳ* 54 *ἐνδιαφύρους* 57 *μεταρύ* 58 *τρίβηλα — σπυρίδας* 61 *ἀλεκτ|* 64 *σποῦσμα, σπ. σπούδασμα* 70 *οἰσυίων* 72 *|ρρούς* bis 74 *|ῖναι* 89 cf. *ὀρθοστάδιοι* 96 *θήρατρα* 97 *σταθμία, φλοιαί*

HES. 49 *σπονδεῖα* (Exod. XXV 29)· *ἀγγεῖα, δι' ὧν σπένδουσι* 60 *σπόρτουλον· τόκον* ⟨sportulae⟩ 73 *σταβαλοχόμαν* (Soph. fr. 991)· *οὐλοκόμην* ⟨14918. 2024⟩ 76 *σταβόλιχον· εὔστραβον* 83 *στάδιον· γυμνάσιον. καὶ τόπος μέγας ἁπλοῦς καὶ ὁμαλός. ἢ μέτρον χωρίου* (cf. *σπάδιον*) 84 *στάζει· ῥέει* 86 *σταδίη* (*H* 240 al.)· *ἡ συστάδην καὶ ἐκ χειρὸς μάχη, ἢ ἐκ συστάσεως καὶ ἐκ διαδρομῆς* 90 *σταθέν. μένος* ⟨*σταθμούμενος*⟩· *τεκμαιρόμενος, συλλογιζόμενος, στοχαζόμενος* 98 *σερπενδιβίλουμ, βὲλ πλουμβίνουμ. Ῥωμαϊκῶς* ⟨perpendiculum⟩

στάθμη (Ο 410)· σπάρτος, ἐν ᾗ ἀπορθοῦσιν οἱ τέκτονες· ὅθεν καὶ σταθμήσασθαι (Callimach.) τὸ ἀπορθῶσαι λέγεται. ἢ κανών, καὶ τὸ ἐν τῷ διαβήματι μολιβοῦν σκεῦος. καὶ ξύλον ναυπηγήσιμον

σταθμηλάται· ἐξῶσται νεῶν

σταθμήσας (Eur. Ion. 1137)· ἐν ζυγῷ στήσας

Σταθμία· ἐπίθετον Ἀθηνᾶς

σταθμήσασθαι (Herod. VII 214)· συμβαλεῖν, εἰκάσαι

σταθμοί· ἐπαύλεις, ὅπου ἵστανται ἵπποι καὶ βόες. καὶ στρατιωτικὴ κατάλυσις. καὶ ἡ τῶν θυρῶν παραστάς. καὶ τὰ ἑκατέρωθεν τῶν θυρῶν ξύλα, ἃ νῦν πήγματα καλοῦμεν (η 89) [1605]

σταθμόνες· φλιαί [7]

σταθμοῦχος (Aesch. fr. 222)· ὁ τῆς οἰκίας κύριος. καὶ ξενοδόχος [9. 10]

†στενάζειν· λυπεῖν (—σθαι). τινὲς δὲ πατάξαι τὸ ἱερὸν ὀστοῦν. ἄλλοι ἐπάειν (l. παίειν) ἁπλῶς. οἱ δὲ καταμανθάνειν τὰ στήθη (1741. 1826)

σταινίον· τὸ ἱερὸν ὀστοῦν, καὶ τὸ ὑπογάστριον

†σταιρόν· ξηρόν. θερμόν. ἄκρατον (1579)

σταῖς (Eupol. fr. XL p. 561)· φύραμα ἀλεύρου πυροῦ

σταιτήϊα· πέμματος εἶδος

στα(ι)τίας (Epicharm.)· ἄρτου εἶδος

†σταιτική· ἕστηκας

στακτήν (Antiphan. com. p. 131)· τὸ ἀπὸ σμύρνης γινόμενον

στα(κ)τικόν· πεμμάτιον πλακουντῶδες. ἄλλοι δὲ ἀγγεῖα διυλίζοντα Νειλῷον ὕδωρ

στακτόν· τὸ διυλισμένον

σταλαγεῖ· μαρμαρύσσει (σελ—?)

σταλαγμός· σταγών, ῥανίς

σταλάσσων (Eur. Andr. 1046)· στάζων

σταλείς (Pind. Ol. XIII 47)· πεμφθείς

σταλεηδόνες· σταλαγμοί [26]

σταλῆναι· ἐλθεῖν. ἡτοιμάσθαι

σταλίδας· τοὺς κάμακας, ἢ χάρακας

σταλίζομαι· ἐπὶ τῆς στήλης †τρόπον ἑστηκ†ας

στάλικες (Xen. Cyn. II 8)· πάσσαλοι. ξύστραι (1720. 21). στῆλαι

στάλιξ· ξύστρα (1720. 21). ἢ πάσσαλος

σταμάγορις· ὅταν ἐν ὑφῇ πλείονες συστραφῶσι στήμονες

σταμῖνες (cf. ε 252)· παραστάται, καὶ τὰ ἐπὶ τῆς σχεδίας ὀρθὰ ξύλα, πρὸς ἃ αἱ σανίδες προσηλοῦνται, ἢ πάσσαλοι. παρὰ τὸ ἑστάναι

σταμνίον Θάσιον (Ar. Lys. 196)· κεράμειον ἀγγεῖον

στάμνος (Alex. com. p. 465)· ὑδρία, κάλπη. κάλαθος

σταμνοῦροι· οἱ τοῖς ἐφήβοις προστιθέμενοι ἐλαίου στάμνοι

†στάνει· τείνεται (στει—). συμβέβυσται

†στάνης· δύστηνος

†σταρεῖ· βάπτει [40]

στάρτοι· αἱ τάξεις τοῦ πλήθους (= στρατοί)

στασάμενον· δανεισάμενον

στασύνη· ἐγγύη, ὑποθήκη

στασιάζει (Ar. Eqq. 59 A)· θόρυβον κινεῖ, ἀτακτεῖ

στάσιμον ἦθος· βέβαιον, στερεόν

στάσις· θέσις. χορός (Aesch. Cho. 458). συνέδρα. ἐργαστήριον

στασιῶται (Herod. VIII 132)· οἱ ἐκ τῆς αὐτῆς τάξεως

†στατά· μακρά (ἐκτατά?) [49]

στατή· †πάρνη. κάρδοπος (1572)

στατήρ· τετράγραμμος (1609)

στατῆρσι προστιθέντες· ὑπὲρ στατήρων ὁριζόμενοι, συνθήκας τιθέντες περὶ στατῆρος. ἐλέγετο δὲ καὶ τὸ χρυσίον στατήρ

στατιαῖον· τὸ πενταμνοῦν. καὶ διστάτους τυροὺς τοὺς δεκάμνους

†στατίδας· ναύτας εἰς πόλεμον

στατίζονται· ἱερῶνται. αὐλίζονται, ἵστανται

στατίζουσι (Eur. El. 316)· στάσιν ἔχουσιν

στατίνη· ἡ ἐκ στέατος πεποιημένη καὶ ἁπλῆ (1552. 1616. 1640) [58]

(σ)τάτοι· ἀρχή τις

COD. 1604 παράστασις 18 cf. ἰσοστάσιον (19 ἀγγεῖον διυλίζον τὸ?) 23 στάσσων 27 ἑτοιμάσαι 32 ὑφεῖ 33 σταμῆνες 34 σταμνεῖον 42 δασυνάμενον 50 στατηπάρνη 52 ὀργι| 53 πενταμιοῦν — διαστάτους τ.ρούς

HES. 1605 †σταθμηότα· λέγεται πολὺ ἀφεστηκότα 7 σταθμὸν ἔσχατον (Ierem. IX 2) 9 στατήρ (Matth. XVII 27)· τετράγραμμον, ἤγουν ἥμισυ οὐγγίας 10 σταθμῶν (ρ 187. 223)· τῶν τῆς θύρας παραστατῶν, ἢ μανδρῶν, ἢ τόπων ἔνθα ἀναπαύεταί τις 26 στάλη· ταμεῖον κτηνῶν. ὁ σταλός 40 σταρτήμας· τὰ σίτη ἄλευρον (1677) γεγενημένα. ἡ γὰρ ζύμη στέαρ λέγεται (σταιτίνας) 49 στατεύει (Cretic.?)· θάλπει (1593) 58 στρατιῶν· τὸ τῆς †φύσεως ὅπερ ἐξέστη κατὰ †φυλάς (statio)

(σ)τάτος· σκάφη (1668). ἄλλοι δὲ τὰς πέντε μνᾶς [61]

στάτρια· ἐμπλέκτρια

†σταυνίξ· ἱέραξ

σταυροί (Apoll. lex. 144, 13)· οἱ καταπεπηγότες σκόλοπες, χάρακες, καὶ πάντα τὰ ἑστῶτα ξύλα, ἀπὸ τοῦ ἑστάναι [65. 66]

σταύρου· σταύρωσον

στάφος (Simonid. epigr. 112)· σκάφος (1660). λεκάνη

σταφύλη· ὁ διαβήτης, ἀπὸ μέρους. ἐπεὶ σταφύλη καταχρηστικῶς ἐλέγετο ἡ τοῦ διαβήτου μέση κρεμαμένη μολυβίς, ἐπὶ (?) δὲ κανόνα ἀποδέδωκεν. ἔστι δὲ ἡ μολυβὶς ἡ καθιεμένη (Callim. fr. CLIX) διὰ τοῦ διαβήτου κανὼν λα.ξοϊκός, ἐν ᾧ σταθμίζουσι τοὺς λίθους, ὅ ἐστιν ἀπορθοῦσιν. Ἀττικοὶ (Nicoph. com. p. 855) δὲ τὴν ἐν τῷ στόματι κίονα σταφυλήν· βότρυν δὲ καὶ ὀπώραν τὴν ἀπὸ τῆς ἀμπέλου (η 121). τινὲς δὲ τοῦ ζυγοῦ τὸ μέσον

σταφυλίζειν· τὸ συν(δ)ιάζειν τὰς ᾤας τοῦ ἱματίου

σταφυλῖνος ἄγριος, ὃν ἔνιοι κέρας (Theophr. IX 15, 5) καλοῦσι. καὶ ζῶον ἡλίκον σφονδύλη (Ar. HA. VIII 24)

σταφυλοβολεῖον· μέρος τι τῆς ληνοῦ

σταφυλοδρόμοι· τινὲς τῶν Καρνεατῶν, παρορμῶντες τοὺς ἐπὶ τρύγῃ

στάχυς· ἰατρικὸς ἐπίδεσμος. καὶ πόα τις (cf. αἰγίλωψ). καὶ τῆς σιτηρουχίας ἡ ἔκφυσις (Poll. II 168). καὶ παρὰ τοῖς ναυπηγοῖς τὸ ἐπὶ τῆς φάλαγγος μεριζόμενον [75. 76]

στέατα· ἄλευρα. ζύμη (1640) [78]

στεγανίσαι· στέγῃ ὑποδεχθῆναι

στεγανόμιον· τὸν μισθὸν τὴν διδόμενον ὑπὲρ τῆς μονῆς τῷ πανδοχεῖ

στεγανόν· στεινότερον, τὸ δυνάμενον στέγειν τοὺς λόγους καὶ μὴ ἐξαγγέλλειν. στεγνὸν δὲ ἡ πυκνόν, σφιγκτόν, συνεχές

στεγανόποδες ὄρνιθες (Ar. HA. II 12 VIII 3)· οἱ ἐν ὕδατι τρεφόμενοι καὶ διατρίβοντες, καὶ τοὺς πόδας ἔχοντες στεγανούς, ἤτοι δέρματι ἐνειλημμένους

στεγανώματα· τὰ ἐν τοῖς τοίχοις, οἱ λεγόμενοι σύνδεσμοι

στεγανώτερον· σιωπηλότερον

στεγαστήρ· τὸ θριωτὸν ἔφημα

στέγει· κρύπτει, συνέχει. βαστάζει [ad 86]

στεγῖτιν· τὴν πόρνην

στεγ(ν)ὴ γαστήρ (Hippocr. 604, 21)

στεγναί· στερεαί

στεγνοῖ· στερονεῖ. †ταπεινοῖ

στεγνόν· †στενόν, πενιχρόν

στέθματα (Aeol.)· τὰ στέμματα

στείβει· ὁδεύει, πατεῖ

†στειβεύς· ὁδευτής (1857)

στειβομένη (Theocr. XVII 122)· πατουμένη. στείβοντες (Λ 534) δὲ οἱ περιπατοῦντες· ἀφ' οὗ καὶ ὁ πλύτης στειβεύς

στεῖλαι· συστεῖλαι. ἀποστεῖλαι

στειλαμένη· παραφησαμένη

στειλάμενοι· συστείλαντες. πλεύσαντες

στειλάμενος· ὁμοίως [1700]

στειλέαν· τὴν μακρὰν ῥάφανον. Ἀντιφάνης ἐν Κιθαρῳδῷ (fr. IV)

στειλειή (φ 442)· τοῦ πελέκυος ἡ ὀπή, εἰς ἣν ἐντίθεται τὸ ξύλον

στείνεα· ἡ στενοχωρία

στείνομαι· ὀδυνῶμαι, στένω

στεινόν (Herod. VII 176)· λεπτόν. στενόχωρον

στείνοντο (Ξ 34)· ἐστενοχωροῦντο

στεῖνος (Μ 66)· στένωμα, στενοχώρημα (ῥηγμός 1865)

†στείνων· ὡραϊστής, καὶ ἐπ' αὐτῷ ἀρίσκων

στεινωπόν (μ 234)· στενόν. ἢ τὸν ὑπὸ τὴν Σκύλλαν καὶ Χάρυβδιν τόπον στενὸν ὄντα [10. 11]

στείοντες· ἱστάμενοι (1869)

στεῖρα· ἡ ἄτοκος (κ 522). καὶ τὸ ἐξέχον τῆς πρώρας ξύλον κατὰ τὴν τρόπιν (Α 482)

Στειριεῖς (Lysias 147, 13)· δῆμος φυλῆς τῆς Πανδιονίδος

στείρωμα· τρόπις

στεῖχε (Soph. Ai. 73)· ἴθι, πορεύου

στείχειν (Δ 331)· πορεύεσθαι

COD. 69 κακόνος — καθημένη 72 |βόλιον 74 |ουσίας 79 |ῆσαι 80 στεγανόμενον 85 θρίωπον 87 στεγητήν 88 στέγη, γαστήρ 95 ὀπλύτης (97 παραφευ —?) 1700 ἀντοφάνης 2 στειλέη 3 στεινέα

HES. 61 στατὸς ἵππος (Ζ 506)· ὁ ἐπὶ φάτνῃ τρεφόμενος καὶ [ἐξ]εστηκὼς ἐπὶ πολὺν χρόνον 65 σταυρούς (ξ 11)· ἐκ τοῦ εἰς τὴν αὔραν ἵστασθαι 66 σταυροτύπως (Greg. Naz. C. I 2 vol. II p. 31)· σταυροειδῶς 75 στέαρ· λίπος. ζύμη (gl. in Cant.) 76 στέζας· ἐμῆς 78 στέατος (φ 178)· λίπους Ad 86 ὑπομένει (I Cor. XIII 7) 1700 στεῖλαν (γ 11)· συνέστειλαν 10 στεινωπός (Ψ 427)· στεινὸς τόπος 11 στείωμεν (Ο 297)· στῶμεν

στείχωμεν (e. c. Aesch. Prom. 81)· πορευθῶμεν ⟨1883⟩
στελεόν (ε 236), οὐδετέρως· τὸ τοῦ πελέκυος ξύλον [20. 21]
στελέχια· πρεμνία
στέλεχος (Theophr. I 2)· κορμὸς ξύλου, κλάδος
στελίς· ... περὶ φυτῶν (Π 17) τὴν ἰξέαν ὑπὸ Εὐβοέων
στελλάνδρα (Dionys. tyr.)· ἡ κόρη
?στέλλα· ζῶσμα (Xen. An. III 3, 20?)
στέλλει· πέμπει. στολίζει. ὁρμᾷ
στέλλεται· φοβεῖται [ad 28] [29]
στέλμα· στέφος, στέμμα
στελμονίαι (Xen. Cyn. VI 1)· ζώματα
στελύπην· ἀσφόδελον
στεμβάζειν· λοιδορεῖν, χλευάζειν
στεμβάσεις· λοιδορία [35]
στεμ(μ)ατιαῖον· δίχηλόν τι ἐν ἑορτῇ †πομπέων δαίμονος
στέμφυλα· τὰ πτίσματα τῶν ἐλαιῶν (Atheniens.). οἱ δὲ τὰς ἀπυρήνους ἐλαίας. καὶ τῶν σταφυλῶν τὰ ἐκπιέσματα (Alexandrini) [38]
στεναγμός· λύπη [40]
στενάσαι· τινὲς πλῆξαι καὶ παῖσαι· οἱ δὲ .... στένιον τὸ στῆθος ⟨1611⟩
†στεναχεῖλαι· δαμάζεσθαι [43]
στενάχοντι· στένοντι
στένει· δυσπαθεῖ. στενοχωρεῖται. στενάζει [46]
στενολεσχεῖ (cf. Ar. Nub. 319)· στενολογεῖ
στενολεσχία· μικρολογία, λεπτολογία, ὀλίγη ὁμιλία
στενόπορος (cf. Eur. Andr. 1143)· στενὴ ὁδός [50. 51]
στενυγρόν· εὐριπῶδες, στενόν, καὶ συριγγῶδες
στένων (Dem. 332, 12)· στενάζων
στενωπός (Soph. OT. 1399)· ἡ ἀγυιά, καὶ πλατεῖα, καὶ ἄμφοδος
στενωπῷ· στενότητι τόπων. ἡ ῥύμη

στεπτήρια· στέμματα, ἃ οἱ ἱκέται ἐκ τῶν κλάδων ἐξῆπτον
στέργει· φιλεῖ, ἀγαπᾷ
†στεργάνος· κόπρων (Stercus, κοπρών?)
στέργηθρον (cf. Aesch. Prom. 492)· φίλτρον. καὶ πόα τις
στέργουσιν· ἀγαπῶσιν
στερεαί· τινὲς τῶν δικαστικῶν ψήφων [ad 61]
στερέμνιον· στερεόν, ἰσχυρότατον
στερεόν· καταπληκτικόν [ad 63]
†στερηναῖα, ὁδός, ἡ Ἱπποκόου τι· ἡ πολεμία, καὶ στερητικὴ τῶν πάντων, οἷον [στερνοτύπη καὶ στερναία]· ἡ ἀπειθὴς ἀπὸ τῶν στρηνιώντων ἵππων
στέρησις· ἀποστέρησις, ἁρπαγή
στερθ†έμεν· στερηθῆναι
στερίσκω· ἀποστερῶ
στεριφευομένη· παρθενευομένη
στερίφη (Ar. Thesm. 641)· στεῖρα, μὴ τεκοῦσα, μηδὲ τίκτουσα
στερίφοις· ἀνισχύροις. ἀγόνοις, στέροις
στεριφώτερον· ἀνισχυρότερον. μὴ στερεώτερον
στέρνα (Eur. El. 1321)· στήθη
στέρνιξ· ἐντεριώνη
στερνόμαντις (Soph. fr. 56)· ὁ ἐγγαστρίμυθος. Πύθων
στέρνον· στῆθος (Β 479). διάνοιαν, φρένα (Soph. Tr. 482)
στερνοτυπούμενοι· εἰς τὰ στήθη κοπτόμενοι
στερνοτύπτης· ὁ τὸ στῆθος τύπτων
στεροπή· [ad 78] αὐγή
στεροπηγερέτα Ζεύς (Π 298)· ὁ τὰς ἀστραπὰς συναγείρων [ad 79]
στερρόν (Eur. Andr. 98)· ἰσχυρόν, ἀσφαλές, βέβαιον
στερφίνα· δερματίνη· οἱ δὲ δέρματα ὄνεια ⟨στέρφινα⟩· οἱ δὲ στεῖρα (ad στερίφα), ἢ σκληρά (ad στέριφνα)
στέρφνιον ⟨στέριφνον?⟩· σκληρόν, στερεόν

COD. 22 πρέμια (cf. χαλάμια) 24 εἰξέαν (cf. ἀστυλίς) 26 σῶσμα 31 στελμόνια 34 |ζεις 37 πταίσματα — ἀπυρίνους ἔλας 49 στενοπόρος 52 στένυτρον, εὐρυπωδέστερον 55 τόπῳ 56 οἰχέται 64 τῶν στέρνων τῶν 76 χαμπτ| 78 στερόπη

HES. 20 στέλγει· ξύστρα 21 στελγίς· ξυστρίς ⟨στλεγγίς⟩ Ad 28 καὶ στέλλεσθαι· ...... 29 στέλλοιμι (Μ 325)· πέμποιμι, καὶ ἀποστέλλοιμι 35 στέμμα (Α 28)· στεφάνωμα 38 στεναγήν· πεπυκνωμένην ⟨στεγανήν⟩ 40 στεναγώτερον· πεπυκνωμένον ⟨στεγαν—⟩ 43 στεναχίζετο (Η 95)· ἀνέστενον 46 στενόεσ(σ)α· στεναχτική (ρ 102) 50 στενοτυπούμεναι· εἰς τὰ στήθη κοπτόμεναι, στερνοτυπούμεναι 51 Στέντορι εἰσαμένη (Ε 785)· τῷ Στέντορι ὁμοιωθεῖσα Ad 61 ἄλλοι δὲ ἀστέρας (ἔχον) Ad 63 ποικίλον ⟨ἀστερόεν⟩ Ad 78 ἀστραπή (Λ 66) Ad 79 [ἀστραπή]

στέρφος (Iones)· δέρμα, βύρσα
στέρχανα· περίδειπνον. Ἠλεῖοι
στέρφανον· ἀξίνη, πέλεκυς ⟨1990⟩
στεῦτο (B 597 λ 584)· κατὰ διάνοιαν ἵστατο καὶ διωρίζετο, ἢ διεβεβαιοῦτο
στεφάναι· αἱ τῶν βωμῶν ὠλέναι. καὶ τείχους ἐπάλξεις καὶ πύργων (Eur. Hec. 910) καὶ αἱ τῶν βλεφάρων ἀπολήξεις. καὶ περικεφαλαίας ......
στεφάνη· ὄρους ἐξοχή. καὶ εἶδος περικεφαλαίας ἐξοχὰς ἐχούσης (K 30). καὶ κόσμος γυναικεῖος
στεφανίσαι· στεφανῶσαι
στεφανίων· εἶδος κολοιοῦ
στέφανον ἐκφέρειν· ἔθος ἦν, ὁπότε παιδίον ἄρρεν γένοιτο παρὰ Ἀττικοῖς, στέφανον ἐλαίας τιθέναι πρὸ τῶν θυρῶν· ἐπὶ δὲ τῶν θηλειῶν ἔρια διὰ τὴν ταλασίαν [92]
στέφανος πολέμοιο (N 736)· μεταφορικῶς, ἀπὸ τῆς στεφάνης, ὅ ἐστιν περίβλημα κεφαλῆς γυναικεῖον
στεφανοφορέοντα· ἀπ' οἴκου τινὸς καλουμένου Στεφανηφόρου
στεφάνωμα (Cratin. fr. XIII p. 100)· τὸν λωτόν, διὰ τὸ πάντα τὰ φυλλώδη καὶ ποώδη στεφανώματα λέγεσθαι
στέφεα· στεφῶνες. ἐν Ὀποῦντι τόπος στεφάνων ⟨Στεφανῶν?⟩ καλεῖται
στέφει (Θ 170)· κοσμεῖ, στεφανοῖ
στέφεται· στεφανοῦται, κοσμεῖται
στεφέτην ⟨—ίτην⟩· ἱκέτην
στεφέων (Eur. Tro. 258)· στεφάνων
στέφη (Cratin. fr. V p. 34)· στέμματα. ἀπαρχαί, ἀρχαί
στέφος (Aesch. fr. 231)· τὰ αὐτά
στεφών· ὑψηλός, ἀπόκρημνος
στέψαι· πληρῶσαι. στεφανῶσαι. κεράσαι. κυκλῶσαι
στῆ (Λ 197)· παρέστη, ἔστη
στηβύσσειν· ἀδολεσχεῖν [1807]
†στηδόν· γλαυκόν ⟨474⟩ [9]
στηθίας· ὄρνις ποιός ⟨σπιζίας?⟩
στῆθος· τὸ ἐν τῇ θαλάσσῃ πρόσχωμα. καὶ τὸ ὑπὸ τοὺς ποδῶν δακτύλους στηθύνιον (Hippocr. III p. 222 K)
στῆλαι (M 259)· οἱ λίθοι τοῦ τείχους οἱ προεστῶτες κάτωθεν πρὸς ἀντέρεισμα. καὶ θεμέλιοι
στήλας διστόμους· τινὲς τὰς Ἡρακλείους στήλας· ἔνιοι αὐτὰς νήσους εἶναί φασιν, οἱ δὲ προσχώματα, οἱ δὲ τῶν ἠπείρων ἄκρας, οἱ δὲ πόλεις. καὶ οἱ μὲν δύο, οἱ δὲ τρεῖς, οἱ δὲ μίαν, οἱ δὲ τέσσαρας
†στήληκα· τὴν νύσσαν
στηλίδια· οἱ τεθειμένοι ὅροι
στηλίτας (Dem. 122, 5)· οὕτως ἐκάλουν Ἀττικοί, οἵτινες ἐπ' αἰτίᾳ τινὶ (ἐ)στηλογράφησαν
στηλιτευθείσης· φανερωθείσης, δημοσιευθείσης
στηλιτεύοιντο· καταβάλλοιντο
στηλιτεύοντος· καταβάλλοντος
στηλιτεῦσαι· ἐπὶ στήλης γράψαι, θριαμβεῦσαι, δημοσιεῦσαι, παραδειγματίσαι
στῆμα· ἐν ναυτικοῖς ὀνόμασιν ἀναγέγραπται. καὶ ἐπὶ φυτοῦ τίθεται. καὶ τὰ ὅμοια ⟨αἰδοῖα?⟩
στημνίον· ὃ ἡμεῖς κατάστημον ἢ πολύστημον
στημονίας κικίννους (Cratin. fr. XCVI)· τοῖς στήμοσιν ὁμοίους
στῆναι· χαλεπῶς ἢ σκληρῶς ἔχειν
στήνια (Eubul. fr. XXV p. 271)· ἑορτὴ Ἀθήνησιν καὶ (στηνιοῦσι) διασκώπτουσι καὶ λοιδοροῦσιν
στήνιον· στῆθος ⟨1741. 1611⟩
στηνιῶσαι· βλασφημῆσαι, λοιδορῆσαι ⟨1825⟩
στῆρα· τὰ λίθινα πρόθυρα
?στήριον· ἱέρακι. Σέλευκος
στήριγγες (Xen. Eq. I 5 Nicostr. com. p. 290)· ἐρείσματα. οἱ δὲ τὸ δίκρουν, ὅπερ ὑποτιθέασι τῷ τῆς ἁμάξης ζυγῷ. οἱ δὲ βάκτρον
στῆ ῥ'. ἀντασχομένη (ζ 141)· τὰς χεῖρας ὑπὸ τὸ πρόσωπον ἀνατείνασα
'στηριγμένον· ἱστάμενον
στηρίξαι· στῆσαι (μ 434?), ἐνερεῖσαι, ἁρμόσαι. ἐγγίσαι. κρύψαι
στῆσαι· καθίσαι. πληρῶσαι ⟨1804⟩
στήσασθαι (Lysias 117, 39)· τὸ δανείσασθαι οὕτως ἔλεγον. ἐπὶ σταθμῷ γὰρ πάλαι ἐδάνειζον. καὶ στάσιμον τὸ δεδανεισμένον [36]

COD. 83 cf. στρέφος, τέρφος 84 στερχανά cf. τέρχανον τέρχνεα ταρχάνιον 91 ταλάσειαν 95 τῶν λῶσον (τ suprascr.) 1806 στωβύσσειν Suid. 11 πρόσχωσμα 13 τρία 15 στηλήδια; cf. ὅρος 16 αἰτίαν τινὰς ⟨22 στημόνιον?⟩

HES. 92 στέφανος .... (Prov. I 9 IV 9)· τῶν πνευματικῶν χαρισμάτων ὁ στέφανος 1807 στῆ δὲ παρὲξ (Λ 486)· παρέστη δὲ ἐκτός 9 στήθεσι λασίοισι (Α 189)· πεπυκνωμένοις λογισμῷ καὶ εὐψυχίᾳ 36 στῆσεν (B 558)· ὥρμησεν

στησίφυλλον· τηλέφιλον τὸ φυτόν
στῆτα (cf. Δ 6)· γυνή
στῖα ψήφους (Hippocr.)· οἱ δὲ στίας. δηλοῖ δὲ καὶ στενοχωρίαν, καὶ λιθοκονίαν [40]
στιάζει· λίθοις βάλλει
στιβαρόν (Call. Dian. 75)· εὔρωστον, βαρύ, εὔτονον, στερρόν, ἰσχυρόν (Ε 746)
στιβάς· ἀπὸ ῥάβδων καὶ χλωρῶν χόρτων στρῶσις, καὶ φύλλων. ἢ χαμαικοίτη
†στιβδός· μαστιγίας. δραπέτης
στιβεύειν· ἰχνεύειν, πατεῖν, πορεύεσθαι. καὶ στείβειν ὁμοίως [46]
στίβη (Antiphan. com. p. 103)· ἀ(νδ)ράχνη. καὶ χρῶμα μεταλλικὸν μέλαν (στίμμι)
στιβ(ε)ιᾶν· ῥιγοῦν [49]
στίβος· τρίβος, ὁδός. καὶ ἡ ἴχνους ζήτησις
στίγματα· πληγαί. ποικίλματα
στιγμή (Menand. fr. CCCLXXXIX)· νυγμή
†Στιγνοίη· τὸ χωρίον
στίγων (Aristoph. p. 974)· στιγματίας [55]
στίλα. στίλη (Ar. Vesp. 213)· τὸ οὐδὲν καὶ τὸ τυχόν. ἔστι δὲ ὁ σταλαγμός [57. 58]
στίλβει (Eur. Hipp. 195)· λάμπει
στίλβη (Aristoph. p. 1168)· λύχνος, ἐλλύχνιον. ἔνιοι φανόν· Ἀττικοὶ δὲ ἔσοπτρον
στίλβων (Aristot. de mund. 2, 8)· ὁ τοῦ Ἑρμοῦ ἀστήρ
στιλβῶσαι· ἀπαστράψαι [63—66]
στίξας (Ar. Ran. 1511)· σημεῖον ποιήσας. μαστιγώσας
στίξασθαι· περιστήσασθαι ἐν κύκλῳ
†στίοντες· ἱστάμενοι ⟨1712⟩
στιπτῆς †ἕδρας· ὁδευομένης ὁδοῦ [71]
στιτθόν· εἶδος ἀκρίδος [73]
στῖφος (e. c. Ar. Eqq. 852)· τάξις πολεμική. ἢ ὄχλος, σύστρεμμα
στιφρός· πυκνός. εὐθαλής (Aristoph. p. 997) [76]
στίχες (Δ 201 al.)· τάξεις ὄχλων. καὶ στίχας τὰ αὐτά
στιχηδόν· κατὰ στίχον στῆσαι
στίχος· περίπατος [80]
στίχους· τάξεις. πλήθη. ἢ τόποι τῶν στρατευμάτων
στίχουσι (Soph. Ant. 1129)· βαδίζουσι, πορεύονται
στίχωμεν (Aesch. Prom. 81)· πορευθῶμεν, βαδίσωμεν ⟨1718⟩
στλεγγίς (Aristoph. p. 1042)· ξύστρα ⟨1720⟩
στλέγγισμα (cf. Plat. Charmid. p. 324)· ὁ ἀπὸ τῶν ἀποξυσμάτων γλοιός
στοαί (sch. Ar. Eccl. 14)· τὰ ταμεῖα. καὶ ἐπιμήκη εἰσίν
στοβάζειν· κακολογεῖν ⟨1928⟩
στόβος· λοιδορία, ὄνειδος
στοβασμάτων· λοιδοριῶν ⟨1920⟩
στο(ι)βάσουσι· σωρεύσουσι
στοιβή (Hipponact.)· σύνθεσις. καὶ εἶδος χόρτου
?στοιχηδόν (Theophr. III 12, 7)· κατὰ τάξιν. κατὰ στοιχεῖον ⟨1897⟩
στοιχεῖον· πᾶν τὸ ἄτμητον καὶ ἀμερές
στοιχεῖα· πῦρ, ὕδωρ, γῆ, καὶ ἀήρ, ἀφ᾽ ὧν τὰ σώματα. ἢ γράμματα [95]
(σ)τοιχειουμένοις· διδασκομένοις [97]
στοιχ(ε)ίωσις· διατύπωσις, ἡ πρώτη μάθησις
στοιχομυθεῖν· τὸ ἐφεξῆς λέγειν. καὶ ἀδολεσχεῖν
στοιχῶ· συναινῶ
στολάρχης· ὁ τοῦ στόλου ἄρχων, ὁ ναύαρχος
στολή· στάσις. πορεία. κίνησις (Aesch. Suppl. 764). ἔνδυμα, καὶ περιβόλαιον
στολμὸν χρωτός (Eur. Andr. 148)· στολισμὸν σώματος
στολμός· στολισμός (sch. Aesch. Cho. 29)
στόλοχρον· τὸ περικεκομμένον τὰς κόμας, καὶ γεγονὸς ψιλόν, εἴτε δένδρον, εἴτε ἄνθρωπος. δηλοῖ δὲ καὶ ἀνειδές, καὶ σκληρόν

COD. 39 στηά, ψῆφος — στηάς 54 στιγών, μαστιγίας 60 στίλβει, αὐχμός 75 cf. 2105 88 στοβός 1900 συνενῶ 2 cf. χειτών 3 χρωτὸν 5 γέγονε

HES. 40 στήτην (Δ 332)· ἔστησαν, δυϊκῶς 46 στίβη· ψῦχος, πάχνη (ρ 24)· μή με δαμάσσῃς στίβη ὕπιοι δηλοῖ δὲ τὴν πρωϊνὴν δρόσον, καὶ τὸ ψῦχος 49 στίβοντες· πατοῦντες 55 στίδιον· κόκκος ῥοιᾶς ⟨599⟩ 57 στιδεύς· ὁδευτής ⟨1694⟩ 58 στιλάμενος· πλεύσας. προστάξας. ποιήσας 63 στίλος· ὁ προηγούμενος τῆς ποίμνης κριός ⟨κτίλος⟩ 64 στιλπναί (Ξ 351)· στίλβουσαι, λαμπραί 65 στῖνος· στένωμα. ῥηγμός ⟨1707⟩ 66 στινωπός· στενὸς τόπος, ἤγουν ὁδός ⟨1710⟩ 71 στιπτός (Ar. Ach. 180)· πυκνός, ἢ στερεός, καὶ πεπιλημένος. ἀπὸ τοῦ στείβειν τὸ πατεῖν margo 73 στίφη (Philo II p. 455, 16)· πλήθη, συστήματα. τάγματα 76 στιχάει (Ο 635)· πορεύεται 80 στιχὸς εἶμι (Υ 362)· δι᾽ ὅλης τῆς τάξεως αὐτῶν πορεύομαι 95 (σ)τοιχειούμενοι (Greg. Naz.)· διδασκόμεθα κατὰ τὴν τάξιν 97 στοιχειωδόν· κατὰ τάξιν. ἐνορδίνως ⟨1892⟩

†στολοκρατές· τὸ τῆς Ἰοῦς μέτωπον, διὰ τὰ κέρατα [1907. 8]
στόλος· πλοῦς, πλοῖα πολλά. καὶ ὁ τῆς νεὼς ἔμβολος (Aesch. Pers. 408) λέγεται, τὸ εἰς ὀξὺ συνεστραμμένον
στολυξώδης· μικρολόγος [11]
στόμα λαύρης (χ 137)· τὸ τῆς θύρας χάσμα
στομάχοιο θέμεθλα (Ρ 47)· τὸν φάρυγγα, ἤτοι τὸ τῆς κοιλίας στόμα [ad 13]
στόμια (Aristot. de mund. 4)· χάσματα
στόμις (Aeschyl. fr. 432)· ὁ ἀπειθής. μέγα στόμα ἔχων. καὶ τοὺς ἵππους δὲ στομίας λέγουσι τοὺς ἀπειθοῦντας τοῖς χαλινοῖς
στομοδόκον (Pherecr. fr. LXXI[a])· στωμύλον ⟨2112⟩ [17]
στομφάσαι· στομφολογῆσαι. κομπάσαι. ἀλαζονεύεσθαι
στόμφ†ας· ἀλαζονεία
στομωμάτων· χαραγμάτων. τινὲς δὲ στοβασμάτων ⟨1889⟩· λοιδοριῶν. Στόβος καὶ ἡ λοιδορία [21]
στοναχῶν· στενάζων [23]
στόνοι· τὰ ἔσω τῶν κεραμίων, καὶ στρογγύλα [25]
στόνυξι· κέρασι
στόνυχες· τὰ εἰς ὀξὺ (cf. Eur. Cycl. 401)· λήγοντα, καὶ τὰ ἄκρα τῶν ὀνύχων [28]
στοργή (Empedocl.)· φιλία, ἀγάπη
στοργῆσαι· φιλῆσαι
(στορέσαι δ 298)· στρῶσαι
στορεσθέν· στρωθέν
στορεύς· γαληνοποιός. καὶ τὸ ἀντὶ τοῦ σιδήρου τρύπανον ἐμβαλλόμενον ξύλον ῥάμνου, ἢ δάφνης
στόρνη (Callim., Lycoph. 1330)· ζώνη
?στόρθη· τὸ ὀξὺ τοῦ δόρατος, καὶ ἐπιδορατίς
στορνύμενος· ἐστρωμένος
στορνυτέα· καταστρωτέα. περιοικοδομητέα
στορπάν (Arcad.)· τὴν ἀστραπήν ⟨2030⟩
στορχάζειν· εἰς (ση)κοὺς κατακλείειν τὰ βοσκήματα
στορχάσω· συγκλείσω
στουμνά (Lacon. Boeot.)· αὐστηρά ⟨2078⟩
στοῦπος· ἡ τοῖς τετελευτηκόσι ἐπὶ τῶν φορ(ε)ίων σκηνή
στοχάζεται· οἴεται. κατὰ σκοποῦ βάλλει
στοχαζόμεθα· τεκμαιρόμεθα
στοχίζῃ [ad 45]
στραβαλός· ὁ στρογγυλίας καὶ τετράγωνος ἄνθρωπος. Ἀχαιοί [47]
στραβαλοκόμαν (Sophocl.)· οὐλοκόμην ⟨1573⟩
στραβεύς· κωπεύς ⟨1574⟩
στραβήλῳ (Soph. fr. 302)· τῷ κόγχῳ, ᾧ ἐσάλπιζον ⟨1980⟩
(στραβόλιχον· εὔστραβον) cf. σταβ—
στράβωνες (Com. an. CCCXIV)· †ἐπιποιοῦ κενός [52]
στραγγαλιαί καὶ στραγγαλίδες (Stratt. p. 783)· συστροφαί, διαστροφαί. παγίδες, ἢ πλοκαί
στραγγαλοῦται· συστρέφεται
στραγγίζει· πιέζει
στραγ(γ)εύει· διαβάλλει. οὐκ εὐθὺς πορεύεται
στραγ(γ)εύεται· διατρίβει
στράγξ ⟨στραγγίς?⟩· σταγών
στραγγός· στρεβλός. ἄτακτος. †ἢ στόμα
στραγγουρία (Aristoph. p. 1095)· ἡ δυσουρία
†στράνθανα· ὀξέα
στράταρχος (Pind. I. IV 44)· στρατηγός [63]
στρατηγιᾶν (Xen. An. VII 1, 33)· τὸ ἐπιθυμεῖν τῆς στρατηγίας
στρατηλάτης (Eur. Rh. 173)· ἡγεμών. ἄρχων στρατοῦ [66]
Στράτιον· πολεμικόν, ἢ φοβερόν (Ar. Vesp. 619). καὶ ἐπίθετον Διός (Herod. V 119)
στρατιώτης· ὁ ἐν τῷ στρατῷ ἀριθμούμενος
στρατιωτὶς ποτάμιος· πόα [70]

COD. 15 στομίς 16 |κουν, στομύλον 18 κομφάσαι 20 στομωχάτων 22 στονάχων 36 στορνοίμενος 37 στον..τέα 38 στορτίαν 39 cf. ἐστόρχαζον 41 στουμμά 43 κατασκοπεῖ, βάλλει 46 στραβάλος 48 |ομᾶν bis 53 |ίδαι 64 στρατιᾶς 67 στρατὶ 69 |ώτης

HES. 1907 στολισμός· ἱματισμός, κόσμος 8 στόλοι· τὰ ἄκρα τῶν τομῶν καὶ ὀξέα, χάρακες ἀπότομοι 11 στόμα (Κ 8)· τὸ κατεργαστικώτατον μέρος τοῦ πολέμου Ad 13 δηλοῖ δὲ καὶ φιμὸν κηλόν (Eur. Hipp. 1223) 17 στομύλος· πολυλάλος, φλύαρος. δεινός. αἰσχρός ⟨2114⟩ 21 στοναχάς (Β 39)· στεναγμούς 23 στονόεντα (Θ 159 al.)· στεναγμὸν ποιοῦντα, στενάζοντα 25 στόνος (Κ 483)· στεναγμός 28 στορβάζειν· κακολογεῖν ⟨1887⟩ Ad 45 στοιχομυθεῖς· μακρογορεῖς 47 στράβηλοι· κοχλίαι 52 στραχύ· τραχύ 63 στρατεύομαι· διατρίβω 66 Στρατίη (Β 606)· πόλις Ἀρκαδίας 70 στρατολογήσαντι (II Tim. II 4)· στρατεύσαντι

στρατὸν αἰχμητήν (Eur. Hec. 116)· τὸν πολεμιστὴν στρατόν

στρατός (Λ 10)· τὸ πλῆθος τῶν πολεμούντων στρατιωτῶν (cf. σταρτοί) [73. 74]

στραφῆναι· ἀναστραφῆναι, ἢ στραφθῆναι (Dor.)

στρέβλαι ναυτικαί (Aesch. Suppl. 440)· τὰ ξύλα τῶν νεῶν, ἐν οἷς διασφηνοῦνται γομφούμενα. Ἀττικοὶ δὲ τὰ βασανιστήρια

στρεβλόν (Ar. Th. 416)· καμπύλον, σκολιόν

στρεβλούμενοι (Com. an. fr. LXVII)· δεσμούμενοι

στρεβλοῦται (cf. Ar. Nub. 620)· αἰκίζεται, βασανίζεται

στρεβλῷ· κόγχῳ, ᾧ ἐσάλπιζον (1950)

στρέμμα· εἶδος πέμματος

στρέμματα (Hippocr. 748 D)· περὶ νεῦρα [83]

στρεπτοί (Xen. ΚΠ I 3, 2)· ὅρμοι. τὰ περὶ τὰς χεῖρας ψέλ[λ]ια

στρεπτοῖο χιτῶνος (Ε 113)· τοῦ ἁλυσιδωτοῦ θώρακος, ἢ τοῦ θώρακος τοῦ ὑποδύτου

στρεπτόν· φίλημά τι ποιόν. ἢ σκολιόν

στρεύγει· ἀνιᾷ.] καταγωνίζεται. προσδιατρίβει. βραδύνει

......· στραγγεύεται. ταλαιπωρεῖται, καταπονεῖται. τρ..... τριψημερεῖ

στρεύγομαι· διατρίβω, ἀφ' οὗ καὶ στράγξ ἡ κατὰ βραχὺ πρόεσις

στρέφανον· ἀξίνη, καὶ πέλεκυς (1785)

στρεφεδίνηθεν (δέ) οἱ ὄσσε (Π 792)· διεστράφη. ἐσκοτοδινίασεν

στρέφει· κάμπτει. λυγίζει (λ 1338). ἀποσείεται. διώκει. ψιλοῖ

στρέφος· στρέμμα. δέρμα, βύρσα. Δωριεῖς

†Στρεφοῦραι· τῶν Ἰνδῶν γένος τι, οἱ καλοῦνται Κοψίλοι

στρέφωσις· κάλυψις ἀγγείων δέρματι γινομένη

Στρεψαῖοι (Aristoph. p. 993)· ἔθνος περὶ Μακεδονίαν

στρεψίμαλ(λ)ος (Aristoph. p. 1197 fr. LXXXIX)· μεταφορικῶς λέγουσιν ἀπὸ τῶν ἐρίων. Στρεψίμαλλα γὰρ λέγονται τὰ συνεστραμμένους ἔχοντα τοὺς μαλλούς

στρέψις· στροφή. ἀπάτη

στρεψοδικεῖν (Ar. Nubb. 434)· τὸ ἀποστρέφειν τὴν δίκην

στρηνές· σαφές. ἰσχυρόν. τραχύ. στυγνόν. ὀξύ. ἀνατετα[γ]μένον. στρηνόν (Nicostratus)

†στρηνύεται· στρηνιᾷ

στρηνιῶντες· πεπλεγμένοι. δηλοῖ δὲ καὶ τὸ διὰ πλοῦτον ὑβρίζειν, καὶ βαρέως φέρειν

στρηνὸν βοᾶν· τὸ σκληρόν

στρίγλος· τὰ ἐντὸς τοῦ κέρατος: νυκτίφοιτον. καλεῖται δὲ καὶ νυκτοβόα. οἱ δὲ νυκτοκόρακα (ad στρίγγα)

στριγχός· τειχίον. στριχτόριον. στεφάνη δώματος

στριφνός· σφιγκτός. πυκνός. στερεός

†στριφοῦ· λαμπόδικε, ἀπόκνισον

στροβάζων· συνεχῶς στρεφόμενος

στροβάνικος· ἡ τῷ στροβεῖν νικῶσα

στροβανίσκος· τρίπους

στροβεῖ· ταράσσει (Aesch. Ag. 1216), κινεῖ

στρόβ.ιλος· συστροφὴ ἀελλώδης. καὶ ἡ πίτυς, καὶ ὁ καρπὸς αὐτῆς. καὶ εἶδός τι ὀρχήσεως, καὶ †γυναικείας χρύσης

στροβεῖν· ἀποσείεσθαι, ἀποσοβεῖν ἑαυτοῦ, ἀποδιώκειν, θορυβεῖν

στροβελόν· σκολιόν, καμπύλον

στροβελός· σοβαρός, τρυφερός

στροβῆσαι· συστρέψαι. ἐκφοβῆσαι [2017]

στροβητῶς· τεταραγμένως

στρόβοι (Aeschyl.)· συστροφαί

Στρογγύλη· συνεστραμμένη. καὶ Λιπάρα νῆσος

στροιβᾶν· ἀνιστρέφειν

στροίβηλος· ἔπαρμα πληγῆς ἐν κεφαλῇ

στροιβός· δῖνος (2025) [24]

στρόμβος· δῖνος. κόχλος (Lycoph. 250). ῥόμβος (Ξ 413). συστροφὴ ἀνέμου. περιφερὴς λίθος

στρόμβιλον· περιδεδινημένον

στρομβοῖ· συστρέφει. καὶ τὰ ὅμοια [28]

†στρωνν.', λαγάς

στροπά· ἀστραπή. Πάφιοι (1938. 2034)

στρουθίον· πόας ῥίζα (Hippocr. II p. 556 K), εὔθετος πρὸς ἐρίων ἔκπλυσιν

στρουθός· ὁ καταφερής, καὶ λάγνος. Ἀττικοὶ δὲ τὰς στρουθοκαμήλους

COD. 76 διασφημοῦνται 88 στρατεύεται 93 cf. στέρφος 97 ἱερῶν στέψιν μάλα 2000 cf. ἀστρηνές ἐνστρηνές ἐστρῆνες 3 στρηνοιβοᾶν 4 νυκτοίφυτον 5 cf. τριγχός 8 στρεβάζων 11 στροβεῖται 18 στροβιτιῶς 23 δεινός 25 δεινός 30 στροπή

HES. 73 στρατόων(το Γ 187)· ἐστρατοπεδεύοντο (cf. ἐστρ—) 74 (σ)τατή· πόρνη (1650) 83 στρεπτοί (Ι 493)· εὐμετάθετοι, εὐμετάβολοι 2017 στρόβιλοι· καταιγίδες. καὶ τὰ ὅμοια 24 στροβαλοκομᾶς. οὐχ' ὁμᾶς (1948) 28 στρωννύμενον· ἐστρωμένον

στροῦς· ὁ στροῦθος. καὶ ὄσπριον

στροφαί (Crelice?)· ἀστραπαί (1938. 2030)

στροφάδες· σκώληκες

Στροφαῖος (Aristoph. fr. CCLVII)· Ἑρμῆς, ὁ πρὸς ταῖς θύραις ἱδρυμένος· διὰ τὸν τῆς θύρας στροφέα

στροφάλιγγι (Φ 503)· συστροφῇ

στροφάλιγξ· συστροφὴ κονιορτοῦ. καὶ ἐν ᾧ οἱ τροχοὶ στρέφονται [39]

στροφαλίζετε (σ 314)· στρέφετε

στροφαί· [ad 41] αἱ κατὰ διαιρέσεις τῶν μελῶν

στρόφιγγα· τὸν στροφέα

στρόφιγξ· ὁ αὐτός

στρόφιον (Pherecr. p. 296 Aristoph. p. 1185)· ἡ στρογγύλη ζώνη

στρόφις (Ar. Nubb. 451)· σκολιός, οὐχ ἁπλοῦς, πολύπλοκος

στρόφος (ρ 198)· συνεστραμμένος λῶρος, ἢ σχοινίον, παρὰ τὸ ἐστράφθαι

στρόφοι· τὰ λεπτὰ τριχίδια

Στρύμη (Dem. 1213, 19)· πόλις [49]

Στρυμόνιοι (Herod. VII 75)· οἱ Βιθυνοὶ τὸ πρότερον

Στρυμόνιος· ὁ βορρᾶς (Call. Del. 26)

στρύμοξ· ξύλον μεμηχανημένον ἐν ταῖς ληνοῖς πρὸς τὴν τῶν σταφυλῶν ἔκθλιψιν

στρυφνόν· στερεόν, ἰσχυρόν. αὐστηρόν. ἐπεστυμμένον, πυκνόν

στρυφνός (Amphid. fr. I p. 317)· μᾶζα. ἢ οἶνος στυφός

στρωματεύς· ἰχθῦς ποιὸς ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ

στρωματίζειν· τὸ ἐπισάττειν ὄνῳ

στρωματίτην· ἐρανόν (Crat. fr. LXXXVIII) τινα, ἐν ᾧ ἑαυτοῖς παρεῖχον τὰ στρώματα

στρωμνή· κοίτη

στρωφᾶν· νήθειν, κλώθειν, περιστρέφειν

στρωφῶντο· περιεβλέποντο. ἐστρέφοντο

στρωφᾶται (Hesiod. Op. 526)· περιστρέφεται

†στυαγόν· τὸ στύμα, παραγώγως

στυγεῖν· μισεῖν. στυγνάζειν. φοβεῖσθαι [64]

στυγέουσι (Call. fr. LII 2)· μισοῦσι

στυγερόν· στυγνόν. κακοπαθές. φοβερόν, χαλεπόν, μισητόν (c. c. α 249)

στυγέων· φοβούμενος. μισῶν

στυγηρῷ· μισητῷ, φοβερῷ

στυγήσω· μισήσω. καὶ τὰ ὅμοια [70]

στυγνόν· †ἀργόν. ὠμόν. χαλεπόν

†στύγνωσον· χώρισον (1853)

στυγοῦσι (Soph. Ai. 133)· φοβοῦνται, μισοῦσιν

Στυγὸς ὕδωρ (Ζ 271)· τῆς κρήνης τοῦ ᾅδου τὸ ὕδωρ. ἢ ὁ τῶν θεῶν ὅρκος

στυλίς· μέρος τι τῆς ἡμιολίας νεώς

στυλοβάτης (Plat. com. p. 628)· τοῦ κίονος ἡ βάσις

στύμος· στέλεχος, κορμός

στυμνά· σκληρά (1941)

Στύμφη· ἡ Χαλκίς (Steph. Byz. 683, 13) [80]

Στύξ· κρήνη ἐν ᾅδου. ἢ ὁ σκὼψ τὸ ὄρνεον (στρίξ?). ἢ ὅρκος θεῶν

στύξαι· φοβηθῆναι, καταπλαγῆναι. †συναγαγεῖν. μισῆσαι

στύξαιμι (λ 502)· εἰς κατάπληξιν ἀγάγοιμι

στυπάζει· βροντᾷ. ψοφεῖ. ὠθεῖ (2094) [85]

στύπεα· στύπη ἢ στελέχη

στύπος· στέλεχος, κορμός. καὶ τοῦ ὀφθαλμοῦ τὸ σῶμα, καὶ τὸ κύτος. καὶ ὁ ψόφος τῆς βροντῆς

στυπογλύφος· ξυλογλύφος. Στύπος γὰρ ὁ στέλεχος, ἤγουν τὸ πρέμνον

στύππακα (Aristoph. p. 1197)· στυππ(ε)ιοπώλην

στυππίον (Dem. 1145, 6)· τὸ λίνον

στυρακίζειν· κεντρίζειν

στύραξ· [ad 92] σαυρωτὴρ τοῦ δόρατος, καὶ λόγχη (Xen. Hell. VI 2, 10 [19]). καὶ δένδρον ὁμωνύμως. καὶ θυμίαμα (Theophr. HPl. IX 7, 3)

στυφαλμεῖν· σκυβαλίζειν

στυφᾶν· βροντᾶν (2084)

†στύφος· κέρδος [96]

στυφελή· σκληρά (Clitorii, Cyrenaei)

στυφελίζειν (Hippocr. III p. 116 K)· διασείειν, κραδαίνειν, τινάσσειν, ὠθεῖν, πατάσσειν, ἐνυβρίζειν (Φ 380) [99]

COD. 37 στροφίγγη, συστροφῇ 41 κατά· δ] 44 στροφίος 45 στροφίς 52 ληναῖς 60 στρώφοντος, ὅπερ ἐβλέποντο 86 στύπη· ὁ στύπος ἢ στ.] post 87 87 στύπεα — κῆτος 89 στυππακόν

HES. 39 στροφάλιγγος· συστροφῆς Ad 41 [ἀντιλογίαι. διαστροφαί (gl. Proverb. I 3). καὶ] 49 Στρυμών· ποταμός 64 στυγέει (Θ 370)· μισεῖ 70 στυγητοί (Tit. III 3)· μισητοί, χαλεποί, φοβεροί 80 Στύμφηλος (Β 608)· πόλις ἢ ὄρος Ἀρκαδίας 85 στύγει· στρέφεται Ad 92 [πόλις Εὐβοίας (Β 539). καὶ] 96 στυφέλεξε δέ μιν (Η 261)· διέσεισεν αὐτόν 99 στυφελιζομένους (π 108)· σκληρῶς ὑβριζομένους

στυφελίξαι (Α 581)· διασεῖσαι [2101]
στυφελοὶ πάγοι· ἀντὶ τοῦ σκληροί
στυφλὸν ἢ στυφελόν· τραχύ, σκληρόν, βαρύ. ἀργόν. στερρόν
στυφοκόμπος (Ar. Av. 1299)· ὁ μάχιμος ἀλεκτρυών. καὶ ὄρτυξ
στυφρόν· στερέμνιον, βαρύ ⟨1875⟩ [6. 7]
στῦψαι· στυγνάσαι
στῦψις· κόλλησις
Στωϊκοί· οὐ μόνον οἱ ἀπὸ Ζήνωνος φιλόσοφοι, ἀλλὰ καί τινες γραμματικοί
στῶμιξ· δοκὶς ξυλίνη [12]
στωμύλ†ια· κομψά
στωμύλος (Ar. Ach. 429)· ὁ λάλος. πιθανολόγος. εὐτράπελος τῷ λόγῳ ⟨1917⟩
στωμύλλεσθαι (Aristoph.)· τρανῶς λαλῆσαι
στωμύλλων (Ar. Nubb. 1003)· λαλῶν
στωμύλματα (Ar. Ran. 92)· περιλαλήματα
†στωνευμέναν· διαστρέφουσαν συντόνως
σύαγχος· ῥίζα, ἐν ᾗ οἱ σῦς θηρεύονται
σύαδες· αἱ ὕες, ἐσχηματισμένως
συανία (Epicharm.)· λοιδορία. καὶ ἡ διὰ χειρὸς μάχη ⟨2214. 2631⟩
σύαρον· τὸν κλῶνα
σύαρτον· βούγλωσσον
†σύας· κύων τις πολύρρηνος
?σύβας· λάγνος
σύβακα· συώδη
συβάλλας· ὁ καταφερὴς πρὸς τὰ ἀφροδίσια
συβαρίζει (Ar. Pac. 344)· τρυφᾷ ⟨2143⟩
σύβαριν· τὴν πολυτελῆ τρυφήν
?Συβαρικαῖς· τρυφηλαῖς ⟨2276⟩ [31]
Σύβαρις διὰ πλατείας· [ad 32]
Συβαρῖται· τρυφηταί
Συβαριτικός· τρυφερός
συβαρνίς· περίκομμα
συβήνη· αὐλοθήκη, ἢ τοξοθήκη. ἢ ὁ ναυτικὸς χιτών
συβίνη (Alexid. fr. III p. 442)· καπροβόλον. ἐμβόλιον
συβόσια (Δ 678)· συοφόρβια
συβότας· χοιροβοσκούς
συβότοιο· σῦς βόσκοντος
σύβρα· ἐπὶ βοῶν. σημαίνει δὲ †τὰ πρὸς ῥυπαρόν τι ἐχούσας
συβριακόν· τὸ πολυτελές
συβριάζει· σοβαρεύεται, τρυφᾷ ⟨2128⟩
συβριασμός (Phrynich. com. p. 605)· ὁ ἐν εὐωχίᾳ θόρυβος
(Συβρίδαι· δῆμος τῆς) Ἐρεχθηΐδος φυλῆς
συβροί· ἰ(σ)χνοί, λαγαροί, †τάφροι
σύβρος· κάπρος
συβώτας· Σπεύσιππος ὁ φιλόσοφος. ζῷόν τι
Συβώτης· συοτρόφος, χοιροτρόφος, χοιροβοσκός. καὶ ὄνομα κύριον [50—51a]
συγγίνομαι· συνομιλῶ [53]
συγγινωσκόμενοι· πειθόμενοι
συγγνώμων (Xen. KII VI 1, 37)· ἐλεήμων
συγγονή· σύστασις. Δημόκριτος (p. 423)
σύγγονος· ἀδελφός
συγγραμμάτων (Herod. I 48)· βίβλων
?συγκαρβαλώσας· συστρέψας
συγκαλεῖται· συνεδρεύει [61. 62]
συγκατέληξε· συμπέπαυται
συγκαχρῦσαι· συγχέαι, συμφῦραι, συμφρῦξαι [65]
συγκεκλεισμένοι· πολιορκούμενοι
†συγκεκοπιταμένους· συγκεκομμένους
συγκεκορδυλισμένα· συνηθροισμένα. συνειλημ[μ]ένα· συνεστραμμένα [69]
συγκηδεσταί· οἱ τῆς νύμφης καὶ τοῦ γαμβροῦ γονεῖς (Dem. 949, 6?)
†συγκοιμοῦσθαι· συνελθεῖν
σύγκλυδα· συγκεχυμένα καὶ
σύγκλυδες· ὁμοίως συμμιγεῖς σύνεγγυς
συγκλύδων (Plat. Civ. VIII 569 A)· συλλέκτων, ἤ τινων μεμιγμένων
συγκοιτάλιον· σύγκοιτον
συγκοίτιον· ἑταίρᾳ συγκοιμηθεῖσ(ῃ) μίσθωμα

COD. 2108 cf. ἀναστύψαι, συστύψαι 8 στύψαι 9 στύψις 11 στώμιξ 16 στωμυλῶν 20 |έναι 27 cf. ὑβάλης 29 τροφὴν 33 συβαρηταί 36 cf. σύρβη 37 συμβίνης 47 σύμβρος 54 cf. οὐ συγγ. 56 cf. συντόνη 63 |έλησε 64 συγκαγχρῆσαι — συφρύξαι 68 |υλιμένα 72 σύγκλ.δα 73 συμμιγεῖς, σύνεγγυς καὶ σύγκλυδες ὅμοια 74 συγκλήδων Post 76] 80 συγκομάτιον

HES. 2101 στυφελίζειν· κακοῦν. διασείειν 6 (σ)τύχας· τάξας ⟨1877⟩ 7 στυχιοῦσι· διατυποῦσι ⟨στοιχειοῦσι⟩ 12 στωμοδόκον· στωμύλον ⟨1916⟩ 31 Συβαρητικοὶ λόγοι· τὸν γὰρ Αἴσωπον ἐν Ἰταλίᾳ γενόμενον σπουδασθῆναι σφόδρα φησίν, ὡς καὶ τὸ τῶν λόγων αὐτοῦ εἶδος ἐπιδαψιλεῦσαι, καὶ Συβαριτικὸν προσαγορευθῆναι. παροιμιώδεις οὖν οἱ Συβαριτικοὶ λόγοι (Vesp. 1259) Ad 32 παροιμιῶδες ἐπὶ τῶν σοβαρῶς πορευομένων 50 συγγενήσεις (Plat. Legg. XII p. 948 E)· τὰς συνουσίας ⟨Moer. p. 351⟩ 51 συγγένεια· 51a συγγενικός· 53 συγγ[ε]νώσομαι· συμβουλεύσω 61 συγκαλέσας (Β 55 Κ 302)· συναριθμήσας 62 συγκατάθεσις (II Cor. VI 16)· συμφώνησις 65 συγκεῖσθαι (I Reg. XXII 8)· συνθήκην καὶ ὁμολογίαν πεποιεῖσθαι 69 συγκέχυται (Iob. XXX 17)· συντετάρακται

συγκομιστέον· συνακτέον

συγκομιστήρια· θυσία ἐπὶ καρπῶν συγκομιδῇ

συγκομιστὸς ἄρτος· παρὰ Διοκλεῖ τῷ Ἰατρῷ

συγκομάτιον· σκευασία τις παρὰ τοῖς ὀψαρτυταῖς

συγκοπήμεναι· μαστιγωθῆναι. †μεμαστιγωμέναι [82]

συγκρίνει· συνισοῖ [84]

σύγκρισις· μίξις. γένεσις. ὁμοίωσις. ἀντιπαράθεσις

συγκριτικός· ὅμοιος

συγκροτεῖ· ταράττει. συνάγει, συναύξει ⟨2647⟩

συγκρούει· συναθροίζει. ἢ συνευφραίνεται ⟨2648⟩

σύγκρουμα· χρέος, δάνειον. τινὲς τὴν σύμμικτον λοπάδα

συγκρου(σ)τά· ἱμάτια, ὧν ἡ κροκὶς ἀνατέτριπται

?συγκινεῖν ⟨—υλίειν?⟩· συζυγεῖν, συντροχάζειν

συγκυρία· συντυχία [93. 94]

συγκύρεται ⟨—ρσει⟩· συντεύξεται

συγχαίρειν (Ar. Pac. 1317)· ἐπιχαίρειν

συγχάσαι· συγχωρῆσαι [98]

συγχεῦαι (θ 139)· συγχέαι. συγκόψαι, συντρῖψαι

συγχέομαι· συντρίβομαι. καὶ τὰ ὅμοια

συγχριμφθέντα· συνενεχθέντα

†συγχίας· τὸ πρὸς ἄγκιστρον μέρος τῆς ὁρμιᾶς

συγχρήσομαι (Menand. fr. V p. 129) [2204—7]

σύδην (Aesch. Pers. 480)· ταχέως, καὶ ὁρμητικῶς

συζῆν (Dem. 363, 4)· ὁμοῦ ζῆν

συζυγεῖν· τὰ ὑποζύγια ὑποφωνεῖν ἐν τῷ ἕλκειν

συζυγία· συνάφεια

σύζωσμα· ἐν τῷ μεταλλικῷ (Theophrast.) τὸν ἐκρέοντα χαλκόν

συῆλαι· τόποι βορβορώδεις

συηνία (Pherecr. fr. XI p. 344)· ταραχή, ἀηδία, ἀπὸ τῶν συῶν ⟨2121⟩

σύθεν· ὥρμησαν

συθῆναι· δραμεῖν, ὁρμῆσαι

σῦθι· ἐλθέ

συθνόν· κεχρυμμένον ⟨χυθνόν?⟩

σῦκα (Ar. Ran. 1278 Hippocr. 1085 H)· τὸ ἐπὶ τοῖς βλεφάροις νόσημα, ὃ τινες σύκωσιν

συκάζει· δοκιμάζει. συκοφαντεῖ. ἢ σῦκα τρώγει. καὶ τὸ κνίζειν ἐν ταῖς ἐρωτικαῖς ὁμιλίαις (Plat. com. p. 691 Menand. fr. CCCCXXXIX) [21]

†συκαμήδωρος· μωρός

συκάμινα (Amphid. fr. VI p. 318)· ἡ παρ' ἐνίοις μορέα, τὸ δένδρον. καὶ ὁ καρπὸς τῆς συκομορέας

†συκάνης· συνετὸς

συκάστρια· συκοφάντρια

Συκάτης· ὁ Διόνυσος (Ath. 78 C)

συκῆ (cf. Theophr. III 9, 3 Eupol. fr. I 4 p. 426)· τὸ ἐν ταῖς πεύκαις γενόμενον †δενδρῶδες

συκηγορίαν (Com.)· τὴν ἐν τῷ λέγειν συκοφαντίαν

συκῆ Αἰγυπτία· ἡ λεγομένη κερωνία τὸ δένδρον

συκίδας· τὰς ἐχούσας ἐν τοῖς δακτυλίοις συκᾶς

†συκιδαφόρος· ἐνίοτε ὁ συκοφάντης· ποτὲ δὲ ὁ συκόπρωκτος

συκίνη· μάχαιρα. συκοφάντρια

σύκινον· ἀσθενές [34]

σῦκον αἰτεῖν (Ar. Vesp. 303)· κολακεύειν

σῦκον ἐφ' Ἑρμῇ· παροιμία [ad 36]

συκοσπαδίας· ὁ συκοφάντης

συκοφάντης· ψευδοκατήγορος. κακοπράγμων

COD. 80 διο^κλ^ 87 συνάξει 92 συγκυρεῖ; cf. κατὰ συγκ| 11 συναφία 13 βαρβαρώδεις ⟨cf. συόαι, ὑοκαί, ὑολλός⟩ 15 |σεν 17 σύθι 20 cf. ἀποσυκάζειν 23 τῆς συκομορέας (ων) post 2224 26 συκεατίς 29 κερατία ⟨h. e. κερατία, unde supra κερατωνία⟩ 32 συκήνη, 36 ἑρμῆν — φανεῖ

HES. 82 συγκριθῶμεν (I Macc. X 71)· ὁμοιωθῶμεν 84 συγκρινομένη (Sapient. VII 29)· πρὸς ἰσότητα δοκιμαζομένη 93 συγκύρημα (Symmach. I Regg. XX 26)· συντύχημα 94 συγκυροῦντα (Deuter. II 37 al.)· διαφέροντα 98 σύγχει· ταράττη ⟨cf. συνχεῖ⟩ καὶ τάρασσαι (I 612) 2204 σύγχυσις (Genes. VII 9)· μίξις. θόρυβος. ἀφανισμός 5 σύγχυτο (Π 471)· συνεχύθη, συνεταράχθη, †συνεχωρήθη 6 σὺ δὲ σύνθεο (Α 76)· σὺ δὲ κατάθου, σύ(ν)θου δέ 7 σὺ δ' ἐν φρεσὶ βάλλεο (Α 297)· σὺ δ' ἐγκατάθου ταῖς φρεσί 21 συΐ (Λ 293)· συάγρῳ 34 συκομορέα· συκάμινον ⟨recens⟩ Ad 36 ἐπὶ τῶν κειμένων ἐπ' ὠφελείᾳ τῶν βουλομένων. ὁπότε φανείη σῦκον πρῶτον τῷ Ἑρμῇ ἀνετίθεσαν

συκοφάνται· οἱ ἐπηρεάζοντες
συκοφαντία (Aeschin. 47, 21)· καταλαλιά
συκχάδαι· ῥάπη (—δα ῥάπτει?)
συκχάδες· εἶδος ὑποδήματος
σύκχοι· ὑποδήματα Φρύγια [44]
συλᾷ· ἐκδύει, συλεύει (σκυ—)
σύλαχον (Lacon.)· θύλαχον (2258)
συλᾶν· ἀφαιρεῖσθαι, γυμνοῦν, σκυλεύειν
συλήσει· ὅμοιον
συληθείς (Isocr. 119 D)· ἀφαιρεθείς
συλλαβὰς ὁδοῦ· τοὺς συλῶντας καὶ ἐκδύοντας
συλλαμβάνει (Ar. Vesp. 734)· βοηθεῖ
συλ(λ)αγνεύσας· συμπορνεύσας
συλλέγεται· συνάγεται
συλλελογισμένα· ἀπὸ συλλογισμῶν
συλλήβδην (Aesch. Prom. 505)· ὁμοῦ συλληπτικῶς, ὡς δι' ὀλίγων πολλὰ εἰπεῖν συντόμως
συλλήπτορα· συναγωνιστήν. συνεργόν, σύμμαχον
συλλήψεται· [ad 57] ὑπερασπιεῖ. καὶ τὰ ὅμοια (Ar. Eqq. 229)
συλλίρ (Lacon.)· θύλαχος (2246)
συλλογισάμενος (Isocr. 267 B)· συναγαγὼν τὸν λογισμόν, καὶ θεωρήσας
σύλλογος (Eur. IA. 514)· σύνοδος ἀνθρώπων, ἄθροισμα
συλλοχισμός· ὄνομα τακτικόν
†σύλον· ἐνέχυρον
συλῶ· σκυλεύω
συμβαθέν· τὸ ἀπὸ συμβάσεως ὁρισθέν
συμβαῖεν· συνέλθοιεν (Eur. Ph. 590?)
συμβαίνοντα· συμφωνοῦντα
συμβαλεῖν (Eur. Med. 675)· διακρῖναι
συμβαλεῖν· συναλλάξαι. καὶ ἐνύπνια ἐπιγνῶναι. καὶ εἰς μάχην συμβαλεῖν. λοιδορεῖν (Soph. Ai. 1323)
συμβάλλειν· συμμίσγειν, συνιέναι
συμβάλλεται· λέγεται [71]
συμβάλλων (Eur. fr. 339)· συναρμόζων [73]

σύμβαμα· κατηγόρημα. συμβεβηκός
συμβᾶμεν· συμφωνεῖν
†συμβαριτικαῖς· Περσικαῖς. ὑπερηφάνοις. πολυτελέσι (2130)
συμβάσεως (Thuc. IV 130)· εἰρήνης
σύμβασις (Eur. Phoen. 85)· ἐπάνοδος εἰς εἰρήνην ἢ φιλίαν
συμβατήριοι (Thuc. V 76)· εἰρηνικοὶ διαθέσεις
συμβεβηκός;
συμβέβληται· ἀπαντᾷ, συνενήνεκται. νενόηται [ad 81] [82]
συμβῆν (Aeol.)· σύμφωνα λέγειν
συμβῆναι (Eur. Andr. 233)· συνομολογήσασθαι
συμβιβάζει· εἰς φιλίαν ἄγει. ἢ συλλαλεῖ
συμβιβασθέντες· διδαχθέντες, διαλεχθέντες
συμβίβασις· πεῖσις, διδαχή, πίστις [88]
συμβλημένος (ο 440)· συναντήσας [90. 91]
σύμβολα· σημεῖα
συμβόλαια· κοινωνία χρημάτων. ἢ τάγματα (ad συμμορίαι?). ἢ γράμματα
συμβολαιογράφος· ὁ τὰ συμβόλαια γράφων
συμβόλαιον (Menand. fr. CCCXCI)· συνάλλαγμα, συγγραφή, ἀσφάλαια, γραμματεῖον [96. 97]
συμβολατεύειν (Epich.)· συναλλακτεύειν
συμβολεῖ (Aesch. Sept. 352)· συντυγχάνει
συμβολεύς· ἁλιευτικὸν σκεῦος, περὶ ὃ τὰ λίνα πλέκουσιν
συμβολή· μίξις. (δόσις cf. 2309)
συμβολῆσαι· συντυχεῖν
συμβολικῶς· σεσημειωμένως
σύμβολον· σημεῖον. συμπόσιον. ὁρισμός. [καὶ τὸ διδόμενον τοῖς εἰσιοῦσιν εἰς τὸ δικαστήριον
σύμβολος (Aesch. Prom. 487)· οἰωνός
σύμβοτον· σύννομον. σύνηθες
συμβουαί· συνωμόται

COD. 43 ὑποδήματος 46 σύλαιον (συλλίον Ahrens) 58 σύλλιρ, θύλαχον Post 63] 2268. 69. Inter μάχην et συμβαλεῖν] συμβαλεῖν, συμμίσγειν, συνεῖναι 66 σύμβαθ.. [ε] 68 cf. οὐ συμβαίνει 71 συνάγονται 74 σύμβακα 83 σύμβην 2300 συμβουλεύς] post 2308; σχοινιοσυμβολεύς lex. rhet. 302, 26 4 καὶ ... δικαστήριον] post 2304 7 συνομόται (σύμβουλοι Phot. 549, 9)

HES. 44 συλαγωγῶν (Coloss. II 8)· ἀπογυμνῶν Ad 57 ἔγγαστρον ἕξει (Iesai. VII 14 v. l.) 71 συμβαλλόμενοι (Iesai. XLVI 6)· συναγόμενοι 73 συμβάλλαι (Eur. IA. 160)· συναγωνίζου Ad 81 ὠφελεῖ (Sapient. V 8) 82 συμβεῖ (cf. ξυμβῇ et συμπέσῃ) 88 συμβιβα(σά)τω (Iudic. XIII 8)· διδαξάτω 90 σύμβλητο (Ξ 39. 231)· ἀπήντησεν 91 συμβιβῶσαι (Exod. IV 12)· συνάπτοσαι, διδάσκοσαι, συμπορεύομαί σε 96 συμβολαί· μάχαι 97 συμβολαίας δίκας (Thuc. I 77 τὰς κατὰ σύμβολα[ιον] (cf. ξυμβ—)

συμβουάδδει· ὑπερμαχεῖ. Λάκωνες
συμβουλή· γνώμη [ad 2309] [10. 11]
συμβῶμεν (Trag. adsp. 121)· συναφθῶμεν [13]
συμμάρψας (K 467 Eur. Cycl. 397)· συλλαβών. δήσας
σύμμαχος (Archiloch. fr. 77)· βοηθός
συμμεμαρτυρημένη· συνειλημμένη
συμμετρία· ἔνδυμα γυναικεῖον ποδῆρες, οὐκ ἔχον σύρμα
συμμίσγειν (Callim. ep. XIX 6)· ὁμιλεῖν, συνουσιάζειν
συμμορία· πολιτικὸν σύστημα, πλῆθος, σύνταγμα
συμμορι†ῶντας· τοὺς ἐκ τῆς αὐτῆς συμμορίας
συμμῦσαι· σκοτῶσαι
συμμυολόγους· ἀντὶ τοῦ σιωπῶντας
συμμύων· σιωπῶν [24]
συμπαρομαρτοῦσαν· συνακολουθοῦσαν [26. 27]
συμπεριγενόμενον· συμπεριλαμβανόμενον [29]
συμπέσῃ (Isocr. p. 9, 8)· συμβῇ. συγκροτηθῇ
συμπεσών· συντυχών
συμπεφλασμένος· συντεθλιμμένος
συμπιεζούσης· θλιβούσης
συμπίτνει (Eur. Hec. 840)· συμπίπτει
συμπλάττομεν· ψευδόμεθα
?συμπλ⟨ν⟩ευσάντων· ὁμονοησάντων (Demosth. 284, 17)
?συμπνευσμός· †ὁμόνος ⟨—οια⟩
συμπληγάδες (Eur. Med. 2)· αἱ παρ' Ὁμήρῳ πλα⟨γ⟩κταί
σύμπλους (Eur. Heracl. 216)· συνοδευτής
συμποδίζει· κωλύει
συμποθέν· καταποθέν
?συμποδιστής· ὠμὸς ἐκ τοῦ ἴσου
σύμπορπον· τὸν μὴ ῥαφαῖς συνειλημμένον κατὰ τοὺς ὤμους χιτῶνα ......
συμπόσιον· τόπος εὐωχίας καὶ πόσεως

συμπράξει ⟨2426⟩· βοηθήσει, συνάρξει ⟨—ήξει⟩, συλλαβεῖ
σύμπτωμα· συνάντημα. συμβεβηκὸς ἐξάπινε
συμφανές· φανερόν
συμφανής· φανερός
συμφέρει· ἁρμόζει. †ἀγαθόν. συνᾴδει. συν⟨ευ⟩τυχεῖ, συντυγχάνει
συμφέρεσθαι· συμφωνεῖν, συναρμόττειν, ἀκολουθεῖν, συντυγχάνειν
συμφέρον· συνοιστόν ⟨—οῖσον⟩
συμφερτή (N 237)· συμφορητή, συνακτή [53]
συμφήτωρ· μάντις. μάρτυς
συμφθείς· συντριβείς
(σύμφοιτον· συμπορευόμενον) cf. 2371
συμφορά· συντυχία. σύμπτωτα. ἀτυχία
συμφορήσας (Herod. V 92)· ἀθροίσας, συναγαγών
(συμφόρησις· σύναξις)
συμφορ†ίας ⟨—ητᾶς⟩· συμπεφορημένης, συμμίκτου
σύμφορον· ἁρμόζον, καλόν, συμφέρον, σύμφωνον
σύμφορος λιμός (Hesiod. Opp. 300)· ὁ συμπίπτων, καὶ συνών [62]
†σύμφρα· θυσία τῷ Ἀπόλλωνι τελουμένη
συμφρα†σθῆμεν· καταπληθῆναι
†συμφράξαι· συμφράσαι [66]
συμφυᾶ· ὁμοφυᾶ ⟨—ῆ⟩ [68]
σύμφυλον τάγμα
συμφυράσουσι· συμμιγήσονται (Iesai. XIII 8?)
σύ⟨μ⟩φυτον· συνόν
σύμφυτος· ἡ νεκτάριος ῥίζα, ἣν ἔνιοι ἑλένιον, ἔνιοι δὲ μηδίκην
συμφῦσαι (Plat. Symp. 192 F)· ἀνάψαι ⟨συν—⟩
συμφωνία (Plat. Symp. 187 B)· ὁμοφωνία
συμφώνων· ὁμοίων [76]
†συμψηρᾷ· συμψηλαφᾷ
σύμψηφος (Plat.)· ὁ τὰ αὐτὰ φρονῶν, καὶ κατατιθέμενος

COD. 8 συμβουαδεῖ 21 συμβῆσαι 23 συμμῶν 32 συμπέφιλα. σταvόμος 34 συμπιτνεῖ ⟨42 σύμποδα στῆσω Poll. VI 159?⟩ 43 σύμπορ, ποντόν Ante 56 συμφόρησις, post 56 σύναξις 71 σ. συμπορευόμενον, σ. 72 μηδικὴν 73 συμφῆσαι

HES. Ad 2309 δόσις ⟨ad συμβολή⟩ 10 συμβίκη· εἶδος ὀργάνου ⟨σαμβύκη⟩ 11 ⟨Σ⟩ύμη (B 671)· νῆσος 13 σύμμαρ, συλλαβών 24 συμπάντων (A 90)· ὁμοῦ πάντων 26 συμπειρασθέντες (Xen. Hell. V 2, 41)· συντραφέντες (sch. Plat. p. 326) 27 συμπατάγησαν (Ψ 102)· συνεκρότησαν, συνέκρουσαν τὰς χεῖρας πλατείας ποιήσαντες 29 συμπεπερονημένους (Exod. XXXVI 13 Tisch.)· συμπεφιβλομένους. συρραφέντας περόνῃ 53 σύμφημι (gl. Rom. VII 16)· συναινῶ. συνομολογῶ ⟨2737⟩ 62 συμφράδμονες (B 372)· ὁμόφρονες, σύμβουλοι 66 συμφράσ⟨σ⟩ατο (A 537)· συνεσκέψατο 68 συμφυλητῶν (I Thess. II 14)· ὁμοεθνῶν 76 συμψηθείς (Ierem. XXII 19)· βλαβείς, τρωθείς

σύν· ξύν, ἅμα, ὁμοῦ. καὶ ἀντὶ τοῦ εἰς καὶ μετὰ ἀπό καὶ πρός. καὶ ἐπὶ τοῦ ὁμοῦ
συνάγειν (Menand. fr. I p. 202)· μετ' ἀλλήλων πίνειν
συναγεῖραι (Herod. I 4)· συναγαγεῖν, συνάψαι
συναγελάζονται (Aristot. HA. IX 2)· συνδιαιτῶνται
συναγέσκεο· †ἰσχνοπρεπεῖς
συναγηγερκώς· συναθροίσας, συνάξας
συναγηγερμένων· συναχθέντων
συναγορεύει· ὑπὲρ αὐτοῦ λέγει
συνάγουσι· συνεληλυθότως πίνουσιν
συναγρίδα (Ar. HA. II 13. 16)· θαλάσσιος ἰχθῦς [89]
συναγώγιον (cf. Menand. p. 115)· συμπόσιον ἔθου
συνᾴδει· συμφωνεῖ
συνᾴδοντα· συμφωνοῦντα
(συνάει· συγκοιμᾶται) 2540
(συναέσαι· συγκοιμηθῆναι) 2543
σὺν Ἀθανᾷ καὶ χέρα κίνει· παροιμία [ad 93]
συναθροίζεται (Ar. HA. VII 2)· συνάγεται
συνάθροισμα· συναχτήριον
συναΐδιος· συνυπάρχων
σύναιμος (Soph. El. 156)· ἀδελφός
συναινεῖ· συνευδοκεῖ. συγκατατίθεται
σύναινος· ὁμόδοξος
συναινῶ (Callim. fr. XXVII)· συντίθημι [2401—3]
συναιρουμένοις· συμβαλλομένοις ⟨2420. 2535⟩
σύναιχμα· σύμμαχα
συναλλάσσωμεν· συνάγωμεν
συνάλλαγμα· σύναξις. ἢ γαμικὸν συμβόλαιον [8—10]
συναλισθείς· συναχθείς, συναθροισθείς
συναλισθέντες· συναχθέντες

συνάλματα· συμπηδήματα [14]
συνανακραθεῖσα· συγκερασθεῖσα [16]
συνάορος (e. c. Eur. Alc. 824)· σύζυγος, γυνή, σύγκοιτος, συνηρμοσμένη
(συναπηρτημένος· συνημμένος) 2519
συναπηρτισμένος· πεπληρωμένος
συνάπτεται (Aesch. Pers. 742)· συμπορεύεται, συνέρχεται
συναράμενος· συναγωνιζόμενος. συμβαλόμενος ⟨2404⟩
συναράσσει· συγκρούει [22]
συναρήρακται· συγκέκοπται
συναρία· συνοδία ἀλλόφυλος ⟨ὁμοφ—⟩ [25]
†συνάρξει· συμπράξαι, βοηθήσει, συλλαβεῖ ⟨2345⟩, ἑνώσει
σύναρξις· συνουσία. καὶ τὰ ὅμοια
σύναρσις· συναφή. ἁρμονία ⟨2425⟩
συναρτῶν· συνάπτων [30]
συνασπίζει· συμμαχεῖ
συνασπισμός· πύκνωσις. οἱ δὲ συνασπισμός [33]
συναυλία (Ar. Eqq. 9)· συμφωνία
συνάφεια· σύζευξις, ἕνωσις
συνάχθεται· συλλυπεῖται
συνάψας (Alexid. p. 435)· συνδήσας, ἑνώσας, συμμίξας
συμβαίνοντα· συμφωνοῦντα
συνδεδραμηκότων· συνελθόντων
συνδεῖ· συντηρεῖ [ad 40]
συνδεόμενος· συνδεδεμένος
συνδέοντες· συνδεσμοῦντες [43—45]
συνδήσας ἄρα | τὼ χεῖρε· συνδήσας δὴ τὰς χεῖρας
συνδιαιωνίζειν· συνδιάγειν εἰς αἰῶνας
συνδιεξέρχου· συνεκπέρα [49]
συνδιημέρευσαν· τὴν ἡμέραν συνδιήγαγον
σύνδικος· σύμφωνος. ἢ συνήγορος βουλῆς
σύνδικοι· οἱ ἐν ταῖς δίκαις βοηθοί
συνδο[κ]τικόν· συνδεδο[γ]μένον
σύνδουλος (Eur. Med. 64)· ὁμόδουλος

COD. 87 σπείρουσι 93 ἀθηνᾷ — χεῖρα 95 συνάκτηριον· συνάθροισμα 2407 σαμικόν 19 συναπάγεται ⟨27 σύνεργξις Plat. Civ. 460 A⟩ 36 |θηται 41 συνδεδημένος ⟨46 cf. Plat. Euthyphr. p. 4 C⟩ 50 συνδιήγων

HES. 89 συναγρόμενοι· συναγόμενοι Ad 93 ἐπὶ τοῦ μὴ χρῆναι ἐπὶ ταῖς τῶν θεῶν ἐλπίσι καθημένους ἀργεῖν 2401 συναίνυτο (Φ 502)· συνελάμβανεν 2 συναίρεσθαι· συνερωτᾶν ⟨2531⟩ 3 συναιρήματα· ἐρωτήματα. συλλαλήματα 8 συναλοιφή· συναγωγή. συγκεχυμένη σύγκρισις 9 συναλείφων· τὰ αὐτά 10 συναλιζόμενος (Act. Ap. I 4) 14 συναλλακτής· φιλιαστής 16 συνανοίσετε (Genes. L 25)· συναν(εν)έγκατε 22 σύναρθρος· μετὰ ἄρθρου τοῦ προηγουμένου τῶν ὀνομάτων 25 συναρίς· συναφή. [φίλος] ἁρμονία ⟨2428⟩ 30 συνασπιεῖ (III Macc. III 10) 33 συναυθλοῦμαι· διαπεραιοῦμαι ⟨συνναυσθλ—⟩ Ad 40 συγκοιμᾶται ⟨συνάει⟩ 43 συνδέσαι· συνκοιμηθῆναι ⟨συνάεσαι⟩ 44 σύνδεσμος (IV Regg. XI 14)· πλοκή. ὁμόνοια 45 συνδείηρεν ἱμᾶσι (Κ 499)· συνέδησε δὲ τοὺς ἀγωγεῖς τῶν ἵππων 49 σὺν δ' ἡμῖν δαῖτα ταράξαι (Α 579)· συνταράξαι ἡμῖν τὴν εὐωχίαν

συνδούμενος· συνδεδεμένος. συνυπάρχων, συνών
συνδραμεῖν· συνθέσθαι. βοηθῆσαι. συμφωνῆσαι. συνομολογῆσαι
συνδυάζειν· συμπράττειν. [ad 57] συμβουλεύεσθαι
συνδυασμός· συζυγία
συνεβάλοντο· συνέθεντο
συνέβημεν· συνεχωρήσαμεν. συνεθέμεθα. ὡμολογήσαμεν. συνωδεύσαμεν
συνεδεῖσθαι· συγκαθ†ῆσαι
?συνέθει· συντρέχει
συνέδρα· ἡ στάσις, [ἣν νῦν στατίωνα λέγουσι]
συνεδρεύουσι· συνέρχονται, εἰς βουλὴν συνάγονται
συνέδριον· δικαστήριον
συνέεργον (ι 427)· συνεῖργον. συνεδέσμευον [67—69]
συνέθετο· συνετάξατο (2625) [71]
συνέθρισε· συνέτεμε. λεπτὰ ἐποίησεν. ἀπὸ τοῦ θρίσαι, ὅ ἐστι τεμεῖν [73. 74]
†συνείκανα· σύνοδος (cf. 2633)
συνείχει· συμφέρει
συν[ε]ίλας· συνειλήσας
συνειλεγμένα· συνηγμένα, συνηθροισμένα
†συνειλοέντες· συλλαβόντες (2506)
συνειλούμενα· συστρεφόμενα
συνειλοῦνται· συστρέφονται
συνείλοχας· συνήγαγες, ἤθροισας
συνειλοχώς (Dem. 328, 12)· συναγαγών [84. 85]
συνείρει (Dem. 328, 12)· συνάπτει. μιγνύει
συνεῖρκτο· ἐδέδετο [88]
συνείροντες· συνάπτοντες. Εἴρειν γὰρ τὸ ὁμοῦν
συνείρυται· συνέσπασται

συνεισθόρῃ· ......
†συνεῖσι· συναινέσαι
συνεισέφρησεν· συνεισήνεγκεν
(συνειστιᾶτο cf. συνεστιᾶτο) [94]
συνεκδοχή· ὅταν τις ἀπὸ μέρους παραλάβῃ ......
συνεκδοχικῶς· συλληπτικῶς
συνεκόμισε· συνήγαγεν
συνεκοσμοῦντο· συνεκρίνοντο
συνέκυρσε (Herod. VIII 87 IX 90)· συνέτυχεν [2500. 1]
συνελάβετο· ἐβοήθησε. ἢ κατὰ γαστρὸς ἔχει (—λαβε)
συνεληλακότες· ἐλάσαντες [4. 5]
συνελόντες· συναγαγόντες (2479)
συνελόντι· συναγαγόντι
συνελόντι φάναι· συντόμως λέγειν, ἢ εἰπεῖν
συνελόντι φῆσαι· ὁμοίως [10]
συνέμποροι (Aesch. Suppl. 939)· σύνοδοι. σύμφωνοι
†συνέμυσε· συνέτριψε
συνενέγκαι· συμφρονεῖν
συνεν(ην)εγμένος· συνελθών
συνενεχθέντων· πεισθέντων. συλληφθέντων
συνέντας· γνόντας
συνέντης· συνεργός [18. 19]
συνεπέρανε· συνετέλεσεν
συνεπεράνθη· ἐτελειώθη, πέρατι ὑπεβλήθη [22—24]
συνεπλάκη· συνήφθη ἢ μετὰ γυναικός, ἢ πρὸς ἀνδρὸς πάλη
συνεπισχύει· συμβοηθεῖ (Xen. Mem. II 4, 6)
συνερανισάμενος· συμπληρούμενος
συνεργεῖ· βοηθεῖ
†συνερέσειν· συλλέγειν συγκεχυμένους

COD. 59 —βάλλ— (62 συνθέει an συνέτρεχε?) 66 συνέργον 72 συνέθροισε — θρίσειν Post 78] 83 συνειλεχώς 80 |όμενα 89 ἔρειν — ὁμοῦ 90 συνείρ(υ)ται 92 συνεισθορεῖ 93 |ένεγκεν 97 |ησε 99 συνέκρισε, συνήτυχεν 2503 συνελαλη| 6 συνελοέντες, συνάγοντες 23 legebatur post ἐστυγνίασεν 25 cf. Oseae IV 14

HES. Ad 57 [κυβᾶν τὸ ἀληθές, κακῶν] 67 συνέργαθεν (Ξ 36)· συνεῖχον. περιώριζον 68 συνεχμωτῇ (Ξ 465)· συναρμολογῇ τοῦ τραχήλου καὶ τῆς κεφαλῆς τῶν σφονδύλων 69 συνέηκε (Α 8)· συνῆκεν 71 συνέθλασε· συνέτριψε (Psalm. CVI 16) 73 συνιείς· γνούς, νοῶν 74 συνίημι ὃ φῇς· νοῶ ὃ λέγεις 84 [συνείνησις] συνείδησις· διάθεσις 85 συνείπετο (Act. Ap. XX 4)· ἠκολούθει 88 συνείρει· συνάπτει (2485) 94 συνέκδημος (II Cor. VIII 19)· συνοδοιπόρος 2500 συνεκτικώτατα (Philo I p. 2, 23)· κεφαλαιωδέστερα 1 συνεκύρωσεν (Genes. XXX 7)· ἐβεβαίωσε 4 συνελάσωμεν (σ 38)· συμβάλωμεν 5 συνέλευσις· σύνοδος 10 συνελόχησε (I Macc. IV 28)· συνέδρευσεν 18 συνεξεβράσθη (II Macc. V 8)· συνεξεβλήθη 19 συνεπαρτιμένος· συνημμένος 22 συνέπεσεν· ἐστύνασεν. ἐστυγνίασεν (Genes. IV 5). συνέβη, ἔτυχεν (Eur. Hec. 116) 23 συνεπέστη (Act. Ap. XVI 22) 24 συνεπιτιθεμένων (Psalm. III 6)· συν(εν)εδρευόντων

†συνερέβουσι· συγκέχυνται
συνερέσθαι· συνερωτᾶν ⟨2402⟩
συνέριθοι (Plat. Legg. X 889 D)· συνυφαίνουσαι. συνεργοί
συνερ†ίσαντα· συνάψαντα
συνέρξαι· συγκαθίσαι μετά τινος, ἢ συγκαθεῖρξαί τινι [35]
συνέρρεον (Xen. An. VI 3, 6)· συνέτρεχον
συνέρρηκται (θ 137)· συνέφθαρται. βέβληται
συνερρώγει (Thuc. I 66)· συνεκεκρότητο
συνέρχεται· συνάγεται
σύνεσις· νόησις
συνέσκληκε· συμπέπηγε
συνεσχολυμμένον
(.........·) συγκεκαλυμμένον
συνεσποδωμένον· συγκεκομμένον [44]
συνεστηκώς· συνηγμένος
συνέστησεν (Dem. 1192, 1)· ἐκόσμησεν. ἐπήνεσεν ⟨2640⟩
συνεστιᾶτο· συνηρίστα
συνέστιοι (Aesch. Sept. 773)· συναγωγοί. ὁμοτράπεζοι
συνέστυβας· συνεσκυθρώπακας ⟨2701⟩
συνέστυβεν· ὁμοίως ἐσκυθρώπακεν
συνεστυφωμένοι· συνεσκυθρωπακότες
συνεστὼς χιτών· ὁ συμβλητός [53—58]
συνετός· σοφός. συγκεκροτημένος
σὺν εὐαγεῖ· σὺν τῷ ἀγαθῷ [61. 62]
συνεύνιον· σύγκοιτον
συνεύνους· συγκοίτους. συναποδήμους
συνεφείαζεν· εἶα ἐκάλει. ὠνόμασται καὶ ....
συνεφόρμα· ...... [67]
συνέχεεν· ἔμιξεν [69]
συνέχεται· συμπλέκεται [71]
συνεχῆ· ἀναγκαῖα. πυκνά
συνεχόμεναι· κρατούμεναι [74]

συνέχου· κράτει
συνεχώρησαν· συνωμολόγησαν. συνεπάθησαν
συνεχῶς· ἐνδελεχῶς. πυκνῶς. ἀεί, ἀδιαλείπτως
συνέφεσθαι· ἀκολουθῆσαι, ἢ ἀκολουθεῖν [79]
συνεψιά· ......
(συνεψιάτρια)· συμπαίκτρια, ἢ συνομιλήτρια
συνεωρακότες· συσκεψάμενοι
†συνή· συμπαίζῃ. συνακμάζει
συνηβόλησεν· ἀπήντησεν
συνήγορος· προστάτης
†συνηγηόχει· ἐκόμισεν
συνήδεται· συγχαίρει, ἐφήδεται
συνήθεια· ἔθος
συνήθεις· ὁμοιοτρόπους, ἐν ὁμοίοις ἤθεσι τεθραμμένους [88]
συνῆκεν· ἔγνω, ἐνόησεν [90]
συνηλ(λ)άσσετο· ἐφιλιοῦτο [92. 93]
συνημμένοι (Plat. Phaed. 60 B?)· συνηνωμένοι
συνημοσύνη (X 261)· συνθήκη. ὅρκοι. συμβόλαια
συνήνεγκε· συνεβάλλετο
συνηνέχθη· προσεγένετο [98]
συνήργεις· συνέκαμ(ν)ες
†συνηρημένον· τὸν κρατοῦντα. ἢ συμπληρούμενον
σύνηρες· (συνηρμοσμένον)
(συνηρεφές·) σύσκιον Eur. Or. 957
συνηρτίζοντο· συνηθροίζοντο
συνήρτυες· συνήρμοττες
συνησθείης· συγχαρείης
συνησθέντες (Dem. Mid. 6, 6)· συγχαρέντες
συνήσθηται· σύνοιδεν [2607]

στ
COD. 31 συνέρεσθαι 38 |ώγη 42b cf. ἐσχύλωσεν 52 συνε..οχιτών 63 σύνευνον Cyrill. 65 συνεφί| εἶα ⟨76 Forte (συνεχωρείτην Eur. Hec. 125)· συνεχώρησαν κτλ.⟩ 78 ἀκολουθῆσθαι 80 συνεψία· συμπλέκτρια ⟨81 συνηβῷ?⟩ 95 ἀνθήκη 2605 |χαριέντες

HES. 35 συνερόμενος· συμβαλλόμενος ⟨2404. 2420⟩ 44 συνεστάλη (III Macc. V 33)· πεφόβηται, ἐδειλίασε 53 συνέταξεν (Levit. XXIV 23)· ἐνετείλατο, παρήγγειλεν 54 σύνετε (Ps. II 10)· νοήσατε 55 συνετέλεσα (Ierem. VI 11)· ἀπώλεσα 56 συνετε-
ε ε
λέσθησαν (Gen. II 1)· ἐπληρώθησαν 57 συνετιῶσαι (Ps. XXXI 8)· σοφίσωσαι 58 σύνετος (δ 76)· συνῆκεν 61 συνευδοκοῦσι (gl. Rom. I 32)· συγκοινωνοῦσιν 62 συνεύλητο· συνεβάλλοντο 67 συνεφύροντο (Oseae IV 14)· συνεμολύνοντο 69 συνεχές (M 26)· ἀδιάλειπτον 71 συνέχευεν·, ἠφάνιζεν. συνέχεεν (O 473) 74 συνεχόμενον (I Regg. XIV 6)· ἐναντιούμενον. ἢ ἀρρωστοῦν 79 συνεψήσθη (Ierem. XXXI 33)· συνελεπτύνθη 88 συνήθλησαν (Philipp. IV 3)· συνηγωνίσαντο 90 συνήλασε (Act. Ap. VII 26)· συνεχώρησεν· ἐδίωξεν 92 συνειλημμένα ⟨—νως Dionys. Areop. p. 566 B⟩· ἅμα, ὁμοῦ, συντόμως 93 συνήλυσις (Greg. Naz. vit. 609 II p. 10 C)· συνδρομὴ ἐπὶ τὸ αὐτό 98 συνήορος (θ 99)· συνηρμοσμένη. καὶ συνήθης 2607 συνησπικότων· συμπραξάντων (Ioseph. B. I. III 7, 28)

συνήσω· πεισθήσομαι
συνθάκων· συγκαθέδρων
†συνθεῖσα· τὰ ἐξ ἐπιβολῆς συμπαγέντα
[συνθεῖναι· ......
σύνθεμα· σημεῖον ἀφορμῆς. δραματούργημα. σύμβλημα
συνθέματος· σημείου
σύνθεο (Α 76)· νόησον. συνθηκοποίησαι. σύνθου, σύνες, καὶ περὶ σαυτοῦ διαλόγισαι
συνθεσίαι (Β 339)· συνθῆκαι [15]
σύνθεσις· ἁρμονία (Plat. Phaed. 92 E). κόλλησις
συνθετά· συντεθειμένα [18]
σύνθετον· ἐξ ἑτεροειδῶν πραγμάτων συγκείμενον
συνθεύσεται (υ 245)· συνδραμεῖται. συνοίσει [21]
σύνθημα· σημεῖον. συνθήκη
συνθήματα· μαθήματα. ποιήματα. συνθῆκαι. σημεῖα
συνθηματιαῖοι (Ar. Thesm. 465)· οἱ ἠργολαβημένοι καὶ ἐκδεδομένοι, ἐκδόσιμοι [25. 26]
συνθραύεσθαι (Polyb. VIII 18, 9)· συντρίβεσθαι [28]
συνθυμεῖν· συμπείθεσθαι (Epicharm.)
συνθύξω· συναντήσω [31]
συνίασιν· νοοῦσιν [33—35]
συνίημι (Philem. fr. XL^b)· νοῶ ⟨2474⟩
συνιζήσεως· συγκαθίσεως. ἐκ τοῦ συνιζάνειν. ἕζεσθαι γὰρ τὸ καθέζεσθαι
†συνίρνα· συνέχεις
†συνίσσεις· ἀντὶ τοῦ συγκλείεις
συνιστάνειν· ἐπαινεῖν ⟨2546⟩. φανεροῦν. βεβαιοῦν. παρατιθέναι
συνιστορεῖ· σύνοιδα ⟨—εν⟩
συνίστωρ (Eur. Suppl. 1174)· γνώστης. [ad 42] συνόμιλος. συμπράκτωρ
σύνιτε· συνέλθατε [44]

συνκαλῶ· συνάγω
συνκομίσας· συναγαγών, ἀθροίσας
συνκροτεῖ· βοηθεῖ. συνάγει
συνκρούεται· συνευφραίνεται
συνκυρούσαις· συντυγχανούσαις
συνλήπτορα· βοηθόν, συνεργόν [51]
σύννα[ι]ος· σύνοικος
(συνναυσθλοῦμαι· διαπεραιοῦμαι) 2433
συννένοφεν (Aristoph. p. 963)· ἐσκυθρώπακεν
σύννευσις (Polyb. II 40, 5)· συγκατάθεσις. κατάνευσις
συννεφές· σκοτεινόν
σύννοια (Trag.)· λύπη. ἔννοια [57. 58]
σύννομα (Theocr. VIII 56)· σύνδρομα. ὁμόφρονα
συννόμους (Aesch. Cho. 598)· συνήθεις [61]
†συννυργίς· ξύστρα [63]
σύνοδος· πολλῶν παρουσία. ἡ συνοδοιπόρος ⟨συνοδός⟩ [65]
συνοικέται· σύνοικοι
συνοικία· τὰ πλείονα ἐφέστια
συνοίσειν· συνεισενεγκεῖν. (τὸ εἰς τὸ αὐτὸ συμφέρειν Tarentini) 2652
συνοίσεται· συμπείσεται. συνελεύσεται. συμβαλεῖται (Aesch. Suppl. 243) [70]
συνοιχήσεται· συναναιρεθήσεται
συνοχλάζει· †ξεῖ
συνοχωχά· νόσος. λοιδορία. μάχη
συνολκή· ἀναπνευστική, ἀναληπτική [75]
συνομαρτεῖ· συνακολουθεῖ
συνομαρτεύει· σύνεισι. καὶ τὰ ὅμοια
συνόμιλος· σύλλογος. σύντροφος
σύνοπος· συνοδός
σύνοπτα· εὐνόητα, ὁρατά
σύνοπτρον· σύνοψις ἄστρων
σύνορος· συγγείτων
συνόσα (Dor.)· ὁμοῦ
συνουλωτική· φαρμακίς

COD. 10 ἐπιβουλῆς 24 συνθηματιέο 30 Lob. rhem. p. 62 36 συνιζηῶς, συγκαθήσεως 46. 47. 48. 49 συγκ| 50 συλλ| 60 συνθεῖς 67 συνοίκια — ἐφεστία 68 Lex. Bekk. 300, 16 70 συνεισόμεθα 71 συνοιχοίσεται, συνανερεθήσεται 79 σύνοδος ⟨83 ὁμόθεν?⟩ 84 |οτική

HES. 15 συνθεσιάων (Ε 319)· ἐντολῶν. συνθηκῶν 18 συνθέτηκα (v. l. Psalm. LXXII 15)· συνεθέμην ⟨2712⟩ 21 συνθήκας (Sapient. XII 21)· ὅρ(κ)ους 25 συνθήσῃ· συντάξῃ. [συνθῆναι] ⟨2470⟩ 26 συνθήκη· διάλεκτος 28 σύνθου· κατάθου, σύνθεο ⟨q. v.⟩, νόησον 31 συνία· ταραχή ⟨2121⟩ 33 συχάνιος· σύνοδος ⟨2475⟩ 34 σὺν ἱδρῶτι· σὺν καμάτῳ ⟨cf. οὐ σὺν ἱδρῶτι⟩ 35 συνιεῖ· νοεῖ Ad 42 μάρτυς (Iob. XVI 19) 44 συνιῶν (Oseae IV 14)· νοῶν, φρονῶν 51 συμμητιᾶσθαι (Κ 197)· συμβουλεύεσθαι 57 συννοισία (Tarentini)· τὸ εἰς τὸ αὐτὸ συμφέρειν 58 συννόει· ἐννόει, ἐνθυμοῦ 61 σύννους (I Esdr. VIII 68)· κατηφεῖς ⟨—ής⟩ 63 συνόβαυνοι, συναυλιστήρια. καὶ κοιμητήρια ⟨2753⟩ 65 συνοθούμενος· συνερχόμενος ⟨2743⟩ 70 συνοισόμεθα (Θ 400)· συνελευσόμεθα 75 συνοχωχότε (Β 218)· ἐπισυμπεπτωκότες. Συνοχωχὴ γὰρ ἡ σύμπτωσις

συνουσίωσις· μίξις τις, ἕνωσις, συγγαμία, συντυχία [86. 87]
σύνοφρυς (Theocr. XXVIII 70)· μεγαλόφρων, μεγάλαυχος [89. 90]
συνπαρομαρτοῦν· συνακολουθεῖν [92]
συνπολευμένους (Iones)· συνιόντας [94. 95]
συνρυσμοῦσθαι· συγκρίνεσθαι [97]
συνσοῦσθαι· ἐπὶ τὸ αὐτὸ συμφέρεσθαι ⟨1361⟩
σύνστειπτον· συμπεπυκνωμένην. συμπεφυκυῖαν
συνστροβιλίσαι· συνστρέψαι
συνστύψαι· σκυθρωπάσαι ⟨2549⟩
συνσυριστής· ὁ πάντα συνσύρων
σύνταγμα· σύγγραμμα, ἢ ἐκ λόγων τάγμα [2704]
συντάξει· παραγγελεῖ [6]
σύνταξις· ἡ τετράς. ἡ διοίκησις. ἡ σύνθεσις
σύνταξον· παράσχου
συνταργανθέντες· συντεταραγμένοι [10—12]
συντεθραμμένου· συγγενοῦς, ἢ ὁμοτρόφου
συντεθράνωται (Eur. Bacch. 633)· συμπέπτωκε
συντείνας (Plato passim)· σπουδάσας [16]
συντελεῖσθαι· πληροῦσθαι [18]
συντελεστής·
συντέρμων·
συντεταμένου· συγκεκομμένου. συντόμως εἰρημένου
συντεταραγμένου· συγκεχυμένου
συντέτηκα· προσανάκειμαι
συντευξόμενοι· συντυγχάνοντες
σὺν τῇ· σὺν αὐτῇ
συντόμως (Timocl. p. 699)· διὰ βραχέων

†συντόνη (Democrit.)· σύστασις ⟨2156⟩
σύντονον· σφοδρόν. ἰσχυρόν. συνεχές [28]
συντρίβει· συνθλᾷ
συντριβής· συνδιατρίβουσα. συνοῦσα [31]
σύντροφον· συνανάτροφον [33]
συντυχία· συνέντευξις (σύντευξις?) [35]
?συνειλάσσεσθαι· συνσυρίσασθαι. συνάγειν ποίμνια ἐν ὕλῃ [37—39]
συνῳδά (Eur. Hel. 174)· σύμφωνα
συνῳδία· συγχορεία
συνωθήσει· συνελάσει
συνωθούμενοι· συνελαυνόμενοι ⟨2665⟩
συνῳκισμένων (Dem. 425, 18)· συνεληλυθότων
συνωμάρτησε· συνηκολούθησεν
συνώμεθα (Ν 381)· συνθώμεθα, συνθήκας ποιησώμεθα
συνωμοσία (Thuc.)· ἡ μεθ' ὅρκων φιλία
συνωρίδα Ἄρης δίπωλον
συνωρίδος· δυάδος
συνωρίς· ἅρμα ἐκ δύο ἵππων, ἡ συζυγία
σύνωρον· σύμφωνον. ὁμολογούμενον. ἢ συγγενῆ
(συνωφρυωμένος [Trag.]· λυπούμενος) 2687
συοβαύβαλοι (Cratin. fr. XXXIII[b])· συῶν αὐλιστήρια καὶ κοιμητήρια ⟨2663⟩
Συοβοιωτοί (Cratin. fr. CLIII)· οἱ Βοιωτοὶ σύες
συορόγχαι (Cyprii)· βλαπτικοί [54]
συοφόρβια· συῶν ἀγέλαι
συοφορβός· σῦς τρέφων
συοχαί· βόρβοροι. ἢ χοίρων ἀσφαλεῖς δεσμοί
Συπαλήττιος (Isae. 79, 20)· δῆμος φυλῆς Κεκροπίδος
Συπαλητ(τ)ίους· κακούργους
σύραι· πολυτελεῖς ⟨2763⟩

COD. 91. 93 συμπ| 96 συνριθμοῦσθαι 99 συνστείητον 2700 συνστρουλῆσαι 1 |πᾶσαι 2 συνσυρίστης — συνούρων 9 συντάργανες 17 συντελέσθαι ⟨20 σύν τε ταμνομένου? an συντεταμένου cum συντετμημένου confusum?⟩ 36 αὐλῇ? ad συστορχάζειν 41 συνῳδεία 51 cf. ἀσύνορον 57 συός, φορβός, συστρέφων 58 συόαι· βάρβαροι post 2752, reliqua post 56 59 συπαλετίττειος

HES. 86 συνοῦται· λυπεῖται ⟨696⟩ 87 συνοφρυμένος· λυπούμενος ⟨cf. συνω—⟩ 89 συνοχή (Luc. XXI 25)· ἀσθένεια, ἀδημονία, ταραχή 90 συμπαίστωρ (Greg. Naz. vol. II p. 4 D)· συμφοιτητός, ὁμότροφος 92 συμπειραθέντες (Xen. Hell. V 2, 41)· συστραφέντες ⟨cf. συμπ—⟩ 94 σύν ρα (Θ 61)· ὁμόσε ⟨2787⟩ 95 συνρεφειῶν· συνσκεπῶν ⟨συνηρεφέων, cf. 2792⟩ 97 σύνταγμα· πλῆθος. στράτευμα 2704 συντακτήριος (valedictio) 6 συντάξασθαι· ἀσπάσασθαι (valedicere) 10 συντεμών· συντελέσας 11 συντετάσθαι· διεκτετάσθαι ⟨συντετᾶσθαι· διακτᾶσθαι cod.⟩ 12 συντέθηκα (Ps. LXXII 15)· συνεθέμην ⟨2618⟩ 16 συντελείας (I Regg. VIII 3)· κακίας 18 συντελεσθήτω (Ps. VII 10)· τελειωθήτω 28 σύντρεις αἰνύμενος (ι 429)· ὁμοῦ τρεῖς συλλαμβάνων 31 σύντριμμα (gl. sacr.)· ἁμάρτημα 33 συντροχάσει (Eccles. XII 6)· καταντήσει. πληρώσει 35 συντυχίζειν· συνσωρεύειν (Philol. XII p. 623) 37 σύμφημι (Rom. VII 16 cf. 2353) 38 συγχαίρω 39 συγχεῖ· ταράσσει. λυπεῖ (I 612 paraphr.) 54 συὸς ἀγρίου (Θ 338)· συάγρου

Συρακοσία τράπεζα (Aristoph. p. 1038)· πολυτελής

σύρας μαχαίρας· [ὅτι] πολυτελεῖς, διὰ τὸ παροικεῖν αὐτοὺς Πέρσαις· εἰ μὴ ἀντὶ τοῦ σοβαρεῖς· καὶ μήποτε σύβρας. Συβρ(ι)άζειν γὰρ τὸ θρύπτεσθαι καὶ χλιδᾶν φασι

σύρβα· μετὰ θορύβου

σύρβη· παρὰ τοῖς μεταλλικοῖς ⟨—κά?⟩

συρβηνεύς· Κρατῖνος ἐν Θρᾴτταις (fr. XIII). ἤτοι (α)ὐλητής· σύρβη γὰρ ἡ αὐλοθήκη. ἢ ταραχώδης

Συργάστωρ· συοφορβός. καὶ ὄνομα βαρβαρικόν

σύρη· πλῆθος. σύρματα †ναυμαγίας

συρία (Cratin. p. 132)· ἡ παχεῖα χλαῖνα. ἤτοι ἀπὸ τοῦ σισύρνης· ἢ ὅτι ἐν Καππαδοκίᾳ γίνεται. οὗτοι δὲ Σύροι [70]

•σύριγγες· ἐκ καλάμων πανδούρια, ἢ κατατρήσεις εἰς ἀλλήλας ἐμπίπτουσαι

συρίγγιον· τροχοῦ κένωμα, δι' οὗ ἐνίεται ὁ ἄξων

σύριγξ· δορατοθήκη. ἢ ὄργανον μουσικόν

σύριγγος· αὐλοῦ μουσικοῦ. ἢ τῆς δορατοθήκης (Τ 387) τὸ εἶδος

Συρίῃ ἐνὶ γαίῃ (inc. epic.)· τῇ περὶ Πόντον: ἡ νῦν λεγομένη Σῦρος νῆσος· ἔστι δὲ τῶν Κυκλάδων (ο 402)

Συρίοις κύβοις· μήποτε Σύριον λέγει τὸν Πέρσην λεγόμενον· διὰ τὸ Συρίαν λέγεσθαι γῆν τὴν ἀπὸ Φοινίκης μέχρι Βαβυλῶνος

Σύριον (Aesch. Pers. 84)· Ἀσσύριον. τὸ διὰ Συρίας φερόμενον. ἢ διὰ τὸ σώλινον ⟨τῶν Σολύμων⟩

συρίσκος (Alexid.)· ἀγγεῖόν τι πλεκτόν, εἰς ὃ σῦκα ἐμβάλλουσι. τινὲς δὲ ὑρίσκον

συριστής· γέρανος ἄρρην ⟨432⟩

σύρκεσσι· σαρξίν. Αἰολεῖς

σύρκιζε· σάρκαζε

συρμαία (Herod. II 125)· ἀγών τις ἐν Λακεδαίμονι, ἔπαθλον ἔχων συρμαίαν. ἔστι δὲ βρωμάτιον διὰ στέατος καὶ μέλιτος. λέγεται δὲ καὶ συρμαϊσμός (Hippocr. p. 805 H), καὶ ἔστι πρὸς κάθαρσιν. καὶ πόμα δι' ὕδατος καὶ ἁλῶν

συρματὶς στρατιά· ἡ τὰ συμψή(γ)ματα καὶ φρύγανα σύρουσα καὶ συλλέγουσα

συρμίον· λάχανόν τι σελίνῳ ἐοικός ⟨cf. σίον⟩

συρμιστήρ· ξυλοπώλης

συρράδ(ι)ος· νόθος. μικτός. εἰκαῖος [87]

σύρτης· χαλινός [89]

συρτίς· φθορά, καὶ λύμη

?συράσσει· συμπίπτει [92]

συρφετός· ὄχλος. ἢ κονιορτὸς μετὰ κόπρων. τινὲς δὲ χειμὼν καὶ συρμός. ἢ ἀκάθαρτος

σύρφη· φρύγανα

σύρφος· θηρίδιον μικρόν, ὁποῖον ἐμπίς

σύρων (Anaxil. p. 345)· ἕλκων

σῦς· γυνή. ὗς· σύαγρος

συσκανία (Dor.)· τὸ συσσίτιον

συσκευή· ἐπιβουλή

σύσκηνος (Xen. ΚΠ II 2, 22)· σύνοικος

σύσκια· σύνδενδρα

συσπαστόν· τῶν τραγικῶν τι ἐγχειρίδιον ἐκαλεῖτο, ὡς Πολέμων (fr. XCV) φησί, τὸ συντρέχον, ἐν Αἴαντος ὑποκρίσει [2303. 4]

συσσίτιον (Ar. Plut. 602)· ἄριστον. ἢ τὸν συνεσθίοντά τινι ⟨σύσσιτον⟩

συσσοΐη (Democrit.)· ἡ ἀνεμπόδιστος φορά

συστάσεις· σύνοδοι. συμφωνίαι

συστατῶν· συγκροτῶν. †συστῶν. καὶ τὰ ὅμοια

?συστήσασθαι· πήξασθαι

†σύστηνον· (ἐ)στενοχωρημένον. [τρίχινος χιτών, ἢ ῥυπαρός. Ἀντίμαχος

συστομώτερον σκάφης (Menand. p. 69)· παροιμία [ad 11]

συστραφέντες· συνελθόντες [13]

συστροφή· ἴλιγξ ὑδάτων. ἢ σκοτισμός

συτάσσει· ἱκετεύει (cf. τύσσει)

σύτο· ὥρμησεν, ὧρμα. ἀνῆλθεν. ἀνηκόντισεν (Φ 167?)

συφαιός· χοιροβοσκός

σύφακα· γλεῦκος

συφακίζειν· ὀπωρίζειν

σῦφαρ (Callim. fr. XLIX Sophro fr. 8)· γῆρας, τὸ ὑπέρτατον· οἱ δὲ τὸ τοῦ ὄφεως. καὶ τὸ

COD. 66 συλο] ⟨συρβήνη?⟩ 69 σησύρνης 72 κύνωμα 75 ἐνηγαίη 80 σύρκεσι — αἰωλεῖς 86 cf. ὑρράδιος 87 ὤμοσεν ⟨92 ῥέφεα, ῥέψας, συνρεφειῶν voces nihili⟩ 95 σῦρφος — ἔμπης 98 σύσκανα 99—2801] post 2806 5 σύσσιτον 16 σύτοι 20 σύφαρ

HES. 70 Συρία· διὰ τὸ[ῦ] σύρεσθαι ὑπὸ τοῦ κατακλυσμοῦ 87 σύρρα (Θ 61)· ὀμόσε, εἰς τὸ αὐτό ⟨2694⟩ 89 Σῦρος ⟨sic⟩· Ἄραψ 92 συρρίφη· σύνσκέπη ⟨2695⟩ 2803 σύσσημον (Marc. XIV 14)· σημεῖον 4 σύς· σύσσημος, συσμός ⟨L. συσσεισμός· σεισμός⟩ Ad 11 ἐπὶ ⟨cod. ἀπὸ⟩ τῶν τὰς σκάφας φερόντων μετοίκων· διὰ τὸ ἀπαρρησίαστον, οἷς οὐδὲ χανεῖν ἐφίετο 13 συστρεμ(μ)άτων (II Regg. IV 2)· θορύβων. πλάνων

ἐρ(ρ)υτιδωμένον σῦκον. καὶ τὸ ἐπὶ τοῦ γάλακτος †τροφῶδες

συφεός· τόπος, ὅπου αἱ σῦς τρέφονται

συφ(ε)ιοί· οἱ τῶν συῶν οἶκοι

συχνά, πυκνά, συνεχῆ, πολλά

συχνοῖς· συνεχέσι. καὶ τὰ ὅμοια

(σφαγεῖον·) ἐν ᾧ τὸ τῶν ἱερείων ὑποδέχεται αἷμα, τόπος (Eur. El. 800)

σφαγή (Xen. Venat. X 16)· ὁ κατὰ τὴν κατακλεῖδα τόπος

σφάγια· ἡ τῆς ἱερουργίας ἡμέρα

σφάγιον· πρόβατον (Eur. El. 514), θῦμα (Eur. Hec. 109)

σφαγίς (Eur. El. 1142)· τὸ προκάρδιον. καὶ † ἡ τομή

σφαδάζει (Eur. fr. 818)· βράζει. δυσθανατεῖ. χαλεπῶς φέρει. διασπᾶται. ἀγανακτεῖ. δυσφορεῖ. ἀτακτεῖ. μετὰ χολῆς ὀργίζεται. καὶ μετὰ χόλου πολλοῦ, ἢ μετὰ σπασμοῦ πηδᾷ. μαίνεται. σπεύδει. διασεί†ει. θυμοῦται. ταράττεται ὑπὸ τραύματος ζέοντος

σφαδασμός (Plat. Civ. IX 579 E)· σπασμός. καὶ τὰ ὅμοια [31. 32]

†σφαίλειν· πλῆσαι [34]

σφαιρηδόν· περιφερές, στρογγύλον ὡς σφαῖρα (non N 204)

σφαιρωτήρ· [ad 36] σκύτος [ad 36]

σφακελισμός (Eur. fr. 751)· παραπληξία

σφακελίσαν (Plat. Tim. 84 B)· κακωθέν. καταφθαρέν

σφακελίζει (Cratin. fr. XLVIII)· κρούει τοῖς ποσί. κινεῖ δεινῶς. ὀδυνᾶται. σπᾷ. διασπᾶται. ἀλγύνεται. Σφακελισμὸς γὰρ καὶ σφάκελος ἡ ἄμετρος ὀδύνη· καὶ ἡ μετὰ σπασμοῦ τῆς χολῆς πρόεσις· καὶ ἡ τῶν ὀστέων σῆψις

σ(φ)άκια· τῆς ἀμπέλου τὰ κλήματα

σφάκος (Cratin. fr. CXXXV)· χόρτος, ὃν τὰ κτήνη ἐσθίει. οἱ δὲ τὸ ἐπὶ τῶν δρυῶν ἐπιγεννώμενον, ὃ καλοῦσι βρύον. οὐκ εὖ. ἐκεῖνος γὰρ φάσκος (q. v.) λέγεται

σφακώδη κλιτύν· καθ' ἣν ὁ σφάκος ἐφύετο. ἔστι δὲ ἄγριον φυτόν

σφαλάσσειν· τέμνειν. κεντεῖν

σφαλεῖεν· ἀποτύχοιεν. ψευσθείην (ad σφαλείην)

σφαλερόν (Soph. Ai. 159)· ἐπικίνδυνον. σαθρόν. ἀβέβαιον

σφαλερόν· ἐπισφαλές. ἐπικίνδυνον [47]

σφάλλειν (Xen. KII VIII 8, 10)· κλίνειν. καταβάλλειν. ἁμαρτάνειν

σφαλμᾷ· σκιρτᾷ. σφάλλεται. ἄλλοι ἀντὶ τοῦ σφαδάζειν τετάχθαι φασί. ἔνιοι μετὰ ἐπιθυμίας τι πράττειν (Polyb. XXXV 5, 2)

†σφάλλον· κολάκευσον [51]

σφαλός (Epicharm. p. 454· .....) ἔστι γὰρ ξύλον ποδῶν δεσμωτικόν· οἱ δὲ κορμὸν ἢ δίσκον· ἄλλοι δισκοειδές τι σκεῦος μολύβδινον ἔχον κρίκον, ὃ δεσμοῦντες ὑπὲρ τὴν κεφαλὴν ῥίπτουσιν ἐν τοῖς ἀγῶσι

σφάνιον· κλινίδιον (cf. ἐν σφανίῳ)

†σφαραγγές·

σφ(α)ραγίζει· βροντᾷ. ταράττει. ψοφεῖ

σφαραγεῦντο (ι 390. 440)· κατεπονοῦντο. ἐφλέγοντο. ἐψόφουν (2834)

σφάραγος· βρόγχος. τράχηλος. λαιμός. ψόφος

σφάς (E 567)· αὐτούς, αὐτάς, αὐτά (Soph. OT. 1470)

σφέ (Aesch. Prom. 9)· αὐτούς, αὐτάς, αὐτά

σφέας (δ 77)· αὐτούς, κατ' ἔγκλισιν

σφεδανόν (Λ 165)· ἐπιτεταμένον. συντονώτατον. σφοδρόν. ὀξύ [62. 63]

σφειδρόν· καθαρόν. εὐῶδες

σφειλόν (Boeot.)· λοξόν. πυκνόν. εὐκίνητον (2895). προσφυές. δριμύ

σφείων (Δ 535)· αὐτῶν

σφέλας (σ 393)· ὑποπόδιον [68]

σφέλμα· τὸ ἄνθος τῆς πρίνου

Σφενδαλῆς· δῆμος τῆς Ἀττικῆς (cf. Herod. IX 15)

σφενδόναιαν· σφενδόνην. ἢ τὴν σφραγῖδα

COD. 25 σφάγιον· πρόβατον θῦμα (cf. suo loco) ἢ ἐν ᾧ (δ) 26 κατακλί 27 σφαγία 29 δυσθανατ˙˙. — δόλου 35 σφαιριδόν 36 cf. φαιρωτήρ 41 σφακός — φακὸς λέγεται 42 κλιτήν — φακός 52 .φαλλός — δεσμωτήριον — μολυάδειν cf. col. 635, 29 57 σφάραγγος 62 δανόν; cf. δανῶν 64 cf. φιαρόν, φιλυρόν, ψιαρόν 65 σφειλόν (cf. ἄσφηλοι, EM. 100, 49) 70 σφενδάλης

HES. 31 σφαδάζουσα· ῥηγνυμένη (Basil. schol. in Greg. Naz. Or. XXXIV) 32 σφαδάν· σφοδρόν (Λ 165). καταπληκτικῶς 34 σφαιραγεῦντο (ι 390)· ἐψόφουν (2856) Ad 36 ζηνίχιον σανδαλίου, — κόμμα λώρου (Greg. Naz.) 47 σφάλμα· ἁμάρτημα 51 σφάλλονται· ἁμαρτάνουσιν 62 σφεδανῶν (Φ 542)· φονεύων, ὀλλύς, κτείνων. τινὲς ἐπεσπευμένων. ἄλλοι σύνθετον εἶναι ἐκ τοῦ σφέ καὶ δανῶν, ὅ ἐστι κτείνων· ἔστι δὲ ῥηματικόν 63 σφεζόμενοι (Γ 152)· ἐπικαθεζόμενοι 68 σφέλα (ρ 231)· ὑποπόδια

σφενδόνην (Plat. Civ. 359 E)· τοῦ δακτυλίου τὸ περιφερές. ἢ σφραγίς
σφέρτα· τὰ ἄφορα δένδρα ⟨ἄφερτα?⟩ [74]
σφετέρησι (α 7)· ταῖς αὐτῶν
αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο
σφετερίζει εἰς ἴδιον κέρδος (κε)χηνώς
σφετεριζόμενος (Dem. 248, 12)· ὑφαιρούμενος. ἰδιοποιούμενος
σφετερίζων· ἰδιοποιούμενος, καὶ προσλαμβανόμενος [79—83]
Σφήκεια (Xenagor.)· ἡ Κύπρος τὸ πρότερον. καὶ τὰ τῶν σφηκῶν κηρία ⟨σφηκεῖα⟩
σφηκίσκος (Ar. Plut. 301)· τὰ μακρὰ τῶν ξύλων καὶ εἰς ὀξὺ συνηγμένα σφηκίσκους λέγουσιν· ἐπεὶ καὶ οἱ σφῆκες τὴν κοιλίαν ἐπισυνηγμένην ἄγαν ἔχουσι. καὶ τοὺς λαγαροὺς τοῖς σώμασιν ἀνθρώπους καὶ .. προκοιλίους ......
σφηκισμός· εἶδος αὐλήσεως εἰρημένον ἀπὸ τῆς ἐμφερείας τῶν βομ(β)ῶν
σφηκίωσις· κηρία σφηκῶν
σφηκοί (Soph. fr. 26)· οὐ κεχυμένοι τῇ σαρκώσει, ἀλλὰ συνεσφιγμένοι. ἔνιοι δὲ ῥωμαλέους
?σφηκῶν· ποικίλων
σφηκὸς λόφου· τὸ ἄκρον τοῦ λόφου, τὸ ἐπὶ τῶν ὤτων ἀποκρεμάμενον τοῦ λόφου, τῆς περικεφαλαίας τὸ συνεσφιγμένον. Λόφουρον δέ, οἷον λόφου οὐράν [91]
σφήκωμα (Ar. Pac. 1216)· πύκνωμα. καὶ ὁ δεσμός
σφῆλαι· πλανῆσαι. βλάψαι (.σαλεῦσαι. κινῆσαι)
σφήλειεν· ἀποτυχεῖν ποιήσειεν
σφηλόν· λοξόν. πυκνόν. εὐκίνητον. Ἄσφηλον δὲ τὸ ἀκίνητον ⟨2865⟩
σφηνεύς (Euthyd.)· ἰχθῦς ποιὸς θαλάττιος
σφηνούμενος· στρεβλούμενος [98—2900]
Σφήττιοι· δῆμος τῆς Ἀκαμαντίδος φυλῆς
σφί· ἑαυτῷ ἢ ἑαυτῇ
σφί(γ)κται (Cratin.)· οἱ κίναιδοι, καὶ ἁπαλοί
σφιγκτήρ· χιτών. Ταραντῖνοι
σφίδες· χορδαὶ μαγειρικαί ⟨1511⟩
σφίδη· χορδή [7]
σφίσιν (Hom.)· ἑαυτοῖς [ad 8]
σφισίμολος· διαφορὰ τῆς κινήσεως
σφόδελος· ἡ ἄλιμος δασὺ ἄνθος †ἄρχη σκιερόν. οἱ δὲ σῖτον
σφοδελοφόρους· τοὺς μετοίκους
σφόδρα· πάνυ, πολύ, ἄγαν, λίαν
σφοδρόν· ἔντονον. ἰσχυρόν. ὀξύ. στιβαρόν. εὔτονον. χαλεπόν [14]
σφονδύλη (Ar. Pac. 1077)· ὅμοιόν τί φασι †σαλαφίῳ εἶναι, ὀσμὴν φαύλην προϊέμενον, εἴ τις ἅψεται αὐτῆς
σφόνδυλος (Ar. Vesp. 1489)· τράχηλος
σφόνδυλοι· αἱ ἁρμογαὶ τῶν μελῶν. καὶ οἱ τῶν φυτῶν πυθμένες. ἄλλοι τὰς δικαστικὰς ψήφους. καὶ τὰ τῆς ῥάχεως ὀστᾶ. καὶ τῶν σκορπίων αἱ ἐπὶ τῶν κέντρων περιγραφαί (Nic. Th. 781. 797)
†σφορτάν· λιμόν [19]
σφραγῖδες· αἱ ἐπὶ τῶν δακτυλίων, καὶ τὰ τῶν ἱματίων σημεῖα
σφραγιδονυχαργοκομήτας (Ar. Nub. 331)· τοὺς ἔχοντας σφραγῖδας ἐν τοῖς δακτυλίοις ὄνυχας λίθους, καὶ κομῶντας
σφραγίς· χελώνη. καὶ ὁ ἐν τῷ δακτυλίῳ λίθος, ἢ σήμαντρον
?σφηρός· τὸ τοῦ ἱματίου σημεῖον
σφριαί· ἀπειλαί, ὀργαί
σφριγᾷ· περιτέταται, περιτείνε(τα)ι. ἄλλοι σφύζει, πλήρης τυγχάνει. μάλιστα δὲ ἐπὶ θηλείας, εὐσωματεῖ (Ar. Nub. 799), ἀκμάζει, νεάζει, καπριᾷ (Lysistr. 80)
σφριγανόν (Hippocr.)· ἀκμαῖον. δαψιλές σφοδρόν [27]
σφριγῶντα· ἐπαιρόμενα, ἰσχύοντα
σφριγῶσα· πεπυκνωμένη, συνεστηκυῖα, ἰσχύουσα
σφυγμός· φλεγμονή. κυρίως δὲ ὁ παλμὸς τῶν ἀρτηριῶν
σφυδρά· ἡ περιφέρεια τῶν ποδῶν
σφυδῶν· ἰσχυρός, εὔρωστος, σκληρός
σφύζει· πηδᾷ, φλεγμαίνει. καίεται. ἅλλεται ἡ φλέψ
σφῦρα· ἐργαλεῖον τεκτονικόν, ἢ χαλκευτι-

COD. 90 ὁρᾶν ⟨σφήκωμα λόφουρον?⟩ 2902 ἑαυτοῦ ἢ ἑαυτῆς 17 ἀμοργαί 21 |γους, κομήτας 25 πλήρεις 28 σφριγόντα (non Aesch. Prom. 380) 33 στέλλεται ἡ 34 σφύρα

HES. 74 σφέτερα (α 274)· ἴδια αὐτῶν 79 σφέτερον (P 287)· τὸ αὐτῶν ἴδιον 80 σφετρίδες· ἐπιβλήματα ⟨ἐφεστρίδες⟩ 81 σφέων (Σ 311)· αὐτῶν 82 σφῇ (Δ 90)· αὐτῇ 83 σφῄσι (Δ 162 α 34)· ταῖς ἑαυτῶν 91 σφή, σαλεῦσαι, κινῆσαι. σφῆλαι 98 σφῆς (Π 18)· τῆς ἑαυτοῦ 99 σφῇσι (Δ 162)· ταῖς αὐτῶν ⟨2883⟩ 2900 σφῖσιν· αὐταῖς, ἢ αὐτοῖς 7 σφίν· αὐτοῖς, ἢ αὐτούς, ἢ αὐτάς Ad 8 ἢ ταῖς ἑαυτῶν (α 34) 14 σφοῖσι (Ξ 202)· τοῖς αὐτῶν 19 σφοῦ (Δ 534)· τοῦ αὐτοῦ, τοῦ ἰδίου [ἢ τῆς αὐτῆς] 27 σφριγῶν (Greg. Naz. p. 483 B)· ἀκμάζων, νεάζων, αὔξων

κόν (ἢ ἡ παρά τισι λεγομένη κέστρα ⟨q. v.⟩, ἰχθῦς θαλάσσιος)

σφυρά (Δ 147)· τὰ περὶ τοὺς ἀστραγάλους, αἱ περιφέρειαι τῶν ποδῶν. ἢ τῶν ὀρῶν τὰ ἐπίπεδα καὶ κατώτατα (Pind. P. II 46)

σφυράδες (Ar. HA. VII 8)· τὰ διαχωρήματα τῶν αἰγῶν καὶ προβάτων. οἱ δὲ σπυράδας

σφυρήλατος (Theocr. XXII 47)· σφύραις ἐληλα[σ]μένος, οὐ χωνευτός

σφυρήματα· τὰ σιδήρια, ὅτι οὐ χεῖται

σφυροδέται· ἡ λέξις παρὰ τοῖς τὰ ἱπποτροφικά

σφυρόν· σφυδρόν. ἢ τὸ ἐπάνω τῶν ἀστραγάλων. ἢ ἐν κύκλῳ τὰ πέλματα

σφύρωσις· διάροσις

σφώ (Α 574)· ὑμεῖς. ἢ ὑμᾶς (Ο 146) [43]

σφωέ (Α 8)· ἑαυτούς. ἔστι δὲ τοῦ τρίτου προσώπου

σφῶϊν· ὑμῖν (Α 337), καὶ ὑμῶν (Eur. Phoen. 460), καὶ αὐτοῖς ⟨σφωῖν⟩ [46. 47]

σχᾷ· σχάζει

σχαδόνες (Euthyd. com. p. 889)· τὰ κηρία τῶν μελισσῶν, ἔνθα οἱ σκώληκες. οἱ δὲ τὴν ὑπερβάλλουσαν ἡδονὴν σχαδόνες

σχαδών· κυβευτικὸς βόλος

σχαλίδες (Xen. Cyn. II 8)· δι' ὧν σχάζουσι τὰ δίκτυα ὀρθὰ ἑστῶτα ⟨2953⟩

σχαλίσαι· θηλάσαι. καὶ ἀνίσχαλον τὸ ἄτοκον (ἢ ἀνήμελκτον EM. 110, 32). καὶ ἀθήλαστον [53]

σχάσαι· μεταβάλαι

σχάσει· ἀφήσει

σχάσον (Eur. Phoen. 454)· ἄφελκε. κατάπαυσον

σχαστηρία· ὁρμιστηρία. καὶ μέρος τι ἐν τῇ νηΐ ⟨3009⟩

†σχαῦδαι· ἰσχνόφωνοι

σχέδην (Xen. Hipparch. 3, 4)· ἡσυχῆ, βάδην

σχεδία· μικρὰ ναῦς. ἢ ξύλα ἃ συνδέουσι, καὶ οὕτως πλέουσιν. ἢ ὅπλα (Aesch. Cho. 162) τὰ ἐκ χειρὸς τιτρώσκοντα

σχεδιάζειν· ἐγγίζειν. ἐκ παρατυχόντος ἐν ἑτοίμῳ λέγειν. λέγεται δὲ καὶ ἐπὶ τοῦ ταχέως ποιεῖν

σχεδιασθείς· ἐγγισθείς [63. 64]

σχεδίη (Herod. IV 88)· [ad 65] ἡ εἰκαίως πεποιημένη ναῦς. διάβασις, γέφυρα, ζεῦγμα

τῆξις (Hippocr. 189 D)· φθίσις, νόσος. παρὰ τὸ τήκεσθαι [10. 11]
τῇ πρὸς ἀκτῖνα· τῇ ἀνατολῇ [13—15]

COD. 57 τηλεδάνοι — τηδέδαπος 59 Πάφιοι 62 τηλύθροον 71 ἀειζῶον 73 cf. τᾶλις 88 τημελίσαι [ἀλεῖψαι?] 95 τηνεβλατὰ 96 ἐπιδεξιᾶ τὸ ⟨99 τίνη δ' ἐπόησε Doric.⟩ ⟨801 τείνη· σέ, ὡς⟩ 3 τηνικάδε

HES. 47 τῇ ῥίνωι σχέτο (Η 248)· ἐν τῇ βύρσῳ ἐπεσχέθη, ὅ ἐστιν ἐν τῷ ὅπλῳ, ἢ ἐν τῇ βελέῃ 49 τήκει (Nahum I 6)· φθείρει. δαπανᾷ. λεπτύνει 51 τηκόμενος (ε 396)· φθειρόμενος. λεπτυνόμενος. δαπανώμενος 53 τῆλε (Θ 14)· μακράν. πόρρω 54 τηλαύγημα (Levit. XIII 23)· ἀρχὴ λέπρας ⟨cod. λαμπρᾶ⟩ 55 τηλαυγήσεως (Psalm. XVII 12)· λαμπρότητος 56 τηλαυγῶς (Marc. VIII 25)· λαμπρῶς 58 τῆλε δέ (Χ 291)· μακρὰν δέ 60 τηλεθάον (Ρ 55)· θάλλον, ἀκμάζον, εὐανθές 61 τηλεθόωσαν (Ψ 142)· θάλλουσαν, θάλπουσαν 64 τηλεκλειτά (Τ 400)· ἔνδοξα, καὶ μέχρι πολλοῦ ἀκουόμενα 65 Τηλεμάχῳ καὶ ἐμοὶ διαειπέμεν (δ 215)· πρός με καὶ Τηλεμάχῳ ἔσται ὁ λόγος 66 τηλέπυλον (κ 82)· μακρὰν ἀπ' ἀλλήλων ἔχουσαν διεστώσας τὰς πύλας. ἐξ οὗ τὴν μεγάλην δηλοῖ, [ἢ στύλου πύλαι] 75 τηλίκος (α 297)· τηλικοῦτος. ἢ νήπιος Ad 76 πορρώτατον ⟨τηλότατον⟩ 77 τηλόθεν (Α 270)· πόρρωθεν 78 τηλόθι (Α 30)· ὁμοίως 81 τηλυγέτην (Γ 175)· μονογενῆ Ad 89 [τήμερος] Ad 92 τήν ποτε Φοίνικες (ο 418) 93b τήνδε (Α 127)· ταύτην 98 τὴν εὐπερίστατον (Hebr. XII 1)· τὴν εὔκολον Ad 804 [πότε. ἢ] 10 τῇ ὀρέξει (Rom. I 27)· τῇ ἐπιθυμίᾳ 11 τήποδα· λέβητα. τρισκελῆ, χαλκίον 13 τηπτέδεσε χρεώ (Κ 85)· τίς δέ σε χρεία καταλαβεῖν; ⟨939⟩ 14 τηρεῖ (I Ioann. V 18)· φυλάσσει, φρουρεῖ 15 Τήρια (Β 829)· ὄρος Τρωάδος

Τηρίας (Thuc. VI 50. 90)· *ποταμὸς Σικελίας* [17]

τῆς ἄλης· τῆς πλάνης

τῆς δεῦρο· τοῦ παρόντος

τῆσδε φύσεως· ταύτης τῆς φύσεως [21]

τῆς ὑπερῴας· τοῦ οὐρανίσκου

τήτει (cf. Eur. fr. 495)· *σπάνει*

τῆτες (Ar. Ach. 15 fr. p. 1002)· *ἐν τῷδε τῷ ἔτει. οἱ δὲ Δωριεῖς σάτές φασιν· ὅθεν σαταν ίους πυροὺς [καὶ] μὴ τελεσφοροῦντας, ἀλλὰ πρὸ ὥρας θεριζομένους*

τήτη· ἀπορία, ἔνδεια, στέρησις

τητωμένη· στερομένη [27. 28]

τητωμένου· στερομένου

τητώμενον· στερισκόμενον

Τηΰγετον (ζ 103)· *ὄρος*

τηΰσίην (γ 316 ο 13)· *ματαίαν·*

σὺ δὲ (τη)υσίην ὁδὸν ἔλθῃς

τινὲς ἀρχ(α)ίαν· ἄλλοι βλαβεράν, ἢ περιβόητον

τηΰσιον· μάταιον

†τιάλλακτον· Σέλευκος παρὰ Ἐπαινέτῳ ἔμβαμμά τι [35]

τιάρα (Xen. An. II 5, 23)· *ἡ λεγομένη κυρβασία. ταύτην δὲ οἱ Πέρσαι βασιλεῖς μόνοι ἐχρῶντο ὀρθήν· οἱ δὲ στρατηγοὶ ὑποκεκλιμένην. Ἡρόδοτος δὲ ἐν α΄* (c. 132) *ἀρρενικῶς*

τιάρις· λόφος τῆς περικεφαλαίας, περίθεμα κεφαλῆς, καμελαύκιον

!τιβάθων· τιμώμενος

Τιάσσα· κρήνη ἐν Λακεδαιμονίᾳ. τινὲς δὲ ποταμόν

†τίβδαινον· φίλον

τιβδεῖ· φοβεῖται

τιβήν (Lycophr. 1204)· *λέβης, τρίπους*

τιγάς· εἶδος ἀμπέλου

τίγγα· Διοκλῆς ἐν Μελίτταις (fr. 1). *Ἡ[ρα]κλέων δὲ οὐ διελὼν τιγγάβαρυ τὸ κιννάβαρι[ν] λέγει*

τιγόνιον· εἶδός τι Ἀριστοτέλει (HA. V 3? IV 7)

Τίγρης (Herod. I 189)· *ποταμὸς Περσ[ικός] καὶ ὁ τοῦ ποταμοῦ ῥοῖζος. καὶ ζῷον* [44 46] *τίγρις*

τί δαί· τί γὰρ ἄλλο, ἢ τί γάρ; (ὧδε, ἐνταῦθα) Κρῆτες. Βοιωτοὶ (Ar. Ach. 869) *ἐνθάδε. Ἀττικοὶ διὰ τί δή*

τί δή ποτε· διὰ τί

τί δῆτά σοι· διὰ τί σοι

†τί δόστορε· τί ποιεῖτε; Ταραντῖνοι [51]

τίεσκε μύθους (Trag. inc.)· *ἐτίμα λόγους* [53—57]

τιήρη(ς)· τὸ ὀξύ ...... Πέρσαι

†τιητιβεῖν· τιμωρεῖσθαι

τιθαί· τιθασσαί. τέλειαι. ἐργάτιδες. πραεῖαι

τιθαιβώσσειν· βόσκειν. ἐργάζεσθαι. τρέφειν †ἐθήβειν. θησαυρίζειν. ἀγαπᾶν. θ[η]ρυβεῖν. τιθέναι τὴν βόσιν, τουτέστι τὴν τροφήν [62]

τιθαιβώσσουσι (Nic. Th. 199)· *τιθέασι. φυλάσσουσι* [64—70]

τιθήνας· τροφούς, τιτ(θ)άς [72]

τιθηνεῖ· τρέφει

τιθηνεύεται· ὅμοιον

τιθηνευόμενος· τρεφόμενος. ἀσκῶν

τιθηνός· τροφός. μοσχοτρόφος. ἢ ὁ τὰ τι(τ)θευόμενα τημελῶν παιδία. οἱ δὲ τιθηνόν· τὸν ἐράσμιον ⟨cf. *τηθ—*⟩ [77. 78]

τιθηνούμενος· τρέφων (Greg. Naz.!). *Τιθηνός γὰρ ἡ τροφός, καὶ τιτθοὶ οἱ μαστοί* [80. 81]

Τιθράσια (Ar. Ran. 480)· *χαλεπά, τραχέα*

COD. 23 *χήτει?* 24 *σατὶς* 26. 29 *στερρ|; cf. τατώμενα* 32 *συδευσίαν — ἀρχίαν* 34 *ἐν βάμματι* 36 *μόνη* 37 *περιθέμενα* 41 cf. *ψιβδεῖ* ⟨an *τί βδεῖ?*⟩ 42 *τίβηνο;* 44 *ὅτι βαρὺ* 45 Imo *τιτιγόνιον*, coll. *ἠτιγόνιον* 47 Attici *τί δαί;* Cretenses *τεῖδε, τῖδε* (cf. *οἷ τεῖδε*), Boeoti *τῖδε* ⟨50 *τί δ' ἱστορεῖς* (Soph. Tr. 429)· .... (*τί δρᾶτε*)· *τ. π. Τ.!* 60 *τίθαι* 61 *τιθεβώσσειν* 62. 63 *τιθεβόσσουσιν — τιθεβώσσουσα* 76 *τιθήνη*

HES. 17 *τῇσίν τε θαλάσσια ἔργα μέμηλε* (ε 67)· *ταῖς ἐν θαλάσσῃ κορώναις. προσημαίνουσι δὲ αὗται τοὺς χειμῶνας* 21 *τῆς κουστωδίας· τοῦ συστήματος* 27 *τητθή· μάμμη. θεία* 28 *'τητύμα· ἀληθῆ* 35 *τιαλέσθην* (Ω 711)· *τὴν ἄμαξαν* ⟨cf. *τιατη—*⟩ Ad 46 [*παρὰ μὲν Ἰουδαίοις Φορά, παρὰ δὲ Ἕλλησι*] 51 *τίει* (Ι 238)· *τιμᾷ, σέβεται, αἰδεῖται* 53 *τιέσκετο* (Δ 46)· *ἐτιμᾶτο* 54 *τίεσκον* (χ 414)· *ἐτίμων* 55 *τίετο* (Ε 78)· *ἐτιμᾶτο* 56 *τίη* (Α 365)· *διὰ τί, ἱνατί* 57 *τιήνη· ἡ βασίλισσα* ⟨*τιτήνη*⟩ 62 *τιθαιβώσσουσιν* (ν 106)· *ἐναποτίθενται, ἀποθησαυρίζουσι τὴν τροφὴν αἱ μέλιτται, τὸν λεγόμενον μελίκηρον* 64 *τίθει* (e. c. ε 267)· *ἐνετίθει, ἐδίδου* 65 *τιθεῖον· μαστός* ⟨*τιτθίον* an Cretice *τιθθίον?*⟩ 66 *τίθεισθα* (ι 404)· *ποιεῖς* 67 *τιθέντες* (Ε 384)· *ποιοῦντες* 68 *τίθεντο* (Η 475)· *παρεσκευάζοντο* 69 *τίθεον* (Λ 264)· *ἰσόθεον* 70 *τιθή· τροφός* ⟨*τιτθή*⟩ 72 *τιθασσεύει· ἡμεροῖ, πραΰνει* 77 *τιθήμενον* (Κ 34)· *παρατιθέμενον, ὅ ἐστι καθοπλιζόμενον* 78 *τιθηνόκομον γένος· τοὺς Αἰθίοπας, ἐπεὶ μέλανες καὶ κομῆται* (863. 80 *τίθησι* (Λ 392)· *τιθεῖ* ⟨*ΠΟΕΙ*⟩ 81 *τιθίασται* (*ΤΙΘΡΑCΙΑΙ*)· *†τιμᾶν*

Τιθωνόκομον· ἔθνος μέλαν μὲν τὸ ὅλον σῶμα, λευκὸν δὲ τὰς κόμας ⟨878⟩ [84—86]
τιλίαι· αἴγειροι [88]
τίλλει (Anacr. fr. XXXIV)· ἀνα(σ)πᾷ. μέμφεται. διαβάλλει. ἀποσκώπτει
τιλλομένη· λοιδορουμένη
τιλμός· παιδιά
τιλτόν (Plat. com. p. 685 Nicostr. p. 280)· εἶδος ταριχίου
τιμάδιον· μικρὰ τιμή
τί μαθών· τί βουλόμενος
τιμαλφεῖν (Aesch. Ag. 922)· τιμᾶν
τιμαλφής· ἔντιμος, τιμὴν ἀλφάνουσα, διὰ τιμῆς ἀγομένη· Ἴων (fr. 43) Φοίνικι δευτέρῳ. τινὲς μὲν τὴν † ἰώνιον, Αἰσχύλος δὲ ἐν Ἐπιγόνοις (fr. 55) ἐπὶ τοῦ ἐντίμου [97]
τιμαλφέστατα· τιμιώτατα, πολύτιμα. ἢ ὁσιώτατα [99]
† τιμᾶσι· τισίν
τιμά(σ)ω· τιμήσω
τιμή· δόξα. ποτὲ δὲ καὶ τιμωρία, ἡ ἀντέκτισις ἡ κυρία [903. 4]
τιμήεντος (θ 348)· ἐντίμου
τιμήορος (sch. Aesch. Suppl. 42)· τιμωρός. βοηθός
† τιμηρύειν· τιμιοπωλῶν
τιμῆς· τίσεως
τιμήσεως· ζημίας
τιμηταί· οἱ τιμώμενοι τὴν ἑκάστου οὐσίαν
τίμιος (κ 38)· ἔντιμος, ἔνδοξος [12. 13]
τιμοῦντας· τιμίους ὄντας
τιμοῦχος· ἔντιμος. ἀξιόλογος. καὶ ἄρχων, ἰσχυρότατος, μέγιστος
τιμῶμαι· καταδικάζω
τιμώμενος· εὐθυνόμενος. καὶ ἐπιτίμιον ὑπέχων. οἱ δὲ ἐπιτίμια πατρός

τιμωρεῖσθαι· κολάζεσθαι
τιμωρία· πρόστιμον, ἀνταπόδοσις. κόλασις. ἡ τιμὴ παρὰ Λυσίᾳ
τιμωροῦσι· καταπονοῦσιν. ἐκδικοῦσιν
τίν· σοί (Alcm. fr. 15 [29]). ἢ τινά ⟨τιν'⟩
τιναχτοπήληξ· σεισολόφος
τινθαλέῳ (Ar. Vesp. 328? Nic. Al. 445)· πυρί. διαθέρμῳ
τινθαλέον· διάπυρον. † διάφορον. † διεφθαρμένον. διαφανές [25. 26]
τινύμενον· ἀπαιτούμενον. ἀποδιδόμενον
τίνυνται (Τ 260)· τιμωροῦνται
τινύων· ἀποδιδῶν
† τιντόν· ἑφθόν ⟨τινθόν?⟩
τῖξον· δεῖξον [32]
τίοιτο· τιμηθείη
† τίον· μέσον ἡμέρας ἐτίμουν
[Ad 35] τὰ ἀπρεπῆ
τί ὀνήσω· τί ὠφελήσω
τίπτε· τί δήποτε. ἢ κατὰ συγκοπὴν τί ποτε. ἢ διὰ τί, ἢ ἱνατί (Λ 202) [39. 40]
τί πράττεις· τί ποιεῖς [42]
τί ῥέξεις (Eur. Alc. 262)· τί πράττεις [44]
τίριος· θέρους. Κρῆτες [46]
Τιρύνθιον Ἄργος· τὰς Μυκήνας
Τιρύνθιον πλίνθε(υ)μα (Trag. inc. fr. 202)· ἀντὶ τοῦ τεῖχος. ὑπὸ Κυκλώπων δὲ κατεσκεύαστο [49—51]
τῖσαι (Aesch. Ag. 1430)· ἀποδοῦναι [53. 54]
τίσι· ποίοις [56]
τίσις· ἀντέκτισις (α 40). † ἀτιμία. ποινή, τιμωρία [58]
† τίσις (Cret.)· τί ποτε ⟨cf. τοῖν⟩ [60]
τίσομαι· τιμωρήσομαι (Eur. Med. 1316?) [62. 63]

COD. 91 τίλμος 92 τίλτον 93 τιμαδία 97 τιμαίωνα 99 cf. Ἀριστόδημος; 7 τιμηοπωλῶν 22 |λιξ 24 τινολλεον 27—29 τινν| 31 τίξον ⟨34 ΤΙΟΝ· σόν (Bocoli)· ἢ γέρασι ἐτίμων (Θ 161 Callim. fr. XLI)?⟩ 45 θέρου.κρῆται 48 τοῦτο (cf. Κυκλώπων ἕδος) 55 τίσοι (forte τίοισι?)

HES. 84 τί ἱκανόν (Iob. XXI 15)· τί ὄφελος 85 τί κεν· τί ἄν 86 τίκτειν· καὶ ἐπὶ ἀρρένων (Φ 118)· τίκτεν ἀνὴρ ἀνάσσων Μυρμιδόνεσσι 88 τιλλά ⟨πτι—⟩· πτερά 97 τιμαί· ὠναί. τιμήματα 99 Τιμάναξ ⟨Τιμησιάναξ⟩· ὁ πρωκτός. ὁ δὲ αὐτὸς ὁ ⟨leg. καὶ⟩ Θεόδωρος 903 τί μέλλει(ς Eur. Hec. 726 Alc. 254)· τί βραδύνεις 4 τιμηδές· εὐλαβές (Theocr. XXV 79?) 12 τιμηουλκῶν (Prov. XI 26)· τιμὴν αἰτῶν, ἢ ἕλκων τὴν τιμήν 13 τιμουλκῶν (Prov. XXI 26)· αἰτῶν, καὶ ἀπαιτῶν 25 τιννεῖν (Σ 407)· ἀποδοῦναι 26 τινυβειομαι (Χ 431)· τί δὴ μέλω βίου, ὅ ἐστι ζῆν 32 τιοίμην (Θ 540)· τίμιος εἴην Ad 35 τίον ἑτέρων (Σ 81) 39 τίπτε δέ σε χρεώ(ν Κ 85)· τίς δέ σε χρεία καταλαμβάνει ⟨813⟩ 40 τίπτε με (Λ 605)· διὰ τί με 42 τίρεα (Σ 485)· ἄστρα 44 τίρεται ⟨τει—⟩· καταμολύνεται. καταπονεῖται 46 Τίρυνθα (Β 559)· πόλις ἐν Ἄργει 49 τισάμενον (Ε 391)· καταπονούμενον 50 τίσασθαι (Β 356 al.)· τιμωρίας λαβεῖν 51 τίσατο (ι 479)· ἐτιμωρήσατο 53 τίς γάρ (Α 8 cf. 962 non Soph. OT. 1189)· τίς δή 54 τίς δ' αὖ τοι (Α 450)· τί(ς) δέ σοι 56 τίσοιεν (Α 42)· τιμωρίαν δοῖεν 58 τίς κεν· τίς ἄν 60 τίσον (Α 508)· τίμησον 62 τίς γάρ (Α 8)· τίς δή 63 τίσουσι (μ 382)· τιμωρήσονται

τίς τρόπος (Melagenis fr. II p. 764)· παροιμία ἐπὶ τῶν ἀλλοκότων [65]

τίται· εὔποροι. ἢ κατήγοροι τῶν ἀρχόντων [67. 68]

τιταίνειν· σπεύδειν. τείνειν. χραδαίνειν. ἕλκειν. τίσιν λαμβάνειν (Hesiod. Th. 209 sch.). τιμωρεῖν

τιταινομένω (β 149)· ἐκτεταχότε

τιτάν· παιδεραστής [ad 71]

Τιτανίδα· τὴν Εὔβοιαν, παρόσον Βριάρεω[ς] θυγάτηρ ἦν. ἔνιοι δὲ τὴν Ἀσωποῦ φασι

Τιτᾶνες· τιμωροί, ἀπὸ τοῦ τιταίνειν. ἄλλοι δὲ οἱ μὴ ἔχοντες ἀποτῖσαι ἀτιτᾶνες ὠνομάζοντο, οἱ δὲ ἔχοντες τιτᾶνες

Τιτανὶς γῆ· ἤτοι πᾶσα ἡ γῆ, (ἢ) ἡ (Ἀττικὴ) ἀπὸ τῶν κατασχόντων

τίτανος· [ad 75] καὶ κονία, ἄσβεστος. οἱ δέ τι γύψου χρῖσμα

..τιτανωμένας· γεγυψωμένας

τιτανωτὴ χρόα· γυψωτή, ἡ λευκόχροος [78]

τίταξ· ἔντιμος. ἢ δυνάστης. οἱ δὲ βασιλεύς [80—82]

τιτῆναι· βασιλίδες .... ἡ Ἕκτορος Λύτροις (p. 68 Nck.)

τίτθαι· τροφοί

τίτθεν (Cret.)· τίκτειν

τιτθίον (Ar. Ran. 412)· τιτθός. μαστός [87. 88]

(τί) τίρ· (τί) τίς. Λάκωνες

τίτλος· πτυχίον ἐπίγραμμα ἔχον

Τίτορμος (Herod. VI 127)· οὗτος Αἰτωλὸς ἀνὴρ διαβεβοημένος ἐπὶ ἀνδρείᾳ καὶ μεγέθει

τιτρᾶται· τρυπᾶται. διανοίγεται

τιτυβίζει (Ar. Av. 236)· ὡς χελιδὼν φωνεῖ

τιτύπαι· αἱ ἐμπύλαι (q. v.)· αἱ πλάναι

τιτύρας· ὄρνις ποιός. ἡ τιτυρό(δ)

τίτυρος· σάτυρος (Dor.). κάλαμος. ἢ ὄρνις (Theophr. Char. 6, 2)

τιτύρινος· μόναυλος (Amerias). ἡ αὐλ[ὸς] καλάμινος (Italiotae, Dores)

τιτύσκετο (N 23)· ἡτοιμάζετο, παρεσκευάζετο. κατεστοχάζετο [99. 1000]

τιτώ· ἠώς (Callim. fr. CCV 1). ἡ αὔριον

τί ὑμῖν διαφέρει (Demosth. 43)· τί ὑμῖ[ν] μέλει

τίφαι (Theophr.)· αἱ ὀλῦραι. καὶ τίφη [id.]

τιφαίας· τὰς τῶν θηρῶν καταδύσεις

τίφια ὄρνεα· τὰ ἐν τοῖς ἕλεσι γινόμενα

τῖφος (Theocr. XXV 15)· ἕλος

Τῖφυς· ὁ ἐφιάλτης, † νέαλυς. καὶ ὁ τῆς Ἀργοῦς κυβερνήτης

τί φῶ (Trag.)· τί εἴπω [5]

τίω· σοῦ (Rhintho). ἢ τιμῶ (Δ 257). ἢ τίνω (ad εἴω). (ἢ τινί Sapph. fr. 55)

τλᾶθι (Pind. Pyth. IV 276)· ὑπόμεινον

τλαιπαθές· ταλαίπωρε (τλαπ—)

τλάς· ὑπομείνας. ἢ ποιήσας

τλασίφρονα· ὑπομονητικόν

τλῆθα· ὡραία. Κυρηναῖοι

τλήθυμος· ἰσχυροκάρδιος [17. 18]

τλημόνως (Eur. Tro. 40)· ἐλεεινῶς

τλῆναι (Apoll. lex.)· ὑπομεῖναι. τολμῆσαι. παθεῖν

τληπάθειαι· ὑπομοναί, ταλαιπωρίαι

τληπαθής· ὑπομονητικός

τλῆσις· τόλμα. θράσος

τλησίπονος· τολμηρός, καρτερικός [25. 26]

τλητῶν· ὑπομονητικῶν

τμάγεν (Π 374)· διεχωρίσθησαν, διέστησαν, ἐτμήθησαν, ἐσχίσθησαν

Τμάριον· ὄρος Ἀρκαδίας

Τμάριος· Ζεὺς ἐν Δωδώνῃ

τμήγας· γατόμος. ἀροτήρ

τμῆγος· [ἀρότης.] βούτμημα

τμήδην (Η 262)· τμητικῶς, τομῶς. τεχίω ἀποκεχ(ω)ρισμένως. βέλτιον δέ, ὅσον ἐπιτεμεῖν, καὶ οὐκ εἰς βάθος τρῶσαι·

τμήδην αὐχέν' ἐπῆλθεν

τμηθεῖσα (Eur. Med. 3 fr. 475)· κοπεῖσα

COD. 66 cf. ἀτίτην 70 |νφ |ὅτι 75 ἐπιγύψου 83 βασι(λδ) 87 τιτθή post τιτθίον, ἡ τροφός post μαστός 91 Τιτόλμος 97 |ρῆνος 1001 τίτῶ, πῶς Post 1] ἢ τινί 3 τιφή (4 τίφεα?) (15 אֱלִיחָא) 33 αὐχένες

HES. 65 τίσω (Ι 142)· ἀποδώσω. τιμήσω 67 τιταινόμενος (Χ 23 Ψ 518 λ 598)· τρέχων. ἕλκων. τ(ε)ινόμενος 68 τίταιτνον (Ν 704)· ἕλκουσι. τείνουσι Ad 71 καὶ τὸ τοῦ ἀντιχρίστου ὄνομα (τειτάν) Ad 75 [ὄρος Θεσσαλίας (Β 735)] 78 Τιταρήσιος (Β 751)· ποταμὸς Ἠπείρου 80 τιτᾶσθαι· στερήσασθαι (τη—) 81 τιτένων (Β 390)· τιτνων. πέμπων. ἕλκων 82 Τιτῆνες (Ξ 279)· Οὐρανοῦ παῖδες 87 τιτθή· ἡ τροφός 88 τιτίει (Ι 238)· τιμᾷ 99 τιτυσκόμενοι (Γ 80)· εὐστοχοῦντες, στοχαζόμενοι 1000 τιτυσκόμενος· τὰ αὐτά Ad 3 ἐν τοῖς ἕλεσι 9 τιχίζομαι· σκέπομαι 17 τλήμων (Ε 231)· ὑπομονητικός 18 τλημαθεῖν (τληπ—)· ταλαιπωρεῖν, πονεῖν 25 τλῆτε (Β 299)· ὑπομείνατε 26 τλητικῶς (Philo VM. I 36 p. 112)· ὑπομονητικῶς

τμηθῆναι·

τμῆξαι (Nic. Alex. 301)· τεμεῖν. (δια)λαβεῖν

τμήξας (Nic. Th. 886)· τὰ αὐτά

†τμητός· τμῆμα

Τμῶλος (Β 866)· ὄρος. καὶ ποταμός

τό (Ι 576)· τὸ ἄρθρον οὐδέτερον προτακτικόν
τὸ μὲν ἥμισυ οἰνοπέδοιο
καὶ ἀντὶ τοῦ τοῦτο (Α 234)·
(τὸ) μὲν οὔποτε φύλλα καὶ ὄζους
φύσει

τοάχης· χιτὼν σχιστός

τόβλιχος· χρουματίου μίμησις

τόγε ἦχον· ὅσον δυνατόν

†τογέρα· μοιχός. λαλαχός

τὸ δ' αὐτό· τὸ αὐτό δέ. ὁμοίως δέ

τὸ δεῖν· τὸ δέον

τὸ δήϊον· τὸ πολέμιον [48]

τὸ ἐνσώματον· τὸ μετὰ σώματος

τὸ ἠλύσιον· ὁ παράδεισος

τὸ ἤνυστρον· μέρος τῆς κοιλίας τῶν μηρυκωμένων [52]

τοί· οἱ. οὗτοι. καὶ σύνδεσμος παραπληρωματικός [ad 53] [54. 55]

τοιγαροῦν (Soph. Ai. 490)· ὅθεν δή. ἢ οὐκοῦν

τοιγάρτοι (Aesch. Suppl. 655)· καὶ γάρ. τοιγάρτοι

τοίδε γε· ἐκεῖνοι δέ, ἢ οὗτοί γε

τοιθορύκτρια· ἡ τοὺς σεισμοὺς ποιοῦσα ⟨τονθ—⟩

τοιθορύσσειν· σείειν ⟨τονθ—⟩

τὸ ἱερόν· τὸ θεῖον [62]

τοῖν· τί ποτε. Κρῆτες ⟨959⟩ [64]

τοίνυν· διὰ τοῦτο

?τοινισταφράσαι· ἀγγεῖλαι. εἰπεῖν [67. 68]

τοῖον· τοιοῦτον. ὄντως ἀγαθόν (Aesch. Sept. 580). τοῦτον. τάσσεται καὶ ἐπὶ θαυμασμοῦ [70]

τοίοις δέ (Eur. Med. 784)· τοιούτοις δέ [72—75]

τοῖς τῇδε· τοῖς ἐνθάδε

τοῖς τυχοῦσι· τοῖς ἐντυγχάνουσι

τοιχοδιφήτωρ· τοιχωρύχος [79]

τοιχωρύχος (Plat. Civ. 344 B)· λῃστής, κλέπτης

τοίως (Theocr. XXIV 71)· ἰσχυρῶς. καλῶς. (τόκα· τότε) [ἀκριβῶς

τοκάδερ (Lacon.)· ἔγχυοι [83]

τὸ κατὰ γᾶς ξίφος· θηρίδιον σκολοπένδρᾳ ὅμοιον

τοκέες· πατέρες, γονεῖς [86—89]

τὸ κῦρος· ἡ ἐξουσία, ἡ δεσποτεία [91]

τὸ λαιόν (Eur. fr. 534)· τὸ ἀριστερόν [93]

τολμήσω· καρτερήσω

τολμητίας· προπετής, αὐθάδης, ὑπὲρ τὴν ἑαυτοῦ δύναμιν ἐπιχειρῶν

τόλυξ· αἰδοῖον

?τὸ λοβόν· τὴν ἀρχὴν τοῦ ὠτός (Aesch. Eum. 158?)

τολύπαι· τὸ κατασκευαστὸν ἔριον

τολυπεύειν (Ξ 86 Ar. Lys. 586)· ταλαιπωρεῖν. μοχθεῖν. στρέφειν. μηχανᾶσθαι. ἐργάζεσθαι

τολύπευμα (Eur. Rh. 744)· τὸ κατασκευαστὸν ἔριον

τολυπεύσας· κατεργασάμενος

τολύπευσεν (Ω 7)· ἐξειργάσατο

τολυπευτικώτατος· ἐργαστικώτατος. ἐπιτελεστικώτατος

τολύπη· τὰ προφυράματα τῶν μαζῶν, ἃ καὶ βήρηκας καλοῦσιν. καὶ ἀγαθίδιον στήμονος, ἢ ῥοδάνης

Τόμαρος· τὸ ἐν Δωδώνῃ ὄρος. καὶ προφήτης. καὶ ἱερεύς. καὶ θύτης. καὶ μάντις

τὸ μέταζε (Hesiod. Opp. 396)· τηνικάδε ⟨96⟩ [1107]

COD. 40 τὸ το̄ — ἡ γὰρ τὸ μὲν ἥμυσὶ οἰνοπεδίον — φύλατε 51 μηρυκο| 53 τοῖσι, οὗτοι 82 ἔγχυος 83 τόχαι· διώχαι 1101 τοπολ| 4 βήριχας 6 τομεταξὺ (cf.
πτ
τὰ μέταζε) 7 ἄσι

HES. 48 τόδ' ἱκάνεις (Ξ 298)· ἔνθαδε ἥκεις 52 τόθεε (III Regg. XIV 28)· παραστάς ⟨אח⟩ Ad 53 καὶ ἀντὶ τούτοις 54 τοῖα (Ψ 67)· τοιαύτας, τοιάσδε 55 τοιγάρ (Α 76)· τοιγαροῦν. σύνδεσμος 62 τοί κεν (Β 346)· οἵτινες ἄν 64 τοῖϊν (Ν 66)· ἐκείνου 67 τοῦο· τοῦτο. ἢ αὐτοῦ 68 τοῖοι· τοιοῦτοι· ἀγαθοί 70 τοῖος· τοιοῦτος 72 τοίους (Α 262)· τοιούτους 73 τοί ῥά· οἵτινες δή 74 τοῖς· τούτοις 75 τοῖσι· τοῖς σοῖς ⟨ad τεοῖσι⟩. ἢ ἐν ἑαυτοῖς. ἢ ἐν τούτοις 79 τοῖχος (μ 420)· τοῦ πλοίου ἡ πλευρά 83 τὸ καί (Γ 176)· διὸ καί 86 τοκεῦσι (Δ 477)· γονεῦσιν. ἐγγόνοις 87 τοκέων (Ο 660)· γονέων 88 τόκος (ο 175)· γένεσις 89 τὸ κρήγυον (Α 106)· τὸ ἀληθές 91 τόλα ⟨τόκα⟩· τότε 93 τολέσπευσεν (Ω 7)· εἰργάσατο 1107 τὸ μελάνδρυος (ξ 12)· τὸ μέσον τοῦ ξύλου· διὰ τὸ εἶναι εὔτονον τοῦτο τὸ μέρος. ἄλλοι δὲ διαστείλαντες τὸ μελάνδρυος εἰς ἡ ⟨l. δύο⟩ μέρη λόγου ἀποδεδώκασι τὸ μέσον τῆς δρυὸς μέρος μέλαν εἶναι καὶ ἄσηπτον διαμένειν

τομεύουσι· τέμνουσι
τομεύς (Trag. inc. 340)· τμήτης, ἤγουν ὁ τέμνων
τομή· ἡ ῥίζα, ὅθεν ἐτμήθη (Λ 234?). καὶ ἡ πληγὴ τοῦ ξίφους
τομία (Ar. Lys. 386 Dem. 642, 18)· τὰ ἀποτμήματα, καὶ ἀκρωτηριάσματα τοῦ νεκροῦ. οἱ δὲ τὰ ἱερά, ἃ σφάζοντες ὀμνύουσιν [12]
τόμος· χάρτης. ἢ ὁ τέμνων ⟨τομός⟩
τόμουροι· προφῆται. ἱερεῖς. οἰωνοσκόποι. διάκονοι [15]
τόν (ψ 116 Α 36)· ἄρθρον ἀρσενικὸν προτακτικὸν πτώσεως αἰτιατικῆς. ἢ τοῦτον. ἢ ὅντινα
τοναία (Alex. com. III p. 460)· φωνῆς τάσις
τὸν ἀφ' ἱερᾶς (Menand. p. 147)· γραμμή τις ἐν τῇ παιδιᾷ τῶν πεσσῶν, ἱερὰ καλουμένη [19]
τὸν εὐθυτενῆ· τὸν ὀρθόν
τονθορύζει· ἀτάκτως λαλεῖ. γογγύζει. ψιθυρίζει. καὶ τονθρύζει τὰ αὐτά
τονθρύς· φωνή
τόνθων· παρὰ Κορίννῃ (fr. 39) ἐπὶ νωτιαίου κρέως τὸ ὄνομα
τόνος· ἔντασις, ἰσχύς, ῥώμη, δύναμις
τόνους (Philippid. IV p. 470)· τὰς κειρίας ἀπὸ τοῦ τετάσθαι [26]
τὸν οὐδόν· τὸν βατῆρα ὁδοποιόν [28]
τὸν σόν· τὸν ἴδιον (Soph. Ant. 45) [ad 29] [30]
τόνῳ· λίαν [ad 31]
τοξεύομαι· ἀποστεροῦμαι (χρημάτων)
τοξεύοντο· τόξα ἔτεινον
Τοξίου βουνός· τοῦ Ἀπόλλωνος τοῦ ἐν Σικυῶνι. βέλτιον δὲ ἀκούειν τὴν ἐν Δελφοῖς Νάπην λεγομένην· ἐκεῖ γὰρ καὶ ὁ δράκων κατετοξεύθη. καὶ ὁ ὀμφαλὸς τῆς γῆς τάφος ἐστὶ τοῦ Πύθωνος
τόξον (Δ 105)· κυρίως αὐτὸ τόξον. δηλοῖ δὲ καὶ τὴν τοξικὴν ἐμπειρίαν (Herod. I 73), καὶ αὐτὰ τὰ βέλη (Plat. Legg. VII 815 A)
τοξοποιεῖν τὰς ὀφρῦς (Ar. Lys. 8)· συστρέφειν αὐτάς

τοξόται (Ar. Ach. 54)· οἱ δημόσιοι ὑπηρέτ
τοξότα λωβητήρ (Λ 385)· διὰ τόξων λαβώμενε, καὶ βλάπτων· ἀφ' οὗ τὸν δειλὸν λέγει
τοξότης (Soph. Ai. 1120)· πολεμιστής [40]
τό οἱ (Callim. Del. 31)· ὅπερ αὐτῷ
τὸ ὄντως· τὸ ἀληθῶς [43]
τὸ ὅσον ἐπ' ἐμοί· τὸ κατὰ δύναμιν
τοπάζει· εἰκάζει. ἱδρύει. ὑποπτεύει. στοχάζεται [ad 45]
τὸ παράπαν (Pherecrat. p. 311)· παντελές [47]
τὸ παρὸν εὖ τίθεσο· παροιμία, ἧς καὶ Πλάτων ἐν Γοργίᾳ (p. 340 E) μνημονεύει
τοπάσαι (Plat. Legg. p. 691 D)· ὑπονοῆσαι. ὑπολαβεῖν
τοπαστέον· ὑποληπτέον. ὑπονοητέον
τὸ περιόν· πλῆθος
τοπήϊα (Callim. Del. 315)· ὅπλα νεώς, σχοινία, τοπεῖα, κάλοι (Laced.)
τὸ πρὸς ἀκτῖνα· τὸ πρὸς ἀνατολήν
τὸ προμηθέ[υ]ς· τὸ προνοητικόν
τὸ προσεχές· τὸ ἐγγύς
τὸ πρῶτον· τὸ πρεσβύτατον [57]
τύ ῥα· ὅπερ δή ⟨1180⟩
τόρβηλος· μεμψίμοιρος
Τόργιον· ὄρος ἐν Σικελίᾳ, ὅπου νεοττεύουσιν οἱ γῦπες. ἀφ' οὗ καὶ αὐτοὶ τόργοι
τόργος (Call. fr. CCIV)· εἶδος γυπὸς αἱματορρόφου. ἔστι δὲ καὶ ὁ γὺψ παρὰ Σικελιώταις (et Cypriis)
τορεῖν· τορῆσαι, τρῆσαι, τεμεῖν
τορέλλη· ἐπιφώνημα θρηνητικὸν σὺν αὐλῷ Θρᾳκικόν
†τορχιμόν· τὸ βαρὺ καὶ μισητόν
τόρμη· εὐθὺς δρόμος κατὰ τέχνην. καὶ στροφή. καὶ σύμπας (δρόμος)
τορμίς· ἡ δέσποινα
τόρμος· ἡ πλήμνη τοῦ τροχοῦ, εἰς ἣν ὁ ἄξων (ἐνήρμοσται)
τορνεύει (Ar. Thesm. 54)· γλύφει
τορνευταί· γλύπται
τόρνος (Eur. Bacch. 1067)· ἐργαλεῖον τεκτο-

COD. 11 σφάζονται (cf. μασχαλίσματα et ἔντομα) 18 τις τῇ παιδίᾳ 21 τονθρίζει τὰ αὐτά 23 νοτιβίου 29 τερτρέμονα 34 τοξιούβονος 41 cf. τώ οἱ 48 καροῦν εὐτίθεσο 50 ὑπομονητέον 63 τορελλῆ (cf. σορέλλη) 65 cf. ἐκ τορμῶν

HES. 12 τό μοι· τοῦτό μοι 15 τομώτερος (Hebr. IV 12)· ὀξύτερος, δυνάμενος τέμνειν 19 τὸν δ' ἄρ· πρὸς τοῦτον δέ 26 τὸν ὀπισθότατον (Θ 342)· τὸν ὀπίσω, τὸν τελευταῖον, τὸν ἔσχατον 28 τόν ῥα (Β 21)· τὸν δή Ad 29 τέρμονα, τὸ τέλος (Σ 544) 30 τό νυ γὰρ κατεάξαμεν (Ν 257)· τοῦτο γὰρ τὸ δόρυ κατεάξαμεν Ad 31 [τέρατι 40 τόξου πῆχυ (Δ 375)· τὸ ὅλον τόξον, κατὰ ἀντεπέκτασιν τῆς νευρᾶς 43 τόσσα μέμηλε (Β 25)· τοσαῦτα φροντίζει Ad 45 [ἢ τοθάζει] 47 τὸ πάροιθεν· τὸ πρὸ τούτου 57 τοπυργίαις· ἐμπυρισμοῖς (—το πυρκαϊαῖς)

νικόν, ᾧ τὰ στρογγύλα σχήματα περιγράφεται

τορνῶσαι· περιγράψαι. κυκλῶσαι [71b]

τορνώσας· τῷ κύκλῳ (περιγράψας)

?τορνοῦμαι δὲ πρὸς μέτρον (Trag.?)· ἀντὶ τοῦ περιγράφομαι

τὸ ῥόθιον· τὸ κῦμα

τόρον· λιθ(οκοπ)ικὸν σκεῦος. ἢ μεγαλόφωνον ⟨τορόν⟩

τορόνος· τόρνος. Ταραντῖνοι

τόρος (Philyll. fr. I p. 863)· ἐργαλεῖον φρεωρυχικόν. καὶ εἰς ὃ ὁ στελεὸς ἐμβάλλεται

†τορόν τι, ὀξεῖα ⟨τοροτὶξ Ar. Av. 260⟩ [79]

τόρρα· ὅπερ δή ⟨1158⟩ [81]

†τορτυρόμενον· νιφόμενον

τορύνη· σιτῶδές τι ⟨πο—⟩

τόσα καὶ τόσα (Dem. 1307, 19 Plat. Phaedr. 271 D)· ἢ τοσαῦτα

τὸ σέλας· ἡ ἔκλαμψις [86]

τὸ σκάφος (Dem. 128, 21)· τὸ πλοῖον

τόσσον (Hom.)· τοσοῦτον, τηλικοῦτον. λέγεται καὶ ἐπὶ θαυμασμοῦ [89]

τοσοῦτον· ὅλον τοῦτο

τὸ σταῖς (Eupol. fr. XL)· τὸ ἄλευρον

τόσῳ μᾶλλον· ὅσῳ πλέον

τὸ τάχος· συντόμως [94]

τὸ τεῦχος· τὸ σκεῦος

τὸ τηνικαῦτα· τὸ τότε

τὸ τί· διατί

τοῦ (Apoll. lex.)· ἄρθρον προτακτικόν [99]

τοῦμα (Lacon.)· στόμα

τοὐμοῦ· τοῦ ἐμοῦ

τοὐμφανές· φανερόν [1203]

τοὔμπαλιν (Eur. Hec. 783)· τὸ ἐναντίον, ἀνάπαλιν, ἔπειτα πάλιν [5]

τούνη· σύ. Λάκωνες

τοῦ παντὸς ἀξιόλογον· τοῦ παντὸς κύριον

τοὔργον (Eur. Hec. 1112)· τὸ ἔργον, κατὰ συναίρεσιν τῶν φωνηέντων

τοὐρθόν (Eur. fr. 205)· τὸ ὀρθόν

τούς (Ε 423 Λ 191)· ἄρθρον προτακτικόν. καὶ ἀντὶ τοῦ οὗς· καὶ ἀντὶ τοῦ τούτους

†τουσοίρ· φύσκη πλήρης κριμνῶν, στέατος, αἵματος

τοὺς ἐμβόλους (Herod. I 166)· τὰ ἔμβολα τῶν νεῶν. καὶ ἐπὶ τῶν θηλειῶν

τοὺς ἐν τέλει (Herod. III 18)· τοὺς ἐν τιμῇ καὶ ἀρχῇ

τοὔσχατον· τὸ ἔσχατον, καὶ μέγιστον

τουτάκις (Dor.)· τοσαυτάκις, ὅπερ ἐστὶν ....

τουτί (Eur. Cycl. 169)· τοῦτο

τοῦτις· ὁ κόσσυφος

τοῦτο μέν· ποτὲ μέν

τοῦτο Πύθιον· τοῦτο πρῶτον καὶ ἔσχατον

τουτῶ (Theocr. I 45)· ἐντεῦθεν. Λάκωνες

τοῦφος ⟨τόφος Aeol.⟩· τάφος

τόφρα (Apoll. lex.)· ἐν τοσούτῳ. ἕως τούτου τοῦ χρόνου. καὶ ἔστιν ἀνταποδοτικὸν τοῦ ὄφρα ἢ ἄχρι, ἢ ἕως. ἢ ἵνα (schol. Ap. Rhod. 3, 807) [23]

τραγαλέον· διερρωγότα

τραγᾶν· οὕτω τὸ ἀκαρπεῖν τινες τῶν γεωργικῶν· οἱ δὲ †μενῶν ⟨ἀμπέλων?⟩ νόσον. καὶ τῆς φωνῆς τὸ πάθος

τράγαις· (τραγᾶς), Αἰολεῖς

Τραγασαῖοι ἅλες· οἱ ἀπὸ Λεκτοῦ οὕτω λέγονται ἀπὸ λίμνης, ἣ καλεῖται Τραγ(άσ)η

τραγεῖον· πόας εἶδος

†τράγη· πεπληγμένη. πεπηγυῖα

τραγηφόροι· αἱ κόραι Διονύσῳ ὀργιάζουσαι τραγῆν περιήπτοντο

τραγίζειν (Hippocr. 1175 F)· τὸ τραγᾶν τῇ φωνῇ τοὺς ἀκμάζοντας τῶν παίδων

τραγικῆς· (τραγῳδεῖν εἰδυίας) τραγῳδῶν ᾄσματα

τραγικὸν πάθος· μεστὸν συμφορᾶς

τραγικὸς πίθηκος (Dem. 307, 25)· παροιμία ἐπὶ τῶν παρ' ἀξίαν σεμνυνομένων

τραγιστάς· τοὺς τὰ ἱερεῖα κλέπτοντας

τραγοπώγων· πόας εἶδος

τράγους· σατύρους, διὰ τὸ τράγων ὦτα ἔχειν

COD. 72 post κύκλῳ] περιέγραψεν 73 |ῶμαι 1200 τοῦμα 6 τουνή 9 τοῦθρον τὸν ὄρθρον 11 χρημνῶν 20 τοῦτο 21 cf. στοῦπος 22 τούτου καὶ ἀνταποδοτικὸν τοῦ χρόνου. ἢ ⟨24 Γραγ—?⟩ Post 26 οὕτω — Τράγη 27 Τραγάσαι, οἱ — Λέσβου ⟨29 τραφερὴ γῆ· πεπηγυῖα Cyr. Voss.⟩ 31 παιδίων 33 ἀξίας

HES. 71b (τορνώσαντο Ψ 255·) περιέγραψεν 79 τορόῳ· ἐργαλείῳ. ὀξεῖ, ἀκριβεῖ, τρανῷ, ἰσχυρῷ, μεγάλῳ ⟨τόρῳ — τορῷ⟩ 81 τόρτυρα· τῶν κεραμίων προμήκης πυθμήν ⟨γοργύρα⟩ 86 τὸ σίνεσθαι· τὸ βλάπτεσθαι ⟨cf. ἐπὶ τὸ —⟩ 89 τὸ σὸν μένος (Ζ 407)· τὴν σὴν ὀργήν 94 τότε μοι χάνοι εὐρεῖα χθών (Δ 182)· εὐρὺ καὶ μέγα μοι χάσμα γῆς γένοιτο, ἵνα με δέξηται· ὅπερ ἐστὶν ἀποθάνοιμι 99 τοῦ δὴ πολλοὶ ἀπὸ σπινθῆρες ἵενται (Δ 77)· τοῦ καλουμένου κομήτου ἀστέρος 1203 τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο (ξ 162)· τὴν τριακάδα λέγει. τὸν μῆνα ἔχειν φησὶ ἡμέρας εἰκοσιεννέα, ὥστε τὴν τριακάδα μέρος ἔχειν καὶ τοῦ παρῳχηκότος καὶ τοῦ ἐπιόντος μηνός 5 τοὔνεκα· τούτου χάριν, τούτου ἕνεκεν 23 τόφρα δέ (Λ 509)· τηνικαῦτα δέ

τραγῳδεῖν· χορεύειν

τραγῳδία· χορεία: κωμῳδία ⟨τρυγ—⟩

τραγῳδός (Ar. Vesp. 1489)· χορευτής: κωμῳδός ⟨τρυγ—⟩ [41. 42]

Τραλλεῖς (Theopomp.)· οὕτως ἐκαλοῦντο μισθοφόροι Θρᾶκες τοῖς βασιλεῦσιν, οἱ τὰς φονικὰς χρείας πληροῦντες

†τραλλόν· πικρόν

τράμις (Hippon. fr. 84 Archil. fr. 194)· τὸ (τ)ρῆμα τῆς ἕδρας. ὁ ὄρρος. τινὲς ἔντερον. οἱ δὲ ἰσχίον

τράμπις (Lycoph. 97)· ναῦς ἄκατος. πορθμίς. τινὲς πλοῖα βαρβαρικά

τρανές (Soph. Ai. 23)· σαφές. ἀληθές

τρανίαν· αὐλὴν ἐν ὁδῷ μεγάλην

Τρανιψοί (Theopomp.)· ἔθνος Θράκιον

τρανός (Moschio. fr. 9, 1)· σαφής. ἀληθής

τρανόν· ἑξαμηνιαῖον πρόβατον [50—52]

τραπέζιον· παρὰ τοῖς γεωμέτραις σχῆμα, τὸ τὰς μὲν δύο πλευρὰς ἀπεναντίας πρὸς ἀλλήλας ἔχον ἀνίσους, τὰς δὲ ταύτας ἐπιζευγνυούσας ἴσας

?τραπεζεύς· παράσιτος ἄκλητος

τραπεζίτης (Eupol. fr. XXXIX)· κολλυβιστής, κερματιστής, δανειστής

τραπεζοποιός (Menand. p. 223)· οὐχ ὁ μάγειρος· ἀλλ' ὁ τῆς πάσης περὶ τὰ συμπόσια παρασκευῆς ἐπιμελούμενος (e Iuba)

• τραπεζῶ· ἱέρειά τις Ἀθήνησιν

?τραπεζίτην Πάριν (Trag. fr. 213)· τὸν παραβάντα τὴν τράπεζαν καὶ ἀτιμάσαντα τὸν Μενέλαον ⟨παρατραπ—⟩

τραπείομεν (Γ 441)· τερφθῶμεν

τραπελιζόμενος· συνεχῶς ἀναστρεφόμενος

τραπέμπαλιν (Pherecrat. fr. LVI)· ἐνηλλαγμένως, ἢ παρηλλαγμένως

τραπέοντο (Hesiod. Scut. 301)· ἐπατοῦντο, παρὰ (τὸ) τροπὴν λαμβάνειν τὸν βότρυν πατηθέντα [63]

τράπηκι· δόρατι (cf. τράφηξ, τρόπηκος)

τραπῆν (Dor.)· ληνοπατεῖν

τραπῆναι· στραφῆναι, πεισθῆναι

τραπητός· ὁ οἶνος

τραπομένους· τρεπομένους [69]

τραπῶ· ἀπέλθω

τραρόν (Dor.)· ταχύ ⟨198⟩

τρασιά (Eupol. fr. CXXXIV)· ἡ τῶν σύκων ψύκτρα, παρὰ τὸ τερσαίνειν. ἤγουν τόπος ἔνθα ξηραίνουσιν αὐτά [73. 74]

τραυλόν· ἡδύ. λεπτόν

τραυλός (Herod. IV 155)· ψελλός, τὴν γλῶτταν βεβλαμ(μ)ένος

τραῦμα· πληγή. ἕλκος. μώλωψ ⟨1251⟩

τραυματεῖαι (Thuc. VII 75)· σφαγαί. τετρωμένοι ⟨τραυματίαι⟩

τραύσανον (Pherecr. fr. LVII)· ξηρὸν ξύλον ἢ φρύγανον ⟨cf. γάρσανα⟩

Τραυσός (Herod. V 4)· ἔθνος Σκυθικόν, οἱ τοὺς μὲν γεννωμένους ἀτιμάζουσι, τοὺς δὲ τελευτῶντας κατευφημίζουσιν

τράφαλλος· ὁ χλωρὸς τυρός. οἱ δὲ τρεφαλλίδα [82]

τραφερήν (Ξ 308)· ξηράν. τὸ γὰρ πῆξαι θρέψαι λέγουσιν

τραφερόν· πηκτόν. τρόφιμον. λευκόν. ξηρόν. πεπηγμένον ⟨cf. τράγη⟩

τράφεται (Dor.)· πήγνυται

τράφηξ· χάραξ. σκόλοψ. ἔνιοι δὲ τὸ δόρυ. ἄλλοι τὸ τῆς νεὼς χεῖλος

τραφηρά· ξηρά

τράφος (Cret.?)· τάφος

τράχε (Dor.)· πορεύου ⟨cf. θρακτικόν⟩

Τραχεῖς· ἡ νῦν Ἡράκλεια καλουμένη

τραχηλιάσας· ἐναντιωθείς. ἀπειθήσας

τραχηλιῶ· ὑψῶ αὐχένα

τράχηλος· αὐχὴν τραχύς. σκληρός

τραχήλους (Posidipp. com. p. 517 al.)· τὰς πορφύρας. ἔνιοι τοὺς σπονδύλους τῶν κογχυλίων

τρέ· σέ Κρῆτες [96. 97]

τρεῖς θεοί· παρὰ Σόλωνι ἐν τοῖς ἄξοσιν ὅρκῳ τέτακται. ἔνιοι κατὰ τὸ Ὁμηρικόν

Τρεμιλία· ἡ Λυκία

τρέπει· μεταστρέφει

τρέπεται· ἀλλάσσεται. μεταβάλλεται

τρεπόντων· ἐπιστρεφόντων

COD. 51 τις τοῦ 57 τραπεζών 61 τραπένον πάλιν 65 τραπεῖν 71 τραχύ 80 τραῦσος 90 τραχής 99 τρέμεινα

HES. 41 τρακτεύει· μηχανᾶται 42 τ(ρ)ακτωρία· μηχανουργία 50 τράπε (Ε 676)· ἔτρεψεν 51 τραπεζῆες (ρ 309)· οἱ πρὸς ταῖς τραπέζαις λιχνεύοντες. καὶ οἱ ἐπιτραπέζιοι. καὶ οἰκουροί. λύσις τῆς τοῦ σώματος συνεχείας κατὰ μικρόν τι μέρος τῆς συναφείας διακοπείσης ⟨ad τραῦμα⟩ 52 τραπεζίας (Χ 69)· παρὰ τῇ τραπέζῃ τρυφομένους 63 τραπέουσι (η 125)· πατοῦσιν ἐπὶ τῇ ληνῷ 69 τράποντο (Γ 422)· εἰς φυγὴν ἐτράποντο 73 τρατικόν· θρηνητικόν, λυπηρόν ⟨τραγ—⟩ 74 τραυλίζει· ψελλίζει ⟨Moer.⟩ 82 τράφεν (Λ 266)· ἐτράφησεν 96 τρεῖν· φοβεῖσθαι. φεύγειν 97 τρεῖς ἕκαστον ἀΰσας (ι 65)· τρεῖς ἕκαστον φωνήσας καὶ ἀνακαλεσάμενος. ἔθος γὰρ ἦν †ἐν τοῖς τῶν ἐπὶ τῆς ἀλλοδαπῆς τεθνηκότων τὰς ψυχὰς μετακαλεῖσθαι κατὰ τὸν ἀπόπλουν

τρεπτότητος· τροπῆς
τρέπω· διώκω. ἢ φεύγω [1305. 6]
τρέστης· δειλός
τρέφειν· ἔχειν (v. l. Eur. fr. 326, 6). πηγνύναι. καὶ τρέφεται (ι 246). ὁμοίως
τρέχειν· ἀγωνίζεσθαι
τρέχνος· στέλεχος, κλάδος, φυτόν, βλάστημα
τρέψαν· μετέβαλλον
τρέψειαν· νικήσειαν. πατάξειαν
τρέψομαι· ἔξω πορεύσομαι. διώξω
†τρηγαλέον· διερρωγότα ⟨Fρη—⟩
τρήματα (Plat. Gorg. 494 B)· τρυπήματα
τρηματικτάς (Dor.)· κυβευτάς. ἀπὸ τῶν ἐν τοῖς κύβοις τρημάτων (Sophron. fr. 99)
τρηρόν· ἐλαφρόν. δειλόν. ταχύ. πλοῖον μικρόν
τρήρων· δειλή. περιστερά. ἀπὸ τοῦ τρεῖν, ὅ ἐστιν φοβεῖσθαι· δειλὸν γὰρ τὸ ζῶον καὶ ταχύ [19—23]
τρητοῖς ἐν λεχέεσσι (κ 12 Γ 448)· τοῖς κατὰ τὰς ἁρμογὰς τετρημένοις, ἢ ἱμαντωτοῖς. ἱμᾶσι γὰρ ἐνετείνοντο αἱ κλῖναι, ὡς καὶ τὰ βάθρα
τρητοκουρήτας· γνησίας γυναῖκας. οἱ δὲ παρθένους ⟨cf. τριτοκούρη⟩
τρητὸν ἔλαιον· διὰ τὸ κοίλωμα ἔχειν τὸν ἄγριον ἔλαιον
τρηχαλέῳ· τραχεῖ [28. 29]
τρηχὺ νόημα· σκληρὸν νοῦν
τρί· κατὰ τοῦ πολλοῦ τοῦτο προστίθεται
τρία Θηραμένους (Polyzel. p. 867 Arist. p. 1165)· ἄντικρυς τὰ τοῦ Θηραμένου(ς) ἐπιζήμια ἐκτέθεικεν
τρίαινα· δόρυ τρεῖς ἔχον ἀκμάς
τριαινατῆρες· ἀντὶ τοῦ ἀροτριοῦντος
τρία καὶ δύο (Ar. Eqq. 1187)· ἐπὶ κράσεως πότου. δύο δὲ ἦσαν κράσεις· τρεῖς μὲν ὕδατος πρὸς ἕνα [ad 35] καὶ πέντε ὕδατος πρὸς δύο

τριακάς (Hyperides)· ἡ τριακοστὴ τοῦ μηνός. καὶ σύστημά τι τῶν πολιτῶν
τριακατίοι· οἱ ἔφηβοι. καὶ τὸ σύστημα αὐτῶν ⟨Dor.⟩
τριάκις (Arist. fr. CLX)· ἀντὶ τοῦ τρίς. Λάκωνες
τριάκοντα (Phrynich. com. I p. 159)· οὗτοι ἐχειροτονοῦντο δικασταὶ Ἀθήνησιν, οἵτινες ἐζημίουν τοὺς μὴ παραγενομένους τῶν πολιτῶν εἰς ἐκκλησίαν
τριακοντόρι(οι)· πλοῖα ὑπὸ λή ⟨λ' ?⟩ κωπηλατούμενα
τριᾶντος πόρνη (Epicharm.)· λαμβάνουσα τριᾶντα, ὅ ἐστι λεπτὰ εἴκοσι ⟨κα'⟩
τριάξ· τριακάς
τρία Στησιχόρου (Eupolid. p. 481)· ἔθος ἦν παρὰ πότον ᾄδεσθαι, ὡς καὶ τὰ Ὁμήρου
τριβακὸν ἱμάτιον
τριβαλλοί (Demosth. 1269, 9)· συκοφάνται. οἱ δὲ τοὺς θωπευτικούς, ἐν τοῖς βαλανείοις (δια)τρίβοντας, καὶ ἐπὶ τὰ δεῖπνα ἑαυτοὺς καλοῦντας
τρίβανον· λήκυθον
τριβή· διατριβή. ἢ βραδυτής
τρίβολα (Ar. Nubb. 999. 1003)· στρεπτά. στωμύλα
τρίβολοι (Alcaei)· ἀκάνθης εἶδος· ὅθεν καὶ τὸ τοῖς ἵπποις ἐν τοῖς χαλινοῖς ἐντιθέμενον (Poll. I 148)
τρίβολον ἄχοντα· τρίαιναν
τρίβοντες· λειοῦντες. ἢ φανερὰν ποιοῦντες, ἢ λείαν
τρίβος· ἀτραπός, ὁδός
τρίβουνος (Cyprii)· ἔμπειρος [54]
τρίβων· στολὴ ἔχουσα σημεῖα ὡς γάμμα
τρίβωνα· στολισμόν
τριβώνιον (Eupolid. fr. IV p. 537)· πάλλιον. περιβόλαιον
τριβωνοφόρος· ὁ φορῶν στολήν [59]

COD. 1310 cf. τέρχνεα 16 τρησμαστικτάς — ἀντὶ 17 τρηιρόν ⟨τρηρόν et τριήριον?⟩ 24 ἱμάντα. τοῖς 26 τὸ 31 τρή 32 ἐκτέθηκεν ⟨34 τριαινω—?⟩ 37 τριακάτιοι, εὔφημοι 38 τρεῖς 39 οὕτω — ἐζημιοῦντο — παραγινομένους 40 ὑποληκοπελατούμενα 41 τριάκοντα 43 τριάς, τησιχόρου — περὶ 44 τρίβακον 45 τρίβαλλοι

HES. 1305 τρέσαι (N 515)· φυγεῖν, φοβηθῆναι 6 τρεσάντων (Ξ 522)· φοβηθέντων. ἢ διὰ δέος φευγόντων (non Tyrtae. fr. 11, 14). καὶ τρέσσοντες ὁμοίως 19 τρήρωνες (μ 63)· περιστεραί 20 τρήρωσι (E 778)· περιστεραῖς 21 τρηρσῶνα (Ψ 855)· δειλήν. ἀπὸ τοῦ ..... τρέμειν 22 τρητοὶ λοβοί (Ξ 182)· τὰ ἀλόβα. τὰ γὰρ ἐνώτια ἐλλόβια, διὰ τὸ ἐν τοῖς λοβοῖς ἐνίεσθαι 23 τρητοῖο λίθοιο (ν 77)· εἰώθασιν ἐπὶ τῶν λιμένων τρυπᾶν λίθους, ἵνα ἐξ αὐτῶν τὰ ἀπόγεια σχοινία ἐξάπτωσιν οἱ ναῦται 28 τρηχεῖα (ι 27)· τραχεῖα. πολλὰς ἐξοχὰς ἔχουσα 29 τρηχεῖαν (B 633)· τραχεῖαν. καὶ τὰ ὅμοια Ad 35 [οἴνου δὲ μία] 54 τρίβος· ὁδός (cf. Philemon. p. 67) 59 τρίγανον· εἶδος μέτρου παρὰ τοῖς γεωμέτραις

Τρίγλα (Com. V p. 1066)· ἰχθὺς θαλάσσιος. καὶ τόπος τις (Athenis)

τρίγληνα (Ξ 183)· πολυθίατα· γλῆναι γὰρ οἱ ὀφθαλμοί· τρίκοκκα, τριόφθαλμα, πολυειδῆ

τριγλίζειν· κατὰ μίμησιν ἐπὶ τῶν γελώντων [64. 65]

τριγλώχινι (Call. Del. 31 Ε 393)· τριγώνῳ, τρεῖς γωνίας ἔχοντι

τρίγονοι (Eur. Ion. 496)· τρίτην γενεὰν ἐπισχόντες. ἢ οἱ τρεῖς (Eur. H. f. 1023)

τρίγωνον (Eupol. p. 481)· εἶδος ὀργάνου ψαλτηρίου. ἢ φυτὸν ἐν Αἰγύπτῳ. (εἶδος μέτρου παρὰ τοῖς γεωμέτραις)

†τριγός· τρηγών (1551)

τρίζει· φωνεῖ

τριγχός· περίφραγμα, στεφάνη, τειχίον

τρίζουσα (ω 5, 7)· φωνοῦσα λεπτόν τι

τρίζωος· ὃς τρεῖς γενεὰς ἐξήγαγε

τριήμερος· Θεσμοφόρια ὑπὸ † Λάκωνεις (1440)

τριημιολία (Callixenus)· ναῦς μακρὰ ἄνευ καταστρώματος

τριήραρχος· τριήρους ἄρχων, ἤτοι πλοίων πολεμικῶν

τριήρεις· πλοῖα πολεμικά

τριήρης· ἔξω τῆς νεὼς καὶ ῥυτόν τι ἔκπωμα

τρίηρον· πλοῖον μικρόν

τριηρονόμος· τριήραρχος

τριθαλλίαι· μεγάλως τοῦ θάλλειν αἰτίαι (τριθαλίδες?)

τρίκαρπον· τριετῆ (cf. τερι—) [83]

τρίκκος· ὀρνιθάριον, (ὁ) καὶ βασιλεύς, ὑπὸ Ἠλείων

τρικόλ(λ)υβον (poet.)· νομισμάτιόν τι

τρικόνητος· ὁ πολλάκις ἀπολέσθαι ἄξιος καὶ καταχωσθῆναι

Τρικόρυνθος· ἀνδρεῖος ἥρως

τρικότυλος οἶνος· οὗ τρεῖς κοτύλαι ὀβολοῦ πωλοῦνται

τρίκουρος· ὁ ἐπὶ τρία ἔτη κεκ[αθ]αρμένος κριός. ὁμοίως καὶ ὁ μὴ κεκ[αθ]αρμένος ....

τρικτεῖρα· θυσία Ἐνυαλίῳ. θύεται δὲ πάντα τρία καὶ ἔνορχα

τριττύς (Callim. fr. CCCCIII)· τριάδα (τὸ τριττύα pro τριττύν). ἔνιοι θυσίαν χοίρου, κριοῦ, ταύρου [92]

τρίκυζα· πολλῆς δεόμενα λιτανείας

τρικυμία (Aesch. Prom. 1015)· ζάλη

τρίλλιστος (Θ 488)· πολυλιτάνευτος

τρίμηνοι πυροί (Theophr. VIII 1, 4)· οἱ καὶ σητάνιοι λεγόμενοι

τρίμι.ον (Cratin. min. p. 376)· τὸ εὐσπάθητον ἱμάτιον

τριμίσχον· ἱμάτιον. Ἀσπένδιοι [99]

τριμίτινα ὑφάσματα (Aeschyl.)· τρίμιτα [1401]

τρῖμμα (Alexid. p. 471)· ἀρωματίζον πόμα ἐν γάμοις πινόμενον καὶ ἐν θεατρικοῖς ἀγῶσιν

τρίογδον· μέτρον τι παρὰ Ταραντίνοις

τρίοδος (Ar. fr. XII p. 1030) καὶ τριόδους πληθυντικῶς· ἰδίως τὰς τρεῖς ὁδούς. καὶ τρίαινα

τριολύμπιον ἅρμα (Sophocl.)· τὸ ἐκ τριῶν Ὀλυμπιάδων ἐξευγμένον [6]

τριοπηλίς (Ar. Ach. 813)· δίσημη σκορόδων

Τριόπιον (Thuc. VIII 35)· ἢ Κνίδος. καὶ ἱερὸν ἔνθα ἑορτάζουσιν

τριοπίς (τριοττίς)· τριόφθαλμος. ἔνιοι ζῷον ὅμοιον ἀκρίδι. καὶ περιτραχήλιον τρεῖς ἔχον ὀφθαλμοὺς ὑαλοῦς [10]

τρίορχος (Simonid. Am. fr. 9)· εἶδος ἱέρακος

τρίοψ· ὁ ὑπὸ τῶν Πυθαγορικῶν ἐν Δελφοῖς τρίπους

Τριπατρεῖς· οἱ πρῶτοι γεννώμενοι (1448)

τρίπεζαν· τὴν τράπεζαν. Βοιωτοί

τρίπλακα (Σ 480)· τρὶς ἐπιπτυχθῆναι δυναμένη(ν)· ἐξ οὗ τὴν μεγάλην δηλοῖ· τρίπτυχον, τριπλῆν [16]

τρίποδα (Θ 290)· λέβητα τρισκελῆ. χαλκίον

τρίπολον (Σ 542)· τὴν τρὶς ἢ πολλάκις μεταβεβλημένην διὰ τῆς ἀροτριάσεως γῆν

Τρίπολις· εἶδος πέμματος. καὶ πόλις

†τριπονῆται· ἑορτή τις [21]

τρίπους· λέβης, κρατήρ. ἐχρῶντο δὲ αὐτὸ εἰς τὸ θερμαίνειν ὕδωρ. ὁ δὲ ἐμπυριβήτης ἐστὶν ὁ ἐξ ἑαυτοῦ πόδας ἔχων εἰς τὸ ὑποκαίεσθαι

COD. 62 τριγλήζειν 71 cf. στριγχός 78 ῥητόν 84 ἀπὸ Ἠλείων 91 τρίκτυα 95 τρύλλιστος 96 σηταμήνιοι (l. σιτανίαι) 1400 τριμίτοστα 2 τρίμμα ὁ ἀρωματίζων πέμμα — γινόμενον 9 τριόπιος — ὑαλούς 11 τριόρυχος εἰ 15 τριπλάκαι, προσεπι— — τριπτυχῶν 17 χαλκία 18 τρίπολιν

HES. 64 τριγλήνας· εὐμόρφους ὀφθαλμούς 65 τριγκῶσαι· φράξαι 83 Τρίκκη (Β 729)· πόλις Θεσσαλίας 92 τρικτῆς· μέρ(ος) φυλῆς ...... 99 τρίμηταγωνιστής· ὁ τρίτος ἀγωνιζόμενος 1401 τρίμ με (Ε 256)· φοβεῖσθαί με 6 τριοπην· τριόφθαλμον (τριοττίς) 10 τριόροφα (III Regg. VI 8)· τρίστεγα 16 τριπλῆ τετραπλῆ τε (Α 128)· τριπλασίονα καὶ τετραπλάσια 21 τρίπος (Χ 164)· τρίπους

τριπτήρ (Nic. Al. 490)· ᾧ τὴν σταφυλὴν τρίβουσιν. ὑπὸ δὲ Σικελῶν ὁ δοῖδυξ [24. 25]

τρὶς ἀλιτήριος· ἁμαρτωλός

τρὶς ἕξ (Aesch. Ag. 33 Pherecrat. p. 315)· νικητήριος βόλος. καὶ παροιμία· τρὶς ἓξ ἢ τρεῖς κύβοι. ἐλέγετο δὲ ἐπὶ τοῦ εὐστόχου, ἀπὸ τῶν κυβευτῶν ......

τρὶς εὐδαίμων· τρισμακάριστος

τρὶς ὄλβιος (Soph. fr. 750)· τρισμακάριστος

τρισπόλιον (Hesiod.)· βοτάνη τις

τρισσός· εἶδος ὄφεως (cf. θρίσσος) [32. 33]

Τρίτα· οὕτως ἡ Κνωσσὸς ὠνομάζετο

τριταγωνιστής· ὁ τρίτος ἀγωνιζόμενος ⟨1399⟩ [36]

† τριταία· παρὰ Σόλωνι μὴ πλείω εἶναι τριταίας τὴν κτιστήν

† τριτεύς· γὰρ χοίνικος οὗτος

Τριτῆες γενεήν· οἱ ἀπὸ τοῦ Τριτέων πόλεως κύνες, ἥ ἐστι πλησίον Φωκίδος

τρίτη Θεσμοφορίων (Ar. Th. 80)· ζητεῖται, πῶς ἅμα μὲν λέγει τρίτην Θεσμοφορίων εἶναι, ἅμα δὲ μέσην, τεττάρων οὐσῶν ἡμερῶν ⟨1374⟩

τριτημόριον· οἱ ἓξ χαλκοῖ

τριτήμορον (Thuc. II 98)· ἐλέγετο καὶ ἐπὶ τῆς μοίρας, καὶ ἐπὶ νομίσματος ἀργυρίου

Τριτογένεια (Δ 515)· ἡ τὸ τρεῖν ἐγγεννῶσα τοῖς ἐναντίοις

Τριτογενής (Ar. Eqq. 1189)· ἐπιθετικῶς ἡ Ἀθηνᾶ. ἀπὸ τοῦ τρεῖν ἐγγεννᾶν τοῖς πολεμίοις· ἢ τῷ παρὰ Τρίτωνι, τῷ ποταμῷ Λιβύης ἐμφανισθῆναι

τριτοκούρη· ἡ πάντα συν(τε)τέλεσται τὰ εἰς τοὺς γάμους· τινὲς δὲ γνησία παρθένος ⟨1325⟩

τριτόμηνις (Lycurg.)· ἡ τρίτη τοῦ μηνός

τρίτον ἡμίδραχμον (Dinarch.)· αἱ δύο δραχμαὶ καὶ τριώβολον

Τριτοπάτορας (Philochor. al.)· ἀνέμους ἐξ Οὐρανοῦ καὶ Γῆς γενομένους, καὶ γενέσεως ἀρχηγούς. οἱ δὲ τοὺς προπατέρας ⟨1413⟩

τριτοπηλίς· σκορόδων δέσμη, ἀπὸ τοῦ πεπιλῆσθαι καὶ συνεστράφθαι

τρίτος κρατήρ· Σοφοκλῆς Ναυπλίῳ καταπλέοντι (fr. 389). ἐν ταῖς συνουσίαις ἐκιρνῶντο κρατῆρες τρεῖς. καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον· τὸν δὲ δεύτερον ἡρώων· τὸν δὲ τρίτον σωτῆρος

τριτοστάτις· Ἀριστοφάνης ἐν Σκηνὰς .... (fr. XVIII)

τριτύς (Dem. 184, 10)· τριάς

τριτῶ· ῥεῦμα. τρόμος, φόβος

τριτῶ· Νίκανδρος ὁ Κολοφώνιός (fr. 145) φησι τὴν κεφαλὴν καλεῖν Ἀθαμᾶνας

τριφάσιοι (Herod. II 156)· τριπλάσιοι. τρίφωνοι

τρίφυλλα· πολύφυλλα. καὶ πόα δέ τις μηδίκη οὕτω καλουμένη

Τρίφυλοι· οἱ Καύκωνες

τριφυόν· τριπλοῦν

τρίχα· τριχῶς

τριχάϊκες (τ 174)· τριχόθεν ἐλθόντες † ἀπὸ βίας [61. 62]

τριχῇ· εἰς τρία μέρη

τρίχηλ(ον Aesch. Sept. 760)· τρικόρυφον

(τρίχθα)· τριχῇ· τὸ δ' αὐτὸ καὶ τὸ τρίχα, ἢ τὸ τρίτον μέρος (Ο 189)

τριχίδες (Eupol. fr. XVI p. 493)· αἱ χαλκίδες. Ἡρακλέων δὲ μεμβράδες

τριχόβρως (Ar. Ach. 1111)· θηρίδιον κατεσθίον τοὺς λόφους τῶν περικεφαλαίων

τρίχορδον· ὄργανον

τριχοκόμος· τριχῶν ἐπιμελούμενος

τριχοτρῶκται· ζωύφια τὰ τὰς τρίχας κατεσθίοντα

τριχώδη· ὄργανα πολιορκητικά, πρὸς † χώρησιν ἐπιτήδεια

τριχῶς· τρισσῶς. † ὑπομονητικῶς

† τριχῶσαι· θάψαι

τριψ(η)μερεῖν (Ar. Vesp. 849)· στραγγεύεσθαι, καὶ παρέλκειν τὰς ὥρας

COD. 26 τρισαλ— 27 τρισὲξ — τρὶς κύβοι 28 τρισευδ— 34 τρίττα 42 τριτημόριον — ἀ[γ]ρ; cf. ἐκ τριτημόρου 43 ἓν γεννῶσα 44 ἓν γεννᾶν — τὸ περὶ 46 τριτομηνίς 49 πεπηδεῖσθαι (cf. τριοπηλίς) 50 ἐκέρνοντο 51 τριτοστάτης — σχηναῖς 57 τρίφυλλοι 62 πολύτιμον 64 τριχὴν 66 τριχθάδες 67 τριχόβορος 69 τρίχος

HES. 24 τρίπτυχος (Λ 354)· τριπλῆ, ἡ πολύπτυχος, ἡ τρεῖς ἐπιπτυχὰς ἔχουσα 25 τρίς (Α 213)· ἐπὶ τοῦ πολλάκις 32 τριστάται (IV Regg. VII 2)· οἱ παρὰ χεῖρα τοῦ βασιλέως, ἔχοντες ἀνὰ τρεῖς λόγχας 33 τριστιχεῖ (Κ 473)· ἐπὶ τρεῖς τάξεις 36 τριτάτη (Κ 253)· τρίτη 61 τριχάν (μ 312 ξ 483)· ἡ τρίτη φυλακή 62 τριχαπτόν (Ezech. XVI 10)· τὸ βαμβύκινον ὕφασμα ὑπὲρ τῶν τριχῶν τῆς κεφαλῆς ἁπτόμενον, ἡ πολύμιτον

τριώδελον (Dor.)· τριῶν ἡμιμναίων σταθμός [76]

τριῶλαξ· ἀγὼν παρθένων δρόμου

Τροία· πόλις

Τροίης (α 2)· τῆς Ἰλίου

Τροιζή(ν)· πόλις, ἢ χωρίον ἐν Ἄργει [81]

τρόμος· εὐλάβεια. δέος. φυγή (Γ 34?)

τρόνα· ἀγάλματα. ἢ ῥάμματα ἄνθινα (Χ 441?)

τρόνοι· †στύππιοι. στήμων. ἀρπεδόνη. ἄτρακτος

τρόπα (Cratin. p. 113)· εἶδος παιδιᾶς, καθ' ἣν στρέφουσι τοὺς ἀστραγάλους εἰς τὸ ἕτερον μέρος

τροπαγός· ὁ ἀπητιμασμένος

τρόπαι (a Soph. Tr. 751)· νικητήρια, σύμβολα νίκης

τροπαί· αἱ δύσεις. καὶ αἱ μεταβολαί, αἱ φυγαί, αἱ διώξεις: νομίσματά τινα ⟨ad τροπαϊκά⟩. καὶ αἱ μεταβεβλημέναι φροντίδες (ad τροπαία)

τροπαλίζει· στρέφει

τροπαλισμός· μεταβολή. καὶ τὸ ἐκ συμβόλων ὑποδέχεσθαι [91]

τροπέοντο (Dor.?)· ἐπάτουν. ἀπὸ τούτου καὶ ὁ οἶνος λέγεται τραπητός (1262)

τρόπηκος· μερὶς τῆς κώπης ὁ τρόπηξ, οὗ ἐπιλαμβάνονται οἱ ἐρέσσοντες· ὥστε ἀπὸ μέρους τὴν κώπην [94. 95]

τροπίας (Ar. fr. VI p. 1028)· οἶνος μεταβεβληκὼς καὶ ἔκλυτος [97]

τρόπις· τὸ κατώτατον τῆς νεώς (ε 130)

τροποί· οἱ ἱμάντες τῶν κωπῶν, ἢ οἱ κατέχοντες τὰς κώπας δεσμοὶ δερμάτινοι, ὅταν ἐλαύνωσιν. οἱ τροπωτῆρες (δ 782)

τρόπον τινά (Menand. fr. IV p. 234)· ἀντὶ τοῦ (καλῶς ἄν) [ad 1500]

τρόπος· ἦθος. γνώμη, προαίρεσις

τροποῦσθαι (cf. Eubul. p. 229 Aesch. Pers. 376)· ἁρμόζεσθαι. μεταβάλλεσθαι, τρέπεσθαι

τροπώσασθαι· τὸ τὴν κώπην πρὸς τὸν σκαλμὸν δῆσαι τῷ τροπωτῆρι. ἢ διὰ †μηχανῆς νικῆσαι [4]

τρούεται (Lacon.)· ἰσχναίνεται, τήκεται

†τροῦροι· δρόμοι, στάδιοι

τρουφωνίδαι (Lacon.)· εἶδος κροκωτοῦ

τροφαλίς (Eupol. p. 538)· τυρὸς μακρός

τροφίμη· δέσποινα. ἡ μήτηρ

τρόφηξ (Dor. Aeol.?)· χάραξ, σκόλοψ

τρόφι· τεθραμμένον. μέγα (Δ 307)·

πολλὸν δὲ τρόφι κῦμα·

γέγονε δὲ κατὰ ἀποκοπὴν τοῦ τρόφιμον

τρόφιμον· ὃν ἡμεῖς δεσπόσυνον. καὶ τρόφιμον· †ἀνδρὸς δακτυλίῳ [8]

τρόφις (Hippocr.)· εὖ τεθραμμένος

τροφιοῦται· παχύνεται

τροφόεντα (Ο 621)· εὐτραφῆ καὶ μεγάλα

τροφοί· ἀντὶ τοῦ θρέμματα

τροφός· νεώτερος δεσπότης ⟨ad τρόφιμος⟩· ἡ μήτηρ (Soph. OT. 1092)

τροχάδες· σανδάλια ἀπὸ αἰγείου δέρματος

τροχαῖα· μέσα ἐν κύβοις: ἡ ὁδός, ὡς Πύθων ⟨τροχιά?⟩

τροχαλοί· οἱ ἤδη περι(ι)όντες

τροχαλόν· τροχαῖον. ταχύ. ἢ περιτρέχον

τροχαντῆρες· πρὸς τὰ πηδάλια. καλεῖται τῆς πρύμνης μέρος

τροχαντήρ· τῆς τοῦ μηροῦ κεφαλῆς ἡ ἔξω ἔκφυσις

τροχάσας· σπεύσας, δραμών, προλαβών

τροχηλατεῖ (Eur. Or. 26)· ἐλαύνει

τροχιαί· αἱ τῶν τροχῶν χαράξεις [28]

τρύχις (Aesch. Prom. 941)· ἄγγελος. ἀκόλουθος

τρόχμαλον (Ar. fr. inc. CCLXX)· τὸ πλῆθος τῶν λίθων, καὶ τὸν σωρόν

τροχόεν· τροχοειδές, στρογγύλον

τροχός· περιβόλαιον, τεῖχος. ἢ κύκλος (Sophocl.). ἢ δρόμος ⟨τρόχος⟩

τροχ(ῶω)σαι· τρέχουσαι

τρόχων (Eur. Med. 46)· δρόμων. καὶ τὰ ὅμοια

τρύβλιον (Antiph. com. p. 39)· ὀξυβάφιον. ἢ ποτήριον †μυστηρίου

τρύγα (Theocr. VII 70)· οἶνον ἀδιήθητον ἀπὸ ληνοῦ

COD. 80 τροίζη 83 cf. θρόνα 89 ἀρπεδώνη (cf. τρῶα. τρύνης) 93 τρώπηξ (cf. τράπηξ τράφηξ τροφῆς) 1509 τροφήμ. δέσποινα ἡ (Poll. III 73) 10 τροφῆς — σκόληξ (17 cf. schol. Oppinian. Hal. II 634) 19 τροχαδέσαι 21 τρόχαλοι 22 τροχ ⟨ad τρόχμαλον?⟩ 26 τροχηματεῖ 30 τροχμαλόν 35 τρυβλίον

HES. 76 τριώροφα (Genes. VI 36 al.)· τρίστεγα 81 τρομέοντο (Κ 10)· ἐτρεμον 91 τροπαλόν· τραχύ (1522) 94 τροπηκότερον (Epiphan. I p. 771 D)· θεωρητικώτερον ...... ἀλληγορικῶς, μεταφορικῶς, οὐκ ἀληθῶς 95 τροπῆς ἀποσκίασμα (Iacob. I 17)· ἀλλοιώσεως καὶ φαντασίας ὁμοίωμα 97 τροπή· ἀλλοίωσις Ad 1500 [τον τὸν τρόπον] 4 τροπώσομαι (Ps. LXXXVIII 23)· νικήσω. πλήξω 8 τροφ.όντα (Ο 621)· εὐτραφῆ, καὶ μεγάλως αὐξόμενα 28 τροχίας (Hebr. XII 13)· πορίας

τρυγαβόλια· εἰς ἃ καρποὺς ξηροὺς ἀπετίθεντο

τρυγεῖ (Nic. Th. 358?)· ξηραίνει [39]

τρυγέρανος (Philem. p. 15)· φάσματι ἐοικώς

τρυγεροῦς· τρυγώδεις, ὀξεῖς

τρύγη (Hippocr. 356, 29)· ὁ πυρός, καὶ ἡ κριθή, καὶ πᾶς ἄλλος καρπός, καὶ ποιὰ βοτάνη

†τρυγήλλα· τρώγλη ⟨τρύπημα?⟩

†τρύγηλλος· οἰκοδόμημα μεταλλικὸν κατασκευαζόμενον ⟨τροῦλλος?⟩

(τρυγηφάνιον· ὁ δεύτερος οἶνος) cf. ἐντρυφάνιον

τρύγιος· τρυγία οἴνου, ἢ ἐλαίου

†τρύγμα· δίπλωμα ⟨πτύγμα?⟩

τρυγόνα ψάλλειν· παροιμία ἐπὶ τῶν φαύλως πραττόντων· ἀπὸ τοῦ τρύζειν

τρύγοιπος (Arist. Pac. 535)· ὑλιστήρ

τρυγῳδεῖν· κωμῳδεῖν

τρυγών· ἰχθῦς θαλάσσιος, ἧς τὸ κέντρον δηλητήριον. καὶ ὄρνις. καὶ ἡ τῶν γυναικῶν μίξις. καὶ σύντροφος

τρυγῶς· τὰς τρυγῶνας (1369)

τρύειν· κατατρίβειν, καταπονεῖν

τρύζει (Hippocr. 664, 52)· γογγύζει, ψιθυρίζει

τρύζητε (Ι 311)· ψιθυρίζητε, λογοποιῆτε, γογγύζητε

τρυηλίς· ζωμήρυσις

τρυμαλιαί· τρῦπαι

Τρυμαλῖτις· Ἀφροδίτη

τρύνης· ἐφίππιον. στήμων

τρύξ· ὁ νέος οἶνος, παρὰ τὴν τρύγην. καὶ γλεῦκος ἀδιήθητον

τρύξοντα (ρ 387)· καταπονήσοντα, ἀνιάσοντα

τρυπᾶν· τρίβειν (obscoen.)

τρυπάνη· ἐργαλεῖον τεκτονικόν

τρυπανίζεται· τρυπάνῳ πλήσσεται

τρυπήλα· τορύνη

τρυσίππιον (Eupol. fr. XVII p. 555)· τὸν χαρακτῆρα τὸν ἀπὸ τῆς βουλῆς ἐν ταῖς δοκιμασίαις τοῖς ἀδυνάτοις καὶ τετρυ[μ]μένοις ......, ἵνα μηκέτι στρατεύωνται, τὸ παλαιὸν ἐκάλουν τρυσίππιον. τροχὸς δὲ ἦν ὁ ἐπιβαλλόμενος χαρακτὴρ τῇ γνάθῳ τῶν ἵππων

τρύσκει· τρύχει. ξηραίνει ⟨cf. τρυγεῖ⟩

τρῦσις (Ar. fr. VI 6 p. 1079)· νόσος. πόνος

τρυσμός· γογγυσμός ⟨cf. θριμμός⟩

τρυσόν· νοσερόν. λεπτόν, ἀσθενές

τρυτάνη· ὁ ζυγός

τρύφακτος· ἔνιοι διὰ τοῦ Δ· δρῦς γὰρ τὸ ξύλον

τρυφάλη· περικεφαλαία, τρεῖς ἔχουσα λαμπροὺς ἀστέρας, ἢ ἥλους

τρυφαλίδες· τὰ τμήματα τοῦ ἁπαλοῦ τυροῦ

τρυφερός· νέος ἁπαλός, ἢ ψιλός

τρυφέν· κλασθέν

τρυφηλοῖς· ἐπιθυμητ(ικ)οῖς

τρυφοκαλάσιρις· ἔνδυμα γυναικεῖον

τρύφος (Apoll. lex.)· κλάσμα ἄρτου. ἢ ξύλον καταδεδαπανημένον [79]

†τρυφώματα· θρέμματα. Ἰταλ†οί

τρύχειν (Hippocr. 310, 34)· φθείρειν, τήκειν. καταπονεῖν. κακοπονεῖν. [κακοπαθεῖν]

τρυχηρά (Eur. Tro. 498)· ῥακώδη

τρυχίνοις· ῥακίοις [84]

τρύχωσα (Dor.?)· τρύχουσα. ἐπιτρίβουσα

τρῶα· ἁρπεδόνη

τρωγάλια (Diphil. p. 413)· τὰ τραγήματα. Λάκωνες

†τρωγάλιον δέρμα· †τὰς μελικοκκίδας

τρῶγας [ad 89]

τρώγλας· τρύπας

Τρωγλοδύται (Herod. IV 183)· οἱ εἰς τὰς τρώγλας οἰκοῦντες

†τρωγμός· τὸ ἐπιθέσθαι τὴν ὕλην τρωγμόν

τρώει (φ 293 Call. D. 133)· τιτρώσκει. δαπανᾷ [94]

τρώεσθαι· τραυματίζεσθαι (Μ 65)

τρώζειν (Cyprii)· ψιθυρίζειν. συνουσιάζειν

τρωθείς· πληγείς

Τρώϊοι ἵπποι (Ε 222)· ἀπὸ Τρωὸς τοῦ ἥρωος· ἢ ἀπὸ Τροίας [99]

τρώκτης (ξ 289)· φάγος, ὁ ἀπὸ πάντων ἐσθίων. καὶ κερδαίνειν βουλόμενος, πανοῦργος, ἀπατεών

COD. 38 cf. ἐτρύγη. τρύσκει 47 τρυγονοψάλλειν (Imo κατὰ τρ. ψ.) 48 τρυγητός, ὑλητστήρ (50 τροφός sc. Aesculapii? Paus. VIII 25, 11) 51 Forte τῆς τρυγόνος 54 τρύζεται κτλ. 55 ζῶον ῥύσις 65 ἐκάλουν τρισ| 66 cf. τερύσκεται 67 τρύσις 69 τρυσσόν ⟨80 τρόφιμα· τά?⟩ 86 τρῶα, ἀρπεδώνη (cf. τρύνοι) 88 τρωγάλιν (Ϝρωγαλέον?) 92 cf. ῥώσασθαι. Leg. τρωσμός· τὸ ἀποθέσθαι τὴν ὕλην τρωσμόν (abortus)

HES. 39 τρύγητος· ὁ καιρός, τρυγητός· ὁ τρύγος (Theophr. V 1, 2) 79 τρυφή· γαστριμαργία, πολυφαγία, εἰκαιοφαγία 84 τρυχόμενος (α 288)· καταπονούμενος. ἀνιώμενος. δαπανώμενος Ad 89 †τρώγλας 94 Τρῶες (Α 256)· οἱ τὴν Ἴλιον οἰκοῦντες, καὶ οἱ τὴν Τρῳάδα χώραν 99 τρῶκται (ο 415)· κακοῦργοι

τρώματα (Iones)· τραύματα [1602. 3]
τρωπασκέσθω· μεταβαλλέσθω, ἐπιστρεφέσθω
τρωπᾶν· [ad 5] πείθειν [ad 5]
τρωπῶντο (ω 535)· ἐτρέποντο, μετεβάλλοντο
τρωπῶσα (τ 521)· τρέπουσα τὴν φωνήν
τρώσας· πλήξας, τοξεύσας
τρωτός· παθητός (πληκτός?) [10—12]
†τυὶ· ὧδε. Κρῆτες
τυβηκτίς· κακοσχόλος
τῦδε (Sapph. 1, 5)· ἐνταῦθα. Αἰολεῖς
†Τυδᾶν κολωνᾶν· Τυνδαριδᾶν κολωνᾶν
τύϊγγα· ὀρνιθάριόν τι
τυκτόν (Ε 831)· κατεσκευασμένον
τυκτὸν κακόν· τουτέστι μέγα κακόν
?τυτθόν· ὀλίγον (τυθθὸν Cret.?) [21]
τύκω· ἑτοιμάζω
τύλαι (Ar. Ach. 860 Teleclid.)· αἱ ἐν ταῖς χερσὶ φλύκταιναι, ὡς περισσά τινα, καὶ τοῖς ὤμοις
τύλη· τῆς καμήλου ἀπὸ τῆς ῥάχεως τὸ ἄκρον δέρμα
τύλοι· αἱ ὀχθώδεις ἐπαναστάσεις, καὶ τὰ τῶν ἀχθοφόρων ἐπὶ τῶν ὤμων τυλώματα
τύλον (Ar. Ach. 553)· τὸ αἰδοῖον. οἱ δὲ ξύλον (Eur. fr. 694)
τύλος· νενεκρωμένη σάρξ
τύλωμα· τύμμα
†τύλαρος· μάνδαλος
†τυλαρώσας· μανδαλώσας
τυμβὰς γυνή· τυμβάδας ἔλεγον τὰς φαρμακίδας, ἀπὸ τοῦ περὶ τοὺς τύμβους διατρίβειν καὶ τοὺς νεκροὺς ἀκρωτηριάζειν
τυμβογέρων (Com. an. fr. CCCXIb)· ἐσχατόγηρως, καὶ παρη(λλα)γμένος τῇ διανοίᾳ
τύμβος· τάφος, μνημεῖον
τυμβωρύχος (Ar. Ran. 1149)· λωποδύτης νεκρῶν [35. 36]
τύμμα (Theocr. IV 55)· πληγή
τύμπανα (Eur. Bacch. 59)· τὰ δερμάτινα ῥακτήρια κόσκινα, τὰ †ἐν ταῖς βάκχαις κρουόμενα

τυμπανίζεται· πλήσσεται, ἐκδέρεται, ἰσχυρῶς τύπτεται
τύμπανον (Ar. Plut. 476)· ᾧ αἱ Βάκχαι κρούουσιν. ἢ εἶδος τιμωρίας
Τυμφαῖον ἔθνος· ἄθεον ἔθνος. λέγει δὲ τοὺς Ἠπειρώτας
τύνη (Callim. D. 124)· †ἐν [ad 42] Δωρικῶς δὲ σύ
τύνη δὲ ἐποιήσας (Dor.)· σὺ δέ (799)
τυννός· μικρός. τηλικοῦτος
τυννοῦν· τὸν (Ar. Th. 745)· μικρόν
τυντλάζει (Ar. Pac. 1148)· αὐτὸ καὶ αὐτὸ λέγει. ἢ ταράττει. ἐπιβαίνει πηλοῦ. οἱ δὲ σκάπτειν ἀμπέλους
τύντλον (Menand. fr. CCCXCII)· πηλόν
τυντλώδους· ὑλώδους
τύξιν· τεῦξιν. παρασκευήν
τυπάδι (Soph. fr. 756)· σφύρᾳ
τυπάζειν· κόπτειν
τύπαι· ἑορτή τις
τυπαῖς· πληγαῖς
τύπανον (Aesch. fr. 54 Df.)· ξύλον τι, ἐν ᾧ τυμπανίζουσιν
τυπαστήριον· τὸ τῶν ἁλιέων †στυμνίον
τυπεῖ· ψοφεῖ, κτυπεῖ, κροτεῖ, πλήσσει
τυπείς (Λ 191)· πληγεὶς ἐκ χειρός, καὶ πεσών. ἢ τρωθείς
τυπήσει· πλήξει (τυπτ—)
τύπης· πλήκτης (τύπτ—) [60]
τυπίας· οὕτω καλεῖται τῶν τοῦ χαλκοῦ τις †τροχῶν (Poll. VII 105)
τυποῖ· πλάττει, γλύφει
τύπος (Aesch. Suppl.)· χαρακτήρ, εἰκών
τυποῦται· †πλήσσεται. †ἰοῦται. μιμεῖται ἢ πλάττεται
τυπῶντες· χοροί τινες
τυραννοδαίμονα (cf. Cratin. p. 149)· ὃν οὐκ ἄν τις τύραννον μόνον εἴποι, ἀλλὰ καὶ δαίμονα
τύραννος· παράνομος βασιλεύς, ἢ ἄρχων ἀπηνὴς καὶ ἀπάνθρωπος
τυρβασία· χορῶν ἀγωγή τις διθυραμβικῶν

COD. 15 τύδαι 19 τυκτήν 23 τύλλαι, ἐν 34 τυμβορύχος (et sic Greg. Naz. Anth. Pal. VIII 183, 2) 38 ϱακτήρια 40 ἦν 41 τύμφαιον — δὲ καὶ τούς 42 τι| τηνεῖ· ἐν ἐκείνῳ τόπῳ? 47 τυντλόν 48 τυνφλώδους, ὑλώδους 51 cf. στυπάζει 54 τύμπανον 55 τυμπ| 62 τυπεῖ 66 εἴπη 68 αἰθυραμβικῶν

HES. 1602 τρωπάασθαι (Π 95)· περιτρέπεσθαι 3 τρωπάσκετο (Λ 567)· ἐτρέπετο, μετεβάλλετο Ad 5 τρέπεσθαι. — στρέφεσθαι, μεταβάλλεσθαι 10 τρωχῶσι (Χ 163)· τρέχουσι 11 τρώχων· ἔτρεχον (ζ 319). ἐκρούνιζον. ἐστάλαζον 12 τοῦ· σοῦ (τύ an τοῦ· σύ?) 21 τυκτῷ δαπέδῳ (δ 627)· εὖ κατεσκευασμένῳ 35 τυμβοχοῆσαι (Φ 323)· περιχῶσαι, θάψαι 36 τυμβοχόης (Φ 323)· τύμβου καὶ χώσεως, οἷον ταφῆς Ad 42 [τυπείς· πεσών, πληγείς.] 60 τυπῇσι (Ε 887)· πληγαῖς

τύρβη (Xen. Cyr. I 2, 3)· θόρυβος, [ad 69] τάραχος
Τυρβηνός· ἐπίθετον τοῦ Ἀπόλλωνος
τύρβησις· †ἠλιβατὸν ἀέρα
Τυρεῖν (Hipponact.)· τόπος τις Κλαζομενίων
τυρεύεται (Dem. 436, 5)· ταράττει, κυκᾷ
τυρεῦσαι· τὰ αὐτά. καὶ τυρεύων
τυριχίλοι· αὐλοὶ καλάμινοι (τιτύρινοι?)
Τύρις. ὁ Περσικὸς χιτών (ad κάπυρις). ἢ ποταμὸς ἐκδιδοὺς εἰς τὸν Βορυσθένη (Hrd. IV 11)
τυρόεντα (Theocr. I 57)· πλακοῦντα
τυρόκνηστις (Ar. Lys. 231)· σχῆμα τῶν ἀκολάστων. οἱ δὲ μάχαιραν
τυροκομεῖον· τάλαρος, ἐν ᾧ ὁ τυρὸς τῆς ἐπιμελείας τυγχάνει
Τυρρηνικὰ σανδάλια (Cratin. fr. X p. 91)· κάττυμά τι ὑψηλὸν οὕτω καλεῖται [81]
Τυρρηνοὶ δεσμοί· οἱ ληστρικοὶ καὶ χαλεποί (cf. gl. δ 701)
τύρρις· πύργος, ἔπαλξις, προμαχών
τύρσις· τὰ αὐτά
τύρσος· τὸ ἐν ὕψει οἰκοδόμημα
τυρωθέντα· ταραχθέντα, κινηθέντα
†τύσσει· ἱκετεύει
τυτάνη· ὄργανόν τι, ᾧ χρῶνται εἰς τὸν ἀλοητὸν τοῦ σίτου
†τύτη· τὸ αὐτόθι
τυτθήν· ὀλίγην, μικράν
τυτθόν (Hom. Call. Dian. 30)· ὀλίγον, βραχύ, καὶ μικρόν
τυτώ· ἡ γλαῦξ
τυφεδανός (cf. Ar. Vesp. 1364)· τετυφωμένος
τύφεται (Eur. Tro. 146)· καίεται, καπνίζεται, φλέγεται. [τυφόμενον]
τυφόμενον (Matth. XII 20)· τὰ αὐτά
τυφείσας· μεμαραμμένας
τύφεσθαι (Aristot. Meteor. II 5)· μαραίνεσθαι, ἡσυχῇ ἐκκαίεσθαι, χωρὶς φλογὸς καπνὸν ἱέναι
Τυφίον· ὄρος Βοιωτίας
τυφλῖνος· ἰχθὺς Νειλῷος. καὶ ὄφεως εἶδος (Ar. HA. VIII 24)

τυφλός (Soph. OT. 389)· τίθεται καὶ ἀντὶ τοῦ κωφός
τυφλότερος σπάλακος· τοῦτο τὸ ζῷον οὐκ ἔχει ὀφθαλμούς· ἔχει δὲ ὀδόντας μικροτάτους, καὶ ῥύγχος ὡς γαλῆς, καὶ πόδας ἄρκου
τυφλῶπες· εἶδος ὄφεων
τυφλῶν ὀνείρων (Trag. inc. fr. 268)· ......
τύφοι (Cyprii?)· σφῆνες
τῦφος (Antiphan. p. 110, 2)· ἀλαζον(ε)ία, ἔπαρσις, κενοδοξία
Τυφῶ· ἀντὶ τοῦ Τυφῶνος. Σοφοκλῆς (fr. 996) [1707]
†τύφυμεν· βρέχειν
Τυφωεύς· θεός τις γηγενής, ἐναντιωθεὶς τῷ βασιλεῖ τῶν θεῶν [10]
τυφών· ὁ μέγας ἄνεμος· τινὲς τὰ ἐκ τῆς ἀναθυμιάσεως
τυφῶνος· πυρώδους δαίμονος
τυφῶσαι· πνῖξαι, ἀπολέσαι (cf. τετύφωται)
τυχάζεσθαι (Hippocr.)· στοχάζεσθαι
τυχεῖν (ἀξιώσεως)· ἀξιωθῆναι (Luc. XX 35?)
τύχη· εὐτυχία [17]
τυχῆσαι· ἐπιτυχεῖν [19]
τυχθείς· κατασκευασθείς
τυχθῆναι· γενέσθαι [ad 21]
τύχοι (Cret.)· λιθοξοϊκὰ ἐργαλεῖα
HES. Ad 14 φρυγανώδη (Theophr. HP. VI 6, 2) 16 φροῦδον· τὰ αὐτά .... 20 φρούριον (II Macc. X 32)· προφύλαγμα, προφυλακτήριον 29 φρύγιον (Ps. CII 4)· ξύλον ξηρόν 40 φρουρεῖ· στρατεύεται 41 φρυγά· φυγή, τροπὴ εἰς φυγάς 43 φῦ (Z 253 al.)· ἔφυ. ἐφήψατο 44 φυγάς· ἐξορίας 47 φρυγμόν· καῦσιν 49 φύει (η 119)· γεννᾷ Ad 53 δειλός. φυγάς (955) 57 φύημα· κόπρος (1029) Ad 58 καὶ ἡ τοῦ σώματος ὑπόστασις (ad φυή) 60 φύκει (Sapient. XIII 14)· εἶδος κομμωτικὸν γυναικεῖον 65 φυκτά (II 128)· φευκτά 66 φυκτῆρες (I 66)· φύλακες 67 Φυλιστιείμ (Basil. M. ad Iesai. XIV p. 1101)· πίπτον ποτίματι, ἤγουν μέθη (נפל et שחה) 70 φῦλα (B 362)· ἔθνη. συγγενικὰ γένη 71 φῦλα θεοῦ· ἔθνη θεοῦ 74 φυλακτῆρες (I 68)· φύλακες

φυλάσσειν· ἐπιτηρεῖν. ἄλλοι δῶμα φυλασσέμεναι (η 93)

φυλατός· ἡ λέξις παρὰ Βλαίσῳ. σημαίνει δὲ ᾠδήν

φυλέτης (cf. Ar. Av. 368)· ἐκ τῆς (αὐτῆς) φυλῆς, ὅ ἐστιν ὁμόφυλος [84]

φυλείης (ε 477)· φυλία ἐστὶν εἶδος ἀγριελαίας, ἄλλοι συκῆς, οἱ δὲ εἶδος δένδρου ὅμοιον πρίνῳ ⟨cf. φαυλία⟩

Φυλή (Menand. p. 106)· τόπος τῆς Ἀττικῆς οὕτω λεγόμενος [87]

φυλή (Apollod. com. p. 454)· τάγμα, μέρος πόλεως [89]

φυλλάδες· οἱ ξηροὶ κλάδοι καὶ φύλλα ἔχοντες (cf. Aesch. Ag. 78)

φυλλάς· ξηρὰ δάφνη ἔχουσα φύλλα

φυλλεῖα (Ar. Ach. 468 al.)· τὰ τῶν λαχάνων ἃ προστιθέασι τοῖς ὠνουμένοις ἕωλα καὶ φαῦλα

φυλλιᾶν· τοπάζειν ⟨χλοάζειν?⟩

φυλλιάς (Mnesimach. com. p. 569)· ἐκ λαχάνων ὑπότριμμά τι σκευαζόμενον. ἐκαλεῖτο δὲ θρῖα

Φυλλίδαι· γένος ἰθαγενῶν [96—98]

φυλλίδες· τὰ τῶν ἀνθῶν, ἅ τινα φυλλία ἐκάλουν

φυλλῖναι· ἀγῶνες, ἐν οἷς μὴ ἐτίθετο ἀργύριον, ἀλλὰ στέφανοι μόνοι. καὶ εἶδός τι κυκεῶνος

Φυλλίς· ἡ Σάμος τὸ πάλαι ⟨cf. Μελάμφυλλος⟩

φυλοβασιλεῖς· ἐκ τῶν φυλῶν αἱρετοί, οἱ τὰς θυσίας ἐπιτελοῦντες

φυλοκρινεῖν (Thuc. VI 18)· τὰς φυλὰς διακρίνειν

φιλοκρινοῦμαι· ἐν τῇ φυλῇ διακρίνομαι

φῦλον (I 441)· ἔθνος, γένος

φύλοπις (N 789)· πόλεμος, μάχη

φῦμα· ψώρα, ἢ ἕτερον φῦμα (Archil. fr. 124)

φύματα· ψυδράκια, ψῶραι

φύντων· γεννηθέντων [1010. 11]

φυξήλιδας· δειλούς

†φυξήλιον· φυγαδικὸν βίον [14]

φυξίμηλα (Aesch. fr. 437)· δένδρα τὰ διὰ ὕψος ἐκπεφευγότα ἐσθίεσθαι ὑπὸ τῶν βοσκημάτων

φύξις (K 311)· φυγή

φυομένας· γεννωμένας

φύος· φύτευμα, γέννημα

φύππαξ· ὅπερ ἡμεῖς βόμβαξ ⟨cf. πύππαξ⟩

φύραμα (Mnesimach. p. 569, 11)· ζύμη. σπέρμα. ἢ †ζημία

φυρᾶν· ζυμοῦν. ταράσσειν τὰ ἄλευρα

†φυραυτίς· ὃ ἡμεῖς φύραν

†φυρδήσκια· σκωλήκια

φύρδην (Xen. KII VII 1, 37)· ἀτάκτως, συγκεχυμένως, ἀναμίξ

φύρει (cf. Hesiod. Opp. 61)· μολύνει. μαλάσσει. μιγνύει

φύρεσθαι (Plat. Hipp. mai. 291 A)· μίγνυσθαι

φυρκη†λῖτοι· τειχήρεις

φύρκος (Thuc. V 46)· τεῖχος

φῦρμα (Nic. Al. 485)· κόπρος, ῥύπος

†φυρμᾶται· πτάρνυται

φυρμός· μολυσμός, ῥύπος, μίασμα

φυροῖ· μολύν†ει, ῥυποῖ

?φύρακες· ἐλαφροί [34]

φυρτήτης· οἶνος ⟨—ίτης⟩

φυρτίζεσθαι· τὸ παίζειν συνεστραμ(μ)ένοις φυροῖς τοῖς ἱματίοις

φυρτοῖσιν· εἰκαίοις [ad 37] συμπεφυρμένοις

φύς (Eur. Phoen. 19)· γεννηθείς. βλαστήσας

φῦσα· †φαρέτρα ⟨cf. Ar. Ran. 418⟩. καὶ ἰχθῦς ποιὸς ἐν τῷ Νείλῳ γενόμενος. οἱ δὲ τὸ πνεῦμα (Hippocr. 296, 25) καὶ ὁ ἀήρ. ἢ ἀσκός

φυσᾷ (Soph. fr. 697, 1)· πέπρηται. ἐπήρτηται

φυσακτήρ· ἄρτος ποιός τις ποπανώδης

ι
COD. 83 ὁμόφυχος 92 φυλλεία — αἶολα 94 Forte φυλλάς 95 φυλλιάδαι 99 φύλλα 1000 κυκεών 2 φυλλ— bis 3 φυλλοκρίνειν 4 φυλοκρίνομαι 7 φύμα bis ⟨13 cf. Nic. Th. 660⟩ 15 φυξήμηλα 18 φυός ⟨28 cf. φόρκες, φρίκες, φούρκορ 29 cf. φύημα⟩ 30 πτάρνιται 33 ordo φύροκες ⟨πρόκες? an φύζακες· ἐλαφοι?⟩ 39 φύσα 40 φῦσα

ης
HES. 84 Φυλείδης (B 628)· Φυλ(έως) παῖς ὁ Μέγας 87 φυλίη· ἀγριελαία 89 φύλλα (B 468)· τὰ τῶν δένδρων 96 φύλλιον· πέταλον ⟨φύλλον⟩. ἢ τὰ ἐκ τῆς γῆς ἄνθη ⟨φύλλια⟩ 97 φυλλεῖν· ἀδολεσχεῖν 98 φύλλες· ἀλώπεκες ⟨cf. φοῦαι⟩ 1010 †φύξαι· φύξειν. φυγεῖν ⟨φύζαν· φύξιν, φυγήν?⟩ 11 φύξηλιν (P 143)· φυγάδα, δειλόν, φυγοπόλεμον 14 †φυξῇ· φυγῇ 34 φύρσω (σ 21)· μολυνῶ Ad 37 συμπεφυραμένοις. οἱ δὲ ἄλφιτα οἴνῳ δεδευμένα ⟨φυστή⟩

φυσαλλίδες (Ar. Lys. 1245)· φυσητήρια. αὐλοί

φύσας (Σ 372 Eur. Hel. 87)· γεννήσας. ἢ τοὺς ἀσκοὺς πληρώσας ⟨φυσήσας⟩

†φύσασθαι· γεννῆσαι ⟨φύσασαι· γεννήσασαι?⟩ [45]

φύσει· βλαστήσει (Δ 235?), ἀληθῶς φύει (Soph. OT. 438)

φυσητήρ· ὁ τῶν κητωδῶν ἰχθύων αὐλός

φύσιγγες (Theophr. IV 7, 12)· εἶδος σκορόδου. ἄλλοι δὲ σκορόδων κεφαλίδας [ad 48]

φυσίζοος (Γ 243)· (ἡ τὰ) πρὸς τὸ ζῆν φύουσα

φυσικῇ ποιότητι [51]

φυσιολογεῖ Aristot. de an. I 3)· περὶ φύσεως διαλέγεται

φυσιολογία· λόγοι φύσεως ἐξαγγελτικοί

†φυσίον· τὸ καθήλιον

φυσιούμεθα· ἐπαιρόμεθα, τυφούμεθα

φυσιόων (Δ 227)· φυσιῶν, ἀσθμαίνων, πνευστιῶν

φύσις· γένος. οὐσία. προαίρεσις

φυσίφρονες (Aesch. Suppl. 757 Df.)· πεφυσημένοι τὰς φρένας, μάταιοι

φύσκων· γάστρων, (Alcaeus)· παχύς

φύσκη (Ar. Eqq. 364)· κοιλία, καὶ τὸ παχὺ ἔντερον

φυστὴ μᾶζα (Ar. Vesp. 608)· ἄτριπτος

φυταλιαῖς· κήποις [ad 62]

Φυταλίδαι· γένος παρὰ Ἀθηναίοις

φυταλίζειν· φυτεύειν. πλησιάζειν

φυταλιῆς (Ζ 195 Μ 314)· κήπου, δενδροφόρου γῆς

φυταλμίοις· φυτευτικοῖς, γονίμοις

φυτάλμιος Ζεύς· συγγενής, ἢ ζωογόνος

φυτάλμιοι· ὁμοίως πληθυντικῶς

φυτεύει (Soph. OT. 873)· κατασκευάζει. γεννᾷ ⟨cf. φωτεύει⟩

φυτηκόμος· σύνδε(ν)δρος τόπος

Φύτιος· ἥλιος. ἢ Ζεύς

φύτλη· γέννα, γένεσις, γένος

φύτορες· γεννήτορες (cf Soffh. Tr. 1031)

†φυτοσμῶν· φεύγων ⟨v. φυγόσκων⟩

φυτοῦ (Archiloch. fr. 41)· φύματος

†φύτρα· φύσις. οἱ δὲ φυτήρια [77. 78]

†φυῶς· φύσει

φῶ· εἴπω

φώγειν (Bithyni, Attici)· φρύγειν

†Φῶγος· ......

φωΐδες (Arist. p. 1092)· τὰ ἐκ πυρὸς ἐν σώματι γινόμενα ἐκφυσήματα. οἱ δὲ τὰς φλυκταίνας [84]

Φωκαεῖς· ὄνομα ἔθνους. καὶ τὸ κάκιστον χρυσίον

φωκίων· ὄρνις ποιός

φῶκος· κῆτος θαλάσσιος ὅμοιος δελφῖνι

φωλάδες (Theocr. I 115)· ἐμφωλεύουσαι

φωλάδι· ἐμφωλευούσῃ

φωλάζει· ἐμφωλεύει

φωλαΐδες· ὀστράκινά τινα βρωμώδη

φωλεόν· διδασκαλεῖον. ἢ οὐ χορεύουσι καὶ διδάσκουσιν. οἱ δὲ σπήλαιον ἢ οὗ τὰ θηρία κοιμᾶται

φωλεύει· οἰκουρεῖ, κρύπτε(τα)ι ⟨cf. ἐμφ—⟩

φωλητηρίοις· φωλητήρια καὶ φωλεοὶ τῶν θιασωτῶν καὶ συνόδων οἶκοι

φωλητήρ· ὁ ἐν τῷ αὐτῷ καθεζόμενος ἀεί

φωλίς (Ar. HA. IX 37)· ἰχθῦς ποιός ⟨736⟩

φῶμεν· εἴπωμεν

φωνασκεῖ· φωνὴν ἀποτελεῖ, ἢ φωνῆς ἐπιμελεῖ

φωνεῖ· λέγει [1100]

φωνήεις· λαλῆσαι δυνάμενος [2. 3]

φῶντα· λάμποντα

φὼρ καὶ φῶρας (Callim. Anth. Pal. XII 134)· κλέπτας, λῃστάς. κατασκόπους, πληθυντικῶς καὶ ἑνικῶς

φωρά· κλοπή

φωρᾷ· ζητεῖ [8]

φωραθῆναι· γνωσθῆναι, ἐλεγχθῆναι

φωρᾶν (Plat. Legg. XII 954 A)· τὸ τὰ κλεψιμαῖα ζητεῖν. καὶ φωριᾶν. Φώρην δὲ τὴν ἔρευναν

COD. 47 φυσσητήρ 48 πρόβολοι 49 |ωος 58 |ήφρονες |μένοι 59 φυσιῶν 61 φύστη, μάχα 65 |ίης, χῆπος 66 φυταλίμοις 68 ὁ πλ. (ι) 83 πρὸ — ἐκ φυσήματος 85 φωκαῖς 87 δελφίη 89 |δην |ύουσιν 91 φωλάδες 92 ἢ ... κοιμᾶται post διδασκαλεῖον 94 θειασῶν 96 cf. φονίς 98 ἐπιτελεῖ 1104 cf. φάντε 9 λεχθῆναι

HES. 45 φυσγετός ⟨ἀφυ—⟩· συρμός. [φύσει δὲ σκληρόν] Ad 48 καὶ οἱ πρόλοβοι τῶν ὀρνίθων ⟨φῦσα Levit. I, 16⟩. καὶ τὰ ἐν ταῖς κνήμαις ἐγκαύματα ⟨Moer.⟩ 51 φυσίωσις (Ps. XLIII 4)· ἔπαρσις, ὑψηλοφροσύνη Ad 62 ἢ ταῖς γονίμαις καὶ φυτευτικαῖς ⟨φυταλμίοις⟩ 77 φύχειρι (Ζ 406)· ἐκπεφυκότως λίξους τῇ χειρί 78 φύονται (ι 109)· γεννῶνται 84 φώκη (δ 448)· ζῶον θαλάσσιον 1100 φωνή (Ξ 400)· ἡ τοῦ ἀνθρώπου 2 φωνήσας εἰπών, λέξας 3 φωνεῖ· λαλεῖ, λέγει 8 φωραθείς (Iob. XXIV 17)· εὑρεθείς, φανείς

φωράσαντες· εὑρόντες τὰ καλά
φωράσας· ἐλέγξας
φωράσεσθαι· ἐλεγχθήσεσθαι'
φωριαμός· κιβωτός. ,*φωριαμῶν* ....' (*Ω* 228)
φώριον· κλέμμα [ad 15]
φώριος (Ar. HA. V 22 IX 40)· εἶδος μελίσσης
†*φῶρος*· κατάσκοπος [18]
φῶς· τὸ ὁρώμενον τὸ παρὰ τοῦ θεοῦ δημιουργηθέν. καὶ τὸ πῦρ. καὶ ἡ χαρά. ὀξυτόνως δὲ ὁ ἄνθρωπος
φῶσαι (Hippocr. 639, 34)· φῶξαι, φρύξαι, θάλψαι
φώσκει· διαφαύει
φωστήρ· θυρίς
φωσφόρεια· ἑορτή
φωσφόρος· φωτοδότης, λαμπρὸς ἀστήρ
φώσ[σ]ων (Lycoph. 26)· τὸ λινοῦν ἅρμενον
φῶτα (*B* 164)· ἄνθρωπον. ἢ ὄμματα καὶ θυρίδες
φωταγωγός· ὁ τὸ φῶς φέρων
φῶτας (Aesch. Sept. 282)· ἄνδρας, ἀνθρώπους [29—31]
φῶτες (*Λ* 748)· ἄνθρωποι, ἄνδρες
φωτεύει (Cyprii φοτεύει)· γεννᾷ
†*φωτία*· λαμπρία. καὶ ὄμματα ⟨1126⟩
φῶτιγξ· [ad 35] σύριγξ. λώτινος αὐλός, [ad 35] εἶδος σάλπιγγος
†*φώτιον*· προσφιλές, ἡδύ. [τηλαυγές, καταυγάζον
φωτισμός· αὐγή
†*φωτολόγιον*· τυφλόν. νεκρόν ⟨cf. Aesch. Prom. 548⟩ [39. 40]
φωτός· ἡμέρας
†*φῶψ*· φάος

Χ

Χαβόν· καμπύλον. στενόν ⟨148⟩ [2—4]
χάζει· [ad 5] χαλᾶται
χάζειν· ἀναχωρεῖν. φυλάσσεσθαι
χάζεο τῆλε (ep. inc.)· ἀναχώρει μακράν [8]
χάζεται· ἀναχωρεῖ [10]
χαζόμενον· ἀναχωροῦντα
χαία (Ar. Lys. 91)· ἀγαθή
†*χαίνας*· στέαρς (carm. popul. fr. 10)
χαίνει· ἀνοίγει τὸ στόμα
χάιος· ἀγαθός [16]
χαίρειν· ἐρρῶσθαι. τὸ χαίρειν ταῖς ἐπιστολαῖς προσετίθεσαν. ἔστι δὲ καὶ ἀπαλλασσομένων προσαγόρευσις [18]
χαίρειν φράσαντες· ἀποταξάμενοι ....
χαιρέτω ληρῶν· ἐρυθριάτω (φλυαρῶν)
χαιρηδόνα (cf. Ar. Ach. 4)· τὴν χαράν
χαιροσύνη· χαρά [23]
χαῖται (*Z* 509)· αἱ κεχυμέναι τρίχες
χαιτήεντος· κομήτου [26]
χαλαβεῖν· [ad 27] θορυβεῖν ⟨857⟩ [28—30]
χάλανδρον· κράββατον
χάλαζα· σημεῖον θυτικόν. καὶ πάθος περὶ τὰς σῦς (Ar. HA. VIII 21) [33]
χαλαίρυπος (Cratin. fr. CXVII)· ὁ τῶν πλυνομένων ἱματίων ῥύπος ⟨50⟩
χαλαρὰ ἄλυσις (Thuc. II 76)· ....
Χαλά†μβριοι ἵπποι· ἀπὸ τόπου τῆς Λιβύης
χαλαργούς (cf. Soph. El. 867)· .... τὰ ἄκρα τῶν †ποδῶν (ἢ) τῶν ὀνύχων, οἷον ποδαργούς, ἢ ταχύποδας
χαλαρῶν· †ὡραίων ⟨ἀραιῶν⟩
Χαλαστραίων συῶν· ......
(*Χαλάστρη* Hecataeus)· πόλις τῆς Μακεδο-

COD. 13 *φωρᾶσθαι* 14 *φωρίαμος* — .ωρίαμων 15 *φωρίον* 21 διαφάνει 23 |*ορεία* ⟨33 cf. ἰνκαφότευε 34 *φῶτα*· λαμπτῆρα⟩ 35 *φώτιγξ* — σύριγξ, φλόγιος 36 τηλ. κατ. post 37 ⟨φωτινόν?⟩ *X* 7 τηλεὸν 12 *χαιὰ* 15 *χαιός* 27 cf. ἀλάβητοι 35 *χαλάρα*· ἄλυσις ⟨37 —άργους bis Thes.⟩ 38b *Χαλαστραιῶν*

HES. Ad 15 καὶ θρόνου εἶδος ⟨φορεῖον⟩ 18 *φωρυτόν*· συρφε[ρ]τόν. ἢ φρυγάνων σωρός. ἢ βόρβορος καὶ ἀκαθαρσία. καὶ χόρτος τῆς γῆς 29 *φῶτας ἐννέα* (*Π* 785)· ἄνδρας ἐννέα 30 *φῶτε* (*E* 572 Greg. Naz. C. I 395)· ἄνδρες, δυϊκῶς 31 *φωτί* (*P* 98)· ἀνδρί Ad 35 [αὐγή ⟨ad φωτισμός⟩.] — [ῶς] 39 *φωτῶν* (*M* 430)· ἀνδρῶν 40 *φωτός* (*Γ* 53)· ἀνδρός *X* 2 *χαβῶνες* (Ierem. VII 18)· στέθια ὀπτώμενα ὑπὸ ἀλεύρου 3 *χαδέ(ειν Ξ* 34)· χωρῆσαι 4 *χάδεν* (*Λ* 462)· ἐχώρησεν Ad 5 πρ(οσ)δεῖται ⟨ad χατέει⟩ 8 *χάζεσθαι* (*P* 357)· ὑποχωρεῖν 10 *χάζετο* (*Λ* 539)· ἀνεχώρει 16 *χαίρετε*· θαρρεῖτε 18 *χαίρειν θεάσαι* (ἐᾶσαι Greg. Naz.)· καταφρονεῖν 23 *χαιρωθῆναι* ⟨χαρω—⟩· ἐκπλαγῆναι 26 *χαίτη* (*P* 439)· ἡ ἐπὶ τοῦ τραχήλου θρίξ Ad 27 φοβεῖν ⟨ad χαλέπτειν⟩ 28 *χαλᾷ*· χαλάσσει (Eur. Hec. 407), καὶ πόδαι (Eur. Hec. 90) 29 *χαλάδες*· τὰ ἔντερα. ἢ λιθώδεις 30 *χαλάδος*· λιθώδης. ἐξέντερος 33 *χαλεπαίνει* (*π* 113)· δυσχεραίνει, ἀγανακτεῖ

νίας καὶ λίμνη ἔνθα τὸ Χαλαστραῖον νίτρον γεγένηται [40]
χαλεπὰ τὰ καλά (Plat. Civ. 435 C) [ad 41]
χαληπήνας· ἀγανακτήσας
χαλεπόν (Hom.)· δύσεργον, σκληρόν, δεινόν
χαλεπήνῃ (Π 386)· εἰς χαλεπότητα ἀγάγῃ
χαλέπ(τ)ει (δ 423?)· ἐρεθίζει. ἀπειλεῖ. φοβεῖ. ἀγανακτεῖ. κακίζει. βλάπτει. εἰς χαλεπότητα ἄγει
χαλεπτύς· χαλεπότης
χαλεπῶς· δυσκόλως [48]
χαλεψάμενος· χολωθείς [50]
χαλία· ἡσυχία
†χαλίδιον· πινάκιον
χάλικες (Ar. Av. 839)· οἱ εἰς τὰς οἰκοδομὰς μικροὶ λίθοι
χαλίκρατον (Archil. Ath. I p. 8 A)· εὔκρατον, ἄκρατον ⟨—ητον⟩
χάλιμα· φαρμακός
χαλιμάδες (Aesch. fr. 438)· ἀναίσχυντοι καὶ θρασεῖαι
χάλις (Hipponact. fr. 73)· ὁ ἄκρατος οἶνος. καὶ ὁ μεμηνὼς καὶ κεχαλασμένος τὰς φρένας
†χαλιστόν· σκαιόν. ἢ ἀγαθὸν καὶ δίκαιον
χαλίφρονας· παράφρονας, μαινομένας· βέλτιον δὲ τὰς καταφερεῖς καὶ κεχαλασμένας πρὸς συνουσίαν ὑφ' ἡδονῆς
χαλιφροσύνη (π 310?)· ἡ τῆς ψυχῆς ἄνεσις
χαλίφρων (δ 371)· κεχαλασμένας ἔχων τὰς φρένας, ἤγουν ἀσύνετος
χάλκεα (Ε 723)· τὰ ὅπλα συνήθως καὶ τὰ ἐκ σιδήρου [63]
χαλκεγχέων (Eur. Tro. 143)· πολεμιστῶν
χαλκεῖα (Hyperid.)· ὑπομνήματα τῆς τῶν τεχνῶν εὑρέσεως
χαλκεομήστορος (Eur. Tro. 268)· ἰσχυρόφρονος [67. 68]
χάλκεος· ἰσχυρός [70]
χαλκεόφωνον· ἰσχυρόφωνον (cf. Ε 785)
χαλκεύς (Μ 295)· πᾶς τεχνίτης, καὶ ὁ ἀργυροκόπος, καὶ ὁ χρυσοχόος
χαλκεῶνα (Θ 273)· ......
χάλκιον· ἐν ᾧ τοὺς κοττάβους ἐποιοῦντο
χάλκη (sch. Nic. Th. 256)· πορφύρα
Χαλκηδών· πόλις
χαλκῆ μυῖα (Herodae fr. 3)· εἶδός τι † μυίας ⟨παιδιᾶς?⟩ [78]
χαλκήρεας (Ν 714)· χαλκῷ ἡρμοσμένους
χαλκήρη (Aesch. Pers. 408)· χαλκῷ ἡρμοσμένα
χαλκόστομα· χάλκεα κύμβαλα
Χαλκίδαι· γένος
χαλκιδεύς· δειλός [84]
χαλκιδίζειν (Com. an. fr. CLXXX)· ἀπὸ τῶν κατ' Εὔβοιαν Χαλκιδέων. τίθεται δὲ καὶ ἐπὶ τῶν παιδεραστούντων, ἐπεὶ ἐπλεόναζον παρ' αὐτοῖς οἱ παιδικοὶ ἔρωτες
Χαλκιδικὸν δίωγμα· διότι εἰς Χαλκίδα ἐγένετο ἡ ἐκδίωξις
χαλκιδικὸς λειμών· οἱ μὲν τὴν Κυκλωπίαν κώμην. οἱ δὲ Κυκλωπι.. λίμνη
†χαλκιδίκων· χαλκίς, ὁ ἰχθῦς
Χαλκιδικός· εἶδος ἀλεκτρυόνος
Χαλκίναος (Thuc. I 128 al.)· Χαλκίοικος
χαλκίνδα (Alexid. fr. LXXV 11)· τὸ εἰς χαλκὸν κυβεύειν
χαλκίον· τὸ χαλκοῦν
χαλκίον μακρόν (Eupolid. p. 497)· τὴν ἐλαιηρὰν ἐπίχυσιν
χαλκίς· εἶδος ὀρνέου (Cratin. fr. LXII), καὶ ἰχθύος (Ar. HA. IV 9) [ad 94]
χαλκοβάρεια· ἰσχυρά, ἡ ἐκ τοῦ χαλκοῦ βαρεῖα [96]
χαλκοβατές (Α 426)· τὸ ἰσχυρῶς βεβηκός
†χαλκόβατον· ἰσχυρῶς βεβηκότα [99]
?Χαλκηδάνη· ταύτης ἱερὸν ἐν Σπάρτῃ
χαλκοδεσμωτήρ (Tragic.)· χαλκόδερμος, ἐπεὶ ὥπλιστο .... λέγεται δὲ καὶ χαλκοδεσμήτωρ

COD. 39 νήτρων 44 ἀγάπῃ 45 χαλεπεῖ ⟨51 εὐχαλία?⟩ 57 χαλίς 64 χαλκέγχεων 66 χαλκεομίστωρ· ἰσχυροφόρος 68 ὕπνον ἢ 81 χαλκία 85 παιδαρεστούντων 86 cf. δ 2048 88 χάλκις 89 χαλκίδικος 98 ἰσχυρὸν

HES. 40 Χαλδαῖοι (Daniel II 4)· γένος μάγων πάντα γινωσκόντων Ad 41 .... Σόλωνα ταῦτα πυθόμενον εἰπεῖν· χαλεπὰ τὰ καλά· καὶ ἐντεῦθεν εἰς παροιμίαν ἐλθεῖν. Ἔνιοι δὲ τὸ χαλεπὸν ἀκούουσιν ἐπὶ τοῦ ἀδυνάτου. ἀδύνατον οὖν ἐστιν ἐφ' ἅπαντι ἀγαθὸν εἶναι 48 χαλέσιν (Eur. Phoen. 1025)· ὄνυξι 50 χαλέρυπον (Cratin. fr. CXVII)· τὸ ῥύμ(μ)α τὸ ἀπὸ τοῦ νίτρου γενόμενον, ὃ τινες νίτρωμα λέγουσι (34) 63 χάλκεα ἐπίσωτρα (Ε 725)· τὰ ἔξωθεν τῶν τροχῶν οἱ κανθοί 67 χαλκεοπίσσωτρα (Ε 725)· ὁμοίως 68 χάλκεον· ὀχυρόν. σκληρόν. ἄλλοι ὕπνον (Λ 241)· θάνατον 70 χάλκεος κέραμος (Ε 387)· εἱρκτή. πίθος. καὶ ὅρος ⟨σορός?⟩ 78 χαλκήρεε (Ζ 3)· χαλκῶα ῥήτορα 84 Χαλκιδική (Aesch. Prom. 420)· Σκυθική. τὰ μέταλλα τοῦ σιδήρου ἐκεῖ πρῶτον εὑρεθέντα (120) Ad 94 καὶ πόλις τῆς † Βοιωτίας (Β 537) 96 χαλκοβαρής (Ο 465)· ὁ ἐκ τοῦ σιδήρου βαρούμενος 99 χαλκογλώχινος (Χ 225)· χαλκὴν ἐπιδορατίδα ἐχούσης

χαλκοκορυστήν (Ε 699)· χαλκῷ καθωπλισμένον [103. 4]

χαλκοκράς· τὸ χαλκόκρατον νόμισμα

χαλκόκροτος· ἡ Ῥέα διὰ τὰ κύμβαλα

χαλκολογεῖ· νουμία συλλέγει[ν] [8]

χαλκός· [ad 9] καὶ νόμος ἀκίνητος [10]

χαλκόποδας· ἰσχυρόποδας

χαλκοῦν πινάκιον· Ἀθηναῖοι εἶχον ἕκαστος πινάκιον πύξινον ἐπιγεγραμμένον τὸ ὄνομα [τοῦ] αὐτοῦ καὶ τοῦ δήμου πατρόθεν [13]

χαλκοῦς· τοῦτο ἐπὶ τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου ἔλεγον [15]

χαλκώδοντας στόλους· χαλκοῦς ὀδόντας ἔχοντας. Ὀδόντας δὲ ἔλεγον τὰ ἔμβολα, ἅ τινες ἐμβόλια

χαλκώνητος· ἠγορασμένος

χαλκωτῆρα· κέραμός τις

Χάλυβοι (Callim. com. Beren. fr. 3)· ἔθνος τῆς Σκυθίας, ὅπου σίδηρος γίνεται

Χαλυβδική· τῆς Σκυθίας, ὅπου σιδήρου μέταλλα ⟨84⟩

Χαλυβώνιος (Posidonius)· εἶδος οἴνου ἀπὸ τόπου τινὸς τῆς Συρίας [22. 23]

†χαλῶσα (Lacon.?)· χάσκουσα

χαμᾶζε (Γ 29)· χαμαί, χαμάδις

χαμα(ι)δύται· κοχλίαι [27. 28]

χαμαιευνάδες (κ 243)· οἱ σύες ἀπὸ τοῦ παρακολουθοῦντος αὐτοῖς. πολλὰ γὰρ τῶν ἄλλων τετραπόδων ὀρθὰ κοιμᾶται καὶ ἑστῶτα. Ἀπίων δὲ ὅτι βόθρους ὀρύσσουσι. ἢ χαμαικοιτοῦντες [30]

χαμαίζηλα· ταπεινά, γήϊνα

χαμαίζηλοι· εὐτελεῖς

χαμαιλέων (Ar. HA. II 11)· ζῷον ᾠοτόκον καὶ πεζόν

χαμαιπετεῖ (Eur. Or. 1491)· ταπεινῷ, ἢ χαμαὶ κειμένῳ

..χαμαιπετῶς· ὥστε μὴ εἰς τοὔδαφος ῥῖψαι

χαμαιρεπῶς· χαμαιζήλως, ἢ εἰς τὰ γήϊνα ῥέπων [37. 38]

χαμερπής· γεωργός, ὁ ἐν τῇ γῇ κοιμώμενος

χαμεταιρίς· ἡ πόρνη

χάμευνα· ταπεινά

χαμευνεῖ· χαμαικοιτεῖ

χαμεύνη· στιβάς, καὶ ἡ ταπεινὴ κλινίς. καὶ χαμεύνης· ὁ χαμαὶ κοιμώμενος

χαμεύνιον (Plat. Symp. p. 220 D)· κλινίδιον πενιχρόν

χαμηλόν· χαμαίζηλον

χαμόθεν (Cratin. fr. CXXXVIII)· ἐκ τῶν χαμαί

χαμόκοιτος· ὁ εἰς τὴν γῆν κοιμώμενος

χαμόν· καμπύλον ⟨1⟩

†χανά· κόσμησις

†χαναβίς· ἄλης [51. 52]

†χανακές· ἐπιεικές

†χανάκτιον· τὸ μωρόν. Δωριεῖς

χαμᾶσθαι· χασμᾶσθαι

χανδάνειν· χωρεῖν, δέχεσθαι (cf. Ψ 742)

χανδόν (φ 29 A Callim. fr. CIX)· πολύ[ν], καὶ ὅσον δυνατόν, καὶ ἀθρόως, ἀπὸ τοῦ κεχηνέναι πλατύ [58]

χανεῖ· †φυλάσσει. ἀνοίγ†ει. ἀπαγγελ†εῖ

χανητός· τὸ ἐπὶ τὴν ἅμαξαν ἐπιτιθέμενον πλέγμα [61. 62]

χά(ν)οιμι (Com. an. fr. CCCXV)· εἴποιμι

χάνος· στόμα

?χανών· ἀνοίγων στόμα

χανύειν· βοᾶν

χανύσσει· †βία καλεῖ

(χανυστρέν [Lacon.] cf. καρυστεῖναι)

χάος (Hesiod. Th. 116)· χώρησις. καὶ τὸ κενὸν ἀπὸ τοῦ κεχύσθαι. ἢ σκότος

COD. 104 |υστὸν |νοι 5 |όκρας |οτον 6 ἡρέα 14 χαλκοὺς, τοῦ 16 χαλκόδοντας 17 χαλκόνητος 18 χαλκοτῆρα ⟨22 cf. χελυνόεντα⟩ 26 χαμαδύτοι 25. 26 = 26. 25 25 χάμαζε — χαμάδες ⟨sic⟩ 29 ὀρύσσει ἢ χαμαικοιτῶνες 31 χαμαίβηλα 40 χαμαιταιρίς 41 χαμευνά 43 ταπεινίς 47 χαμώκοιτος 57 κεχανέναι 64 χάνης 65 χανιόν ⟨66 cf. κηνύει, χηνυστρεῖς

HES. 103 χαλκοκνήμιδες (Η 41)· οἷς σιδηραῖ ἦσαν, ἢ χαλκαῖ αἱ κνῆμαι 4 χαλκοκορυστήν (Ζ 199)· χαλκῷ ὡπλισμένον 8 χαλκός.λοφον ἱππίχαίτην (Ζ 469)· τὸ ὑπανάστημα τῆς περικεφαλαίας, ἢ ἐξ ἱππείων τριχῶν κεκόσμητο ...... Ad 9 ὁ σίδηρος (Δ 236) 10 χαλκοπαρείη (Μ 183)· χαλκᾶς παρειὰς ἐχούσης 13 χαλκοτύπους (Γ 25)· χαλκοπλήκτους 15 χαλκοχιτώνων (Δ 371)· χαλκοθωράκων, ἢ ἰσχυροθωράκων 22 χαλυνέοντα λύραις (Eur. Alc. 447) 23 χαλοπὴ κιθάρα· ἀπὸ γὰρ ὀστράκων χελώνης ἡ κιθάρα γίνεται 27 χαμάδις (Γ 300)· τὰ αὐτά 28 χαμαιδίς χαμαὶ χέειν (Ζ 147)· χαμαὶ καταβάλλειν 30 χαμῶνας (Ierem. VII 18)· στέαρ, ἢ τὰ ἐκ στέατος τικτόμενα 37 χαμαιτύπη (Menand. fr. CCXCIV)· πόρνη ἄδοξος ⟨Moer.⟩ 38 χαμαιτυπιῶν (Basil. I p. 906 A)· τῶν πολυκοίνων συνουσιῶν, ἤτοι πορνειῶν 51 χάναι· ἀνοῖξαι στόμα 52 Χαναάμ (Philo)· σάλος 58 χανδὸν πιεῖν· κεχηνότως καὶ ἀθρόως πιεῖν ὅλῳ στόματι ⟨Moer.⟩ 61 χάνοι (Π 350)· χάσμα ποιήσοι ⟨—αι⟩ 62 χάνοι εὐρεῖα χθών (Δ 182)· εὐρὺ χάσμα ποιήσειεν ἡ γῆ

χαρά· ἡδονή, ἀγαλλίασις, εὐφροσύνη

χαράβδη· λύμη σίτου

χαράδρα (Thuc. III 107)· χείμαρρος ποταμός. κατάγει δὲ οὗτος παντοῖα ἐν τῷ ῥεύματι, καὶ κατασύρει

χαράδραι (Π 390)· αἱ χαράξεις τοῦ ἐδάφους. καὶ οἱ κοῖλοι τόποι ἀπὸ τῶν καταφερομένων ὀμβρίων ὑδάτων

χαραδριός (Hipponact. fr. 52)· εἶδος ὀρνέου

χάρακες· τάφροι. καὶ ἀκανθώδη φυτά. καὶ οἱ κάλαμοι ⟨vitis sustentacula⟩

χαρακίαι· οἱ ἐν τοῖς χάραξι διατρίβοντες

χαράκια· ὑποστηρίγματα

χαρακίζειν· σπαίρειν. μετεωρίζειν. διαιρεῖν [78—80]

χαρακίας (Theophr. IV 12)· τιθύμαλλος

χαραμός· ἡ τῆς γῆς διάστασις, οἷον ⟨οἱ δὲ?⟩ χηραμός [83]

χάραξ· φραγμός, ὀξέσι ξύλοις, οἱ δὲ καλάμοις, οἱ δὲ σταυροῖς (ἐχόμενος)

χάραξ τὴν ἄμπελον (Ar. Vesp. 1291)· παροιμία, ὅταν ὑπὸ τοῦ σωζομένου τὸ σῶζον ἀπατηθῇ

χαράξαι· κόψαι. κοιλᾶναι. τυπῶσαι

χαρή· χαρά [88]

χαρία· βουνός

Χαρίδαι· γένος ἐξ οὗ οἱ ἱερεὺς τοῦ Κραναοῦ

χαρίεν (non Hom.)· καλόν, ἀγαθόν, ἀστεῖον, ὡραῖον

χαρίεντα· καλά [ad 92]

χαρίζεσθαι· τὸ δρᾶν τὰ κεχαρισμένα

?χαρίεια· φίλτρα [95]

χάρις· δωρεά (Dem. Mid. p. 567). χαρά (ζ 29). καὶ θῦμα ἐκ τριῶν ποπάνων συγκείμενον. τινὲς δὲ πλακούντων εἴδη, καὶ ἀρτοχάριτας καλεῖσθαι. καὶ ἀμοιβὴ κατὰ εὐεργεσίαν [97]

χαρίσασθαι (Ar. Eqq. 516)· παρασχεῖν. λέγονται γὰρ †χώρας γυναῖκες χαρίζεσθαι πρὸς συνουσίαν αὐτοῖς ἐκδιδοῦσαι .....

χαρίσιον (Aristoph. p. 1027)· εἶδος πλακούντων. οἱ δὲ ἄρτον ἀπὸ τῶν λειμμάτων

χαριστήρια (Xen. KII. IV 1, 2)· χαρίεντα δῶρα

χάρμα· ἡδονή [ad 201]

χάρματος· χαρᾶς

χάρμη (Hom.)· ἡ μετὰ χαρᾶς μάχη

χάρμης (Δ 222)· μάχης [5. 6]

χαρμόσυνα· ἑορταὶ Ἀθήνησι. καὶ †χαρμόσυνα

†χαρμοσύνη· ὀνομασία

Χαρμόφρων (h. Merc. 127)· ὁ Ἑρμῆς

χαροπή [ad 10]

χαροπός· περιχαρής. γλαυκός. ξανθός. φοβερός

χαρτός. χαρᾶς ἄξιος. ἡ βακτηρία

χάρυβδις· χάσμα θαλάσσης (μ 104?). ἡ καταιγίς

χάρυβδις ἀμύβροτος (Eur. Tro. 436)· ἡ ἀναπινομένη θάλασσα

χάρων (Euphorio)· ὁ λέων, ἀπὸ τῆς χαροπότητος ⟨Macedon.⟩ [16]

Χαρών(ε)ιον· θύρα μία τοῦ νομοφυλακίου, δι' ἧς οἱ κατάδικοι τὴν ἐπὶ θανάτῳ ἐξήγοντο [18. 19]

χάσιος (Lacon.)· ἀγαθός, χρηστός [21]

χασκωρεῖν· περιβλέπειν

χάσμα (Plat. Civ. 359 D)· στόμα ἢ σχίσμα γῆς. ἢ θαλάσσης πρόσωπον (Herod. IV 85)

χάσμα θηρός (Eur. Rhes. 209)· ὄψις θηρός

χασμᾶται· ἀνοίγεται [26]

χάσσασθαι (Μ 172)· ἀναχωρῆσαι, χωρῆσαι

χάσσεται· χωρήσει, ἀναχωρήσει

Χαστιᾶ· τὸν ἀπὸ δήμου. Χαστιεῖς γὰρ δῆμος

Χαστιῆς· ὄνομα δήμου

†χαστηρία· τῇ ἀνειργούσῃ

COD. 70 χαραυδος (sic) Cyr. Vindob.⟩ 75 χαρακέαι 79 δηλῶν 81 χαράχης; 82 χιραμός ⟨85 cf. ἡ χάραξ⟩ 94 χαρισία? Aristot. ausc. mir. § 174 Plutarch. fluv. p. 1158 D 200 πρ (ο) 98—200 = 200. 99. 98 10 χαρόνη 16 περιφερὴν 23 ἢ ... πρόσωπον post 24 28 χαστᾶ 30 χαστιεῖς

HES. 78 χαρακτηρίζει· σημαίνει τοὺς χαρακτῆρας 79 χαρακτηριστικόν· σημεῖον δηλοῦν τοὺς χαρακτῆρας 80 χαρακτήρ (Hebr. I 3)· ὁμοίωσις ⟨—ίως⟩ 83 χάρακα (Iesai. XXIX 5)· χαράκωμα, περίφραγμα 88 χαρείη (Ζ 481)· τερφθείη Ad 92 κεχαριτωμένα (Χ 511) 95 χάριξον· ἐπισκεύασον ⟨χώριξον· ἀποσκέδασον⟩ 97 χάρισμα (Rom. VI 23)· δῶρον Ad 201 χαρά (Ω 706) 5 χαρά (Ezech. XXVII 23)· ὀργή, ἡ ὀργίλος ⟨חרן⟩ 6 χαρμονή (Iob. XX 5)· χαρά. †συλλογή ⟨ad χεράς?⟩ Ad 10 χαρῖνος ἄμπελος ⟨Leg. χαρμίη· ἀμπελών μου⟩ 16 χαροπόν· ξανθόν. γλαυκόν. φοβερόν. περιχαρῆ 18 χαρά· ὀργίλον, ἡ ὀργή ⟨205⟩ 19 χάσις· διάκρισις, χώρησις ⟨L. χάος⟩ 21 χάσκοντες (III Esdr. IV 19)· ἀνοίγοντες 26 χασσάμενος (Δ 535)· ἀναχωρήσας

χατέ(ον)· χρείαν ἔχον

χατέοντα· δεόμενον, χρῄζοντα [34]

χατεύει· χαρίζει. ἐπιθυμεῖ

χατεύουσα· χρῄζουσα, δεομένη

χᾶτις· ἐπιθυμία. χρῆσις

χαυλιόδοντα· τὸν ἐπικεχαλασμένους ἔχοντα τοὺς ὀδόντας ἔξω τῶν ἄλλων ὀδόντων καὶ τοῦ στόματος. οἱ δὲ ἀμφόδοντας

†χαυλίξυν· ἀλαζόνα

χαυνάκων· χαυνοποιῶν, οἱ δὲ χαυνολόγων

χαυνιάζει· πλανᾷ

χαυνῶσαι· τὸ φυσῆσαι [43]

χεδροπά· ὄσπριον (Nic. Th. 752) τι. οἱ δὲ πανσπερμίαν

χέδροψ· πᾶν ὄσπριον. σπέρμα

χει· ἐπὶ τῶν χιλιῶν δραχμῶν τοῦτο ἐχάραττον

χειά· ἡ κατάδυσις τῶν ὄφεων καὶ δρακόντων (Χ 93)

χειαί· ὁμοίως

χειδροπῶν (Aristot. p. 752, 21)· ὀσπρίων

χειλεύει στρατόν· σιτοδοτεῖ στρατόν, τρέφει ⟨χιλ—⟩ [51]

χειλαί (medici)· αἱ συμπτώσεις τῶν βλεφάρων

χειλιοστύες· αἱ φυλαί

χειλός· τροφή, βρῶσις. χόρτος, καὶ πᾶν ἄλλο χόρτασμα ⟨χιλ—⟩

χειλοῦται· μεγαλύνεται, αὔξεται ⟨χιλ—⟩ [56]

χειλῶνες· τῶν ἀλεκτρυόνων τινές

χεῖμα (Aesch. Ag.)· χειμῶνα

χειμάδα· ἱμάτιον χειμερινόν [60]

(χειμαδίῳ [Demosth. 49, 3] .... χειμῶνος) cf. 410 et EM. 810, 1

χειμάμυνα (Aeschyl.)· ἣν Ὅμηρος ἀλεξάνεμον (ξ 529) λέγει

χειμάρροι (Δ 452?)· [ad 62] καὶ οἱ ποταμοί, καὶ ῥύακες

χειμάς· χειμών

χειμασία (Aristot. Probl. XXVI 3)· ζάλη. ταραχή

χείμαστρον (Aristoph. fr. CCLXXXII)· χειμερινὸν ἱμάτιον [66]

χειμέρας· χειμερινάς (Β 294)

χειμεριοῦντας· διαχειμάσοντας

†χειμεῶ· ῥιγῶ †χειωσάμενος

χειμήβοτος (—όλος?)· χειμερινὴ ὥρα

χειμών· ἡ ὥρα. καὶ κίνδυνος. ταραχή. ζάλη. διωγμός (Aesch. Suppl.)

χειμῶντα· ῥιγοῦντα

χείρ· ἡ δράξ. καὶ τὸ μέλος. καὶ μέρος [74. 75]

χειράδας· τὰς ἐν τοῖς ποσὶ ῥαγάδας. ἔνιοι δὲ φῷδας ⟨L. χιρ—⟩ [77]

χειραγωγῶ· τῇ χειρὶ ἄγω

χείριον· ὑποχείριον, τιθασόν

χειρίζειν· διοικεῖν

χείριον· ὑποχείριον, χειροήθη [82]

χείριος· [ad 83] ὑποχείριος [84. 85]

χειροβοσχόν· τὸν διὰ χειρῶν ζῶντα

χειροβρῶτι δεσμῷ (Stesichor.)· τοῖς πυκτικοῖς ἱμᾶσι, διὰ τὸ τὰς σάρκας διακόπτειν καὶ ἀναλίσκειν

χειροβλήματα· δράγματα· οἱ δὲ χειρόβλητα ⟨recte⟩

χειρογάστορες (Hecatae)· οἱ διὰ τῶν χειρῶν ζῶντες

Χειρογονία (Cret.)· ἡ Περσεφόνη [91]

χειρόδοτον· ἀχρημάτιστον δάνειον

χειροέρκτης· χειρουργός ⟨—ρέκτης⟩

χειροήθεις (Dem. 37, 10)· πρᾶοι, ἥμεροι

χειρόηθες· πρᾶον, ἥμερον [96]

χειρόχμητα (Aristot. Meteor. II 1)· χειροποίητα, ἤγουν ὑπὸ χειρῶν γεγενημένα

COD. 32 χατὲ — ἔχων 37 χατίς ων ⟨39 χαῦναξ [ὺν]· ἀλαζών?⟩ 45 χέδρωψ 46 χειλῶν — ἔδραττον 49 ὄσπρε 53 χειλιάστυες 56 σιτόζεσθαι 58 χειμάν 60 χειμάζειν 62 χείμαρροι 67 χειμεράς ⟨69 Forte χειμίω· ῥ. χειμαζόμενος⟩ 72 ῥιγῶντα (χειμιῶντα?) 74. 75 Leg. χέραδος· τῶν χειμάρρων αἱ λιθώδεις ἀθροίσεις. χερμαδίῳ· αἱ μετὰ λίθων καὶ ὅπλων βολαί 76 χειράλας 79 χειρίον 86 |σκῶν 90 cf. Ἀχειρῶ

HES. 34 χατέοντί περ (Ο 399)· καίπερ χρῄζοντι 43 χαυνῶνες (Ierem. XLIV 19)· ἄρτοι ἐλαίῳ ἀναφυραθέντες 51 χειλιάκρῳ (Μ 52) 56 χειλοῦσθαι· παχύνεσθαι. σιτίζεσθαι ⟨467⟩ 60 χειμάδιον· εἰς τὸ χιμάζειν (sc. 471) Ad 62 οἱ ἐν τῷ χειμῶνι γενόμενοι ἔριφοι ⟨χίμαροι⟩ 66 χείμεθλον· τὸ ἐν χειμῶνι γενόμενον ἕλκος ⟨χίμετλον — γιν—⟩ 74 χειράδες· αἱ μετὰ λίθων καὶ ὅπλων βολαί 75 χειραδίαι· τῶν χειμάρρων αἱ λιθώδεις ἀθροίσεις 77 χεῖρε (Φ 115)· τὰς χεῖρας, δυϊκῶς 82 χεμβρῶν· ζυγή. ἡ ἑταιρεία Ad 83 χρήσιμος ⟨ad χρεῖος⟩ 84 χειρίων (Α 114)· ἐλάττων, χείρων 85 χείριστα (II Macc. V 23)· δεινά, κάκιστα 91 χειρόγραφον (Tob. V 3 IX 3)· συμβόλαιον. γραμμάτιον 96 χειροθετεῖ (scr. eccl.)· χεῖρας ἐπιτίθησι

χειρομάντεις· οἱ ἀπὸ χερῶν μαντευόμενοι [99—302]

χειρονόμος· ὀρχηστής [4]

χειροπόνια· ἑορτή, ἐν ᾗ τεχνῖται θύουσιν

χειροπόδες (Alcae. fr. 38)· ῥαγοπόδες

χειροτέρη· ἐλάττων

χειρότερον· χείρονα

χειροτονεῖν (Plat. com. p. 681)· καθιστᾶν. ψηφίζειν

χειροτονία· ἐκλογή (παντὸς δήμου Cyr.)

χειρουργεῖ· χερσὶν ἐργάζεται [12]

χειρωνάκτας· χειροτέχνας

χειρῶναξ λεώς (Soph. fr. 756)· ὁ χειροτέχνης

χειρωσάμενοι· καταγωνισάμενοι [16]

χειρωτόν· εὐάλωτον [ad 17] [18]

χείσεται (σ 17)· χωρήσει

†χελεάρ, χελιδών, χελιδονίας, καὶ ἰχθῦς ποιός

†χελεύς· κιθάρα

χελεῦ χελώνη (carm. pop. 14 p. 1030)

χελιδών (Xen. res eq. IV 5)· τὸ κοῖλον τῆς ὁπλῆς τῶν ἵππων ⟨—όνα?⟩. καὶ τοῦ ἀνθρώπου τὸ ἄνωθεν τοῦ ἀγκῶνος τὸ κατὰ τὰς καμπάς

χελιδονισταί· οἱ τῇ χελιδόνι ἀγείροντες

χελιδόνος δίκην (Aesch. Ag. 1050)· τοὺς βαρβάρους χελιδόσιν ἀπεικάζουσι διὰ τὴν ἀσύνθετον λαλιάν

χελιδόνεως· εἶδος ἰσχάδων

χελιδόνων μουσεῖον (Ar. Ran. 93)· ὡς βάρβαρα καὶ ἀσύνετα ποιούντων τῶν τραγικῶν

χελιδόνων φάρμακον (Hipponact. fr. 121)

χέλ.ιον (Nic. Al. 561)· τὸ ἀπωστρακωμένον τῆς χελώνης δέρμα χέλυος νῶτος ὀστρακώδης

χελλών· ἰχθῦς ποιός

χελούειν (Lac. Boeot.)· βήσσειν. καὶ χελούσ(σ)ειν ὁμοίως

χέλους (Boeot.)· μουσικὸν ὄργανον

χέλυν (Eur. El. 837)· [ad 33] μέρος τῶν ἱερείων

χελῦναι (Poll. II 89)· χείλη [35]

χελυνέων (—άων)· χειλῶν

χελύνη· τὰ χείλη (Ar. Vespp. 1081). ἄλλοι τὴν κιθάραν. καὶ τὴν χελώνην (Sappho). καὶ λύραν. καὶ ὄργανον πολεμιστήριον [38]

χελύνιον· χελώνιον

χέλυς (Menand. p. 160)· χελώνη. λύρα. μηχάνημα

χέλυσμα (Theophr. V 8)· τὸ προσηλούμενον τῇ τρόπει ξύλον, ἕνεκα τοῦ μὴ πονεῖν τὰ ξύλα ἐν τῷ καθέλκεσθαι τὰ πλοῖα

χελύσσεται· βήσσει

χελώνη· τὸ ὑποπόδιον. καὶ (νόμισμα) Πελοποννησιακόν. καὶ ἡ τρόπις τῆς νεὼς διὰ τὸ ἐπικαμπές

χελωνιάς· ἡ ποικίλη κανθαρίς [45]

χελωνός· τὴν θαλασσίαν χελώνην οὕτω λέγουσί τινες, ὡς τὴν ἀράχνην ἄραχνον

χελωνοφάγοι· ἀετοί τινες

χεννίον (Ath. 393 C)· ὀρνιθάριόν τι κατ' Αἴγυπτον ταριχευόμενον. καὶ εἶδος ἰχθύος [49. 50]

χέραδος (Φ 319)· ἡ μετ' ὀστράκων καὶ λίθων ὕλη ⟨ἰλύς?⟩ [52—54]

χέρηϊ (Α 80)· χείρονι, ἥττονι, ἢ ἥσσονι

χέρμα· ποίημα. †χάλιξ [57]

χερμαδίῳ· χειροπλήθει λίθῳ [59]

χερμάς (Anth. Pal. VII 693)· λίθος χειροπλήθης, ὃν τῇ χειρὶ βαστάσαι καὶ ἀνελέσθαι δύναταί τις

COD. 303 ὀρχιστής 5 |πυνία 7 |ερῆ 13 χειρο— 14 |όναξ 19 χωρήση 20—22 = 22. 21. 20 ⟨20 χελ(λ)αρίας — [καὶ] l. ποιοί?⟩ 24 τὴν χελιδόνα 25 χελιδόσι δ. 26. 27. 28 = 28. 27. 26 27 μούσιον — ποιοῦντα 28 χελιδόναν 29 χέλιον, τὸ ἀποστ| — χέλιος 30—32 — 31. 32. 33 30 χελμών 31 βίσσειν 32 χελοῦς 33 χελύν 34 χῆλαι 35 χελυνέοντα λύραις ⟨cf. χαλ—⟩ 36 χημῶν 41 τρόπη 43 τρόπη 44 |ίας 46 χελῶνος, τὴν θαλάσσιαν — ἀράχνην ἀραχθίην

HES. 99 χειρόμακτρον ἢ χειρόμαστρον· μανδήλιον (cf. σκυθιστί; Sophocl.) 300 χεῖρον (Ψ 413)· κάκιστον. ἔλαττον 1 χείρονα (Ρ 149)· ὅμοια 2 χειρονάκτας· χειροτέχνας 4 χείρονος (Ο 641)· ἐλάττονος 12 Χείρων (Λ 831)· Κρόνου καὶ Φιλύρας υἱός 16 χειρώσασθαι (Iob. III 8)· ὑποτάξαι. φονεῦσαι Ad 17 καταγωνίσασθαι 18 χειτών· ἔνδυμα, περιβόλαιον Ad 33 [χεῖλος ⟨ad χελύνην⟩. καὶ] 35 χέλυν ἔν τ' ἀλύροις ...... (Eur. Alc. 447)· χέλυς ἡ κιθάρα· ἀπὸ γὰρ ὀστράκου χελώνης κιθάρα γίνεται 38 χελυνάζειν· χλευάζειν ⟨cf. ἐσχελ— et γελυνμάξαι⟩ 45 χελωνίδος (Iudith. XIV 15)· οὐδὸς τῆς θύρας τῆς σκηνῆς 49 χέραβος· χάσμα γῆς ⟨χηραμός⟩ 50 χεράδες· αἱ τῶν χειμάρρων ποταμῶν λιθώδεις ἀθροίσεις ⟨χέραδος⟩ 52 χεράς· τὸ ἀπὸ θαλάσσης καὶ ποταμῶν λιθῶδες. ἢ ὁ σωρὸς τῶν λίθων ⟨χέραδος⟩ 53 χερδαμύς· λίθος πληρῶν τὴν χεῖρα ⟨χερμάδιος⟩ 54 χερεῖον (ρ 176)· [χείρονα. ἐλάττονα ⟨ad χέρηα σ 228⟩.] χεῖρον 57 χερμάδιος ⟨—ον⟩· χειροπλήθης λίθος. καὶ ὁ ἀκροβολισμός 59 χερμάδος· λίθος πληρῶν χεῖρα

χερματιστής· λίθος χειροπλήθης. καὶ δίσκος βακχεῖος

χερνής· πένης. λάτρις, χειροτέχνης, ὁ ἀπὸ χειρῶν ζῶν χειρόβιος, (ὃ καὶ) χερνήτης· χέρνα γὰρ ἡ πενία

χερνῆτις (*Μ* 433)· ἡ ἀπὸ χειρῶν ζῶσα, πενιχρά, χήρα

χέρνιβα (α 136)· τὸ ἐπιχεόμενον ταῖς χερσὶν ὕδωρ

χερνιβεῖον (Aristoph. p. 1047)· [τὸ ἁγνισθῆναι δι' ὕδατος ἔχοντος κριθὰς καὶ ἅλας ⟨ad χερνίψασθαι⟩

χέρνιβος (Ar. Lys. 1129)· τοῦ προχεομένου ὕδατος

χερνιψάμενος· τὰς χεῖρας νιψάμενος

χέρρον· τὴν χέρσον γῆν. Λάκωνες

χερρονησία γῆ (Eur. Hec. 33)· ἡ ἐκ δεξιῶν καὶ ἀριστερῶν ἔχουσα θάλασσαν

χερσεύει· Σοφοκλῆς Ἴωνι (fr. 300)· κείμενος μὲν βουστάδας αὐλὰς ἐπὶ χέρσου ἢ διὰ χειρῶν ἔχει. ἢ οὕτως· ἐμβατεύει

χερσεία· ἐρημία

χερσόνησος· γῆ εἰς θάλασσαν ἐκνεύουσα, ἡ μήτε χέρσος, μήτε θάλασσα .....

χέρσος (Ξ 284)· ἡ ἔρημος γῆ καὶ τραχεῖα, καὶ πᾶσα γῆ ἄκαρπος καὶ ἀνέργαστος [74]

χερωίς· εἶδος δρυός

χεῦαι (λ 75)· ἐπιχέαι, καταχῶσαι ἐπὶ τῶν τελευτώντων [77]

χεύει (rec. epic.)· ῥεῖ

χεῦμα· ῥεῦμα, ὕδωρ (non Ψ 561). προχοή [80—83]

χηλᾶς· ῥάπτης, πλέκτης ἢ †τροφεύς ⟨θηλ—⟩

χηλεύει· ῥάπτει, πλέκει

χηλεύσεις (Soph. fr. 442)· πλέξεις. Χηλεύματα (Poll. VII 83) γὰρ ἐλέγοντο οἷον ὀπήτια, οἷς πλέκουσιν ἢ ῥάπτουσιν

χηλευτὰ κράνεα (Herod. VII 89)· τὰ ῥαπτά, χηλὰς ἔχοντα ποιάς

χηλή· ὁπλή, ὄνυξ βοός. γνάθος (Eur. Phoen. 1025)

χήλινον (Anacreo)· πλεκτόν

†χηλοδευσεῖν· ἀδολεσχεῖν. οἱ δὲ τρίβειν

χηλός· κιβωτός [92]

χήλωμα· γλυφίς [94]

χηλώτια· αἱ ῥαφίδες τῶν δικτυοπλόκων

χήμη· χάσμη. χηραμίς (Hippocr. 493, 19). †λεία

χην(ά)λοπες (Herod. II 72 Ar. Av. 1295)· ὄρνεα ποιά. ὅπερ ἔνιοι χηναλώπεκες

χῆνα ὀμνύειν (Cratin. Ar. Av. 521)· ἔθος ἦν τὸ κατὰ τῶν τοιούτων ὀμνύειν τοῖς παλαιοῖς

χήνημα· χαταμώκημα

χηνῆσαι· καταμωκήσασθαι [401]

χηνύστρα· αὐτὴν τὴν χάσμην. καὶ τὸ στραγγεύεσθαι

χηνυστρᾶσθαι· χα(σ)μᾶσθαι

χηνυστ(ρ)εῖς· βοᾷς, κέκραγας. ἐνίοτε στραγ(γ)εύῃ [5]

χήρ· ἐχῖνος ⟨her; cf. σχῦρ⟩

χήρα· ἡ μετὰ γάμον μὴ συνοικοῦσα ἀνδρί, ἡ τὸν ἄνδρα στερηθεῖσα γυνή (cf. Ζ 408) [8]

χηράμβη· χηρῶν οἴκημα

χηραμοί (Φ 495)· οἱ φωλεοὶ τῶν θηρίων, καὶ αἱ καταδύσεις, σπήλαια, καὶ πέτραι κοῖλαι [11]

χηραμύδες· τὰ κοῖλα καὶ ἔχοντα κενώματα [13]

χηρεύει (ι 124)· ἐνδεὴς ἐστιν, ἢ ἔρημος

χηρήϊον οἶκον· παρὰ Ἀντιμάχῳ (fr. XCV) τὸν ἄτεκνον

χῆρον (Callim. AP. VII 517. 522)· τὸν ὀρφανόν, ἢ ἔρημον, καὶ χρείαν ἔχων τινός

†χηροπτάζουσα (cf. Herod. II 90)· διὰ χειρὸς ἔχουσα [18]

χηρῶσαι· ἐρημῶσαι [20. 21]

χηρωσταί (Ε 158)· οἱ μακρόθεν συγγενεῖς

COD. 62 χέρνης — λάτης — χερνῆτις 65 χερνίβιον (Hippocr. 1230 D?) 68 χέρ-
οι ει
ρονα 70 ἴονι 72 ἐκ.νεύουσα ⟨79 cf. χρεῦμα, χύμα⟩ 79 προχόη (sic) post χεύμασι gl. 380 86 post 88 86 οἰονιπίτια 87 χηλεύματα· κράνη τὰ 89 χηλινόν 93 γλύψις 96 χηραμβίς 98 τῶν κατὰ 402 στρατεύεσθαι ⟨4 ἔνιοι δὲ?⟩ 9 χηραμβής 15 ἄτακτον ⟨17 cf. χηροπάζουσα⟩

HES. 74 χερσωθήσονται (v. l. Nahum I 10)· ἐρημωθήσονται 77 χευάμεναι (ω 81)· περιβάλλονται (sc. Argivi) 80 χεύμασι (Eurip. El. 172)· ἡ ἐκ δεξιῶν καὶ ἀριστερῶν ἔχουσα θάλασσαν ⟨369⟩ 81 χεύωσι (Η 86)· χ[ε]ύσωσι, χώσωσιν 82 χῆ· ἔθος. ἀπορία ⟨h. e. χῆθος pro χῆτος⟩ 88 χηΐωνος· οἶκος ⟨νιῶν· νεώσοικος?⟩ 92 χηλώϊος (Ν 10)· ὅμοιον 94 χηλώνη· μηχανὴ πολέμου ⟨χε—⟩ 401 χηνοβοσία (Plat. Polit. 264 C)· χηνοβοσκία ⟨Moer.⟩ 5 χήπτη· ἐν σπάνει καὶ χρείᾳ ἐστίν ⟨χητίζει⟩ 8 χῆραι (Β 289)· αἱ μὴ ἔχουσαι ἄνδρας 11 χῆροι· ἄνδρες μὴ ἔχοντες γυναῖκας 13 χήρατο (Ξ 270)· ἐχάρη 18 χηροσταί· οἱ μακρόθεν κατὰ γένος, προσήκοντες δέ, καὶ οἱ χηρεύοντος τοῦ οἴκου τῶν ἀγχιστέων κληρονομούντων ...... (schol. Hesiod. Theog. 607) 20 χηρώσας (Ρ 26)· χήραν ἴασας 21 χήρωσε (Ε 642)· ἔξανδρον ἐποιήσεν ⟨cod. ἐξ ἀνδρὸς⟩

χήτεϊ (Τ 324)· στερήσει, ἐνδείᾳ, σπάνει [24]
χητεία· χρεία
χῆτος· ἔνδεια, στέρησις
χθαμαλός· ταπεινός. ἴσος, ὁμαλός. κοῖλος
χθαμαλώτερος (μ 101)· κατὰ σύγκρισιν
χθές· χθιζόν, ἐχθές
†χθεσιφωνῶν· κακολογῶν
χθιζά· τὰ χθὲς καὶ πρώην [32—37]
χθονήρεις· χθονίους
χθόνια· ὑπόγεια. κεκρυμμένα. βαρέα. φοβερά. μεγάλα [39]
χθόνια λουτρά· τὰ τοῖς νεκροῖς ἐπιφερόμενα. ἐκόμιζον γὰρ ἐπὶ τοὺς τάφους λουτρά
χθονίαν λώβαν (Trag. inc. fr. 216)· ἀντὶ τοῦ μεγάλην ὕβριν, καὶ τὴν χθονὸς λώβην
χθόνιον· μέγα
χθονίους Ἰναχίδας (Trag.?)· αὐτόχθονας καὶ οὐκ ἐπήλυδας
χθονίων· ἐπιγείων (ὑπο—)
χθονόπαιδα Ὥραν (Lyric.)· καθ' ὃ ἐκ Γῆς αἱ Ὧραι τὰ φυόμενα, ὡς Ἡμέρα Ἡλίου, καθ' ἱστορίαν [47]
χθών (Β 465)· ἡ γῆ ἀπὸ τῆς χύσεως
χιάζειν (καὶ) σιφνιάζειν (Aristoph. fr. CII)· ……
χῖαι (Hippocr. 828 C)· ὑποδήματος ἀνδρείου εἶδος [51]
χιαστὶ τίλλειν (Com. inc. V p. CCCLXXII)· ὡς τῶν Χίων κατεαγότων καὶ παρατιλλομένων [53]
†χιδαλέον· τυφλόν. ἄγαμον. πεφρικός
χίδαλον (Cret.)· τὸ παιδίον
†χίδαι· ἀντὶ τοῦ [Κρῆτες
†χιδᾶν· χ(ε)ιμάζεσθαι. δειλιᾶν [58]
†χίδρυ· ὄνομα δειλόν [60]
χιλ[α]άγρα· ζωΰφιόν τι
χιλίαρχος· χιλίων ἄρχων
χιλιοστή· τέλος ἀπὸ τῆς † θυσίας
χιλιωθῆναι· χιλίας δραχμὰς ζημιωθῆναι
χιλός· ἡ τροφή. καὶ χιλὸν τὸ αὐτό. καὶ χόρτος τῶν βοσκημάτων ⟨254⟩ [ad 65] [66. 67]
χιλοῦσθαι· παχύνεσθαι. σιτίζεσθαι ⟨256⟩
χιλωτήρ· τὸ τοῖς ὑποζυγίοις ἀπὸ κορυφῆς ἐξαρτώμενον, ἐν ᾧ ἡ τροφή [70—74]
Χιμαρίδαι· γένος τι Ἀθήνησιν
χίμαροι· αἶγες χειμέριαι, [ad 76] ἢ ἔριφοι [ad 76]
χίμετλον (Ar. Vesp. 1167)· τὸ ἐν χειμῶνι γενόμενον ἕλκος ὑπὸ ψύχους [78]
Χίοις· τὰ ἀγαθὰ εὔχεσθαι Ἀθήνησιν ἱστορεῖ (Theopomp.) τὸν κήρυκα
χιονέα· λευκά. ἢ φωτώδη
χιονίζει· λευκαίνει
Χῖον ἐκ Λακαίνης (Arist. p. 1038)· ἐκ κύλικος Λακαίνης οἶνον
†χιονολόφον· τὸ ἀποταμῆναι τῆς κεφαλῆς τὸ μέσον
χιράδες· αἱ ἐν ταῖς πτέρναις ῥαγάδες
†χιραλέους· τοὺς (κατὰ τοὺς) πόδας κατερρηγμένους
χιτών (Hom.)· ἐσθής, θώραξ, ἱμάτιον ἀνδρικόν [87]
†χλαβόν· εὐτραφές
χλαῖνα· χλαμίς, ἢ ⟨ἢ χλανίς?⟩ ἱμάτιον χειμερινόν, ἀπὸ τοῦ χλιαίνειν, ὅ ἐστι θερμαίνειν [90. 91]

COD. 23 σπάνη 25 χηρεία 27 ἶσος ut solet ⟨30 ἐχθεσιφώνων· κακολόγων?⟩ 38 post 41 44 ἐπιλύδας 50 εἴτους 55 χίδαδον ⟨= κίδαλον⟩ 64 χιλωθῆναι post 68 ⟨cf. κεχιλιῶσθαι⟩ 79 ἤρυκα 80 λευκανή 82 Χίων ὁ ἐκ (h. e. Χίων) 84 χίραι 85 κατειργασμένους ⟨88 χαβόν· εὐστραβές?⟩

HES. 24 χήτει ἐνεναίνων (π 35)· ἐνδείᾳ τῶν ἐγκοιμησομένων ἤτοι περιβολαίων 32 χθιζά (τε) καὶ πρωϊζά (Β 303)· χθὲς καὶ πρωΐ (Plat. Alc. 2 p. 141 D) 33 χθιζοί (Iob. VIII 9)· χθεσινοί 34 χθιζός (Α 424)· χθεσινός 35 χθόα· σῶμα ⟨χρόα⟩ 36 χ[θ]οῖνος καὶ χθόνιος· γήϊνος, ἐπίγειος 37 Χθόνιος Ζεύς (Soph. OC. 1606)· ὁ Ἅιδης ⟨cf. Ζεὺς χθόνιος⟩ 39 ?χθονίην· νεκρικεν 47 χθονός (Γ 217)· γῆς 51 χιαρόν· χλιαρόν, θερμόν ⟨λι—⟩ 53 χιδά (Levit. II 14)· φρικτή 58 χίδρα (Levit. II 14)· στάχυες νεογενεῖς. ἢ τὰ ἐξ ὀσπρίων ἄλευρα. ἢ σῖτος νέος φ(ρ)υττόμενος. ἢ τὰ ὀσπριώδη σπέρματα 60 χιδρῶν (Lev. II 16)· νέων καρπῶν. καὶ θερμῶν ⟨451⟩ Ad 65 καὶ τοῦτο ζήτει εἰς τὸ (χει). χιλωθῆναι χιλίας 66 χεῖ 67 χειλεύει ⟨250⟩ 70 χιμαδίῳ (Dem. 49, 3)· ……. χειμῶνος 71 χιμάζειν· τὸν χειμῶνα διάγειν 72 χιμάζω· παραχειμάζω 73 Χίμαιρα (Ζ 181)· τρίμορφον θηρίον, ὃ πρόσθεν μὲν λέων, μέσον δὲ χίμαιρα, ὄπισθεν δὲ δράκων. φασὶν δὲ ἐν Λυκίᾳ γίνεσθαι ὡς κεφαλὴν μὲν λέοντος ἔμπροσθεν, καὶ ἀπὸ στόματος πῦρ ἀποπέμπον, ὄπισθεν δὲ δράκοντος ἔχον κεφαλήν 74 χιμᾶν· ῥιγοῦν Ad 76 ἢ τράγοι ⟨gl. in Psalm.⟩ — ῥύακες, ποταμοὶ ἐξ ὄμβρων ⟨χειμάρροι⟩ 78 χειμαίρραν· αἶγαν ἀγρίαν 87 χιωνοθήσονται (Ps. LXVII 14)· λευκανθήσονται. λαμπρυνθήσονται 90 χλανίαι· περιβολαί ⟨L. χλανία· οἱ ὅρμοι παρθένων coll. κλανία⟩ 91 χλανίτιδες· αἱ ὅρμοι παρθένων ⟨L. χλανίδες· περιβολαί⟩

χλαμυρίς· πύα, ὁ κυρίως βρόμος
χλαμύς· πορφύρα ἢ χιτών [94]
?χλαμυραί· τρυφῶσαι. γρυπῶσαι
(χλανία [Cretic.]· οἱ ὅρμοι παρθένων) 491
χλανίδες· λεπτὰ ἱμάτια. (περιβολαί cf. 490)
χλανίδιον (cf. Eur. Or. 42)· ἱμάτιον λεπτόν
χλάνος· τὸ περὶ τοὺς τραχήλους δάσος
χλάρ (Lacon.)· κόχλαξ
χλαρά· ψαιστὰ ἐν ἐλαίῳ
χλαρόν· ῥυπαρόν. λεπτόν. τρυχαλέον [ad 501]
χλαρόν· ἐλαιηρὸς κώθων
χλεμερόν· χλιαρόν. θερμόν
†χλεμύρα· χλοανθοῦντα [5]
χλευάζει (Dem. 78, 12)· ἐμπαίζει, γελᾷ [7]
χλευασμός (Dem. 254, 3)· ἐμπαιγμός
χλευδόν (Cratet. Sam. Com. V p. XLIX n. IV)· χύδην. σωρηδόν [ad 9]
χλῆδος (Dem 1278, 4 Aesch. fr. 16)· ὁ σωρὸς τῶν λίθων [11]
χλιδᾷ· †φρίκη, ῥῖγος. τρυφᾷ
χλιδαί· ἀγλαΐσματα, τρυφαί
χλιδανή· τρυφηλή
χλιδανόν· τρυφερὸν ὁμοίως
†χλιδή· [ad 16] ἱμάτιον χειμερινόν
†χλιδός· σακκοπάθνιον
χλίδωνες (Comici)· κόσμος ὃν αἱ γυναῖκες περὶ τοῖς βραχίοσιν εἰώθασι φορεῖν καὶ τοὺς τραχήλους
χλιδωνόπουν· χλίδωνας περὶ τοὺς πόδας ἔχοντα, τουτέστι περισκελίδας
χλιδώσαις· τρυφώσαις
χλίει· θρύπτει (cf. χνίει)
χλιερόν (Cratin. p. 94)· τὸ ἔνθερμον
χλιήνας· χλιάνας [24]
χλόα (Eur. Hipp. 1138)· βοτάνη
χλοάζει· ἀνθηρός ἐστιν, ἀνθηρεύεται
χλοάζεσθαι· γαστρίζεσθαι
χλοανθεῖν· χλωρὸν ἀνθεῖν [29]
χλοάσουσι· βλαστήσουσιν [31]
χλοερόν (Nic. Th. 879)· χλωρόν. χεαρόν (νεαρόν?). ὠχρόν. νέον. ἀπαλόν
χλόη (Hom.)· βοτάνη. φύλλα
χλό(ε)ια· ἑορτὴ ἀπὸ τῶν καρπῶν
χλοιδᾶν (Aesch. Prom. 971)· διέλκεσθαι [ad 35]
χλοιδέσκουσαι· γαστρίζουσαι [37]
χλόος· χλωρίασις (Hippocr.) [ad 38]
χλοσσός· ἰχθῦς ὑπὸ Ἰώνων
†χλουνάζειν· κινύρεσθαι
χλοῦναι (Hipponact. p. 121 Mein.)· λωποδύται, οἱ τῇ χλόῃ εὐναζόμενοι
χλούνην (Ι 535)· τὸν τῇ χλόῃ εὐναζόμενον
χλουνός· χρυσός
χλοῦς· ὠχρότης
χλωρὰ σῦκα (Eur. fr. 899) [46]
χλωρεύς (Ar. HA. IX 1)· ὀρνιθάριον χλωρόν
χλωρηΐς ἀηδών (τ 518)· ἤτοι ἀπὸ τοῦ χρώματος ἢ χλωρά. ἢ διὰ τὸ ἐπὶ χλωρῶν καθέζεσθαι δένδρων. ἢ ἀπὸ Χλωρίδος τὸ γένος ἔχουσα
χλωροί· οἱ φάσηλοι. μήποτε δὲ ὠχροί γραπτέον
χλωροκ†υρτίδες· εἶδος καρίδων
χλωρόν· ὑγρόν (Eur. Med. 906). δεινόν, χαλεπόν
χλωρὸν δέος (Η 379)· τὸ χλωροποιόν. τοιοῦτος γὰρ ὁ φόβος, χλωριάσεως (ἐμ)ποιητικός
χλωρόν τε καὶ βλέπον(τα Aesch. Ag. 677)· ἀντὶ τοῦ ζῶντα
χλωρὸν τυρόν (Ar. Ran. 567)· ἀπαλόν
χλωρός· ὠχρός
χλωρῷ πέδῳ· νεαρῷ [57]
χνᾶσαι (Cret.)· φονεῦσαι
χναύει· λαμβάνει. κνίζει
χναύεται (Mnesim. fr. I 12 p. 569)· περικνίζεται. λαμβάνει
χναῦμα (Com. an. fr. CCCXX)· τὸ βρῶμα
χναύματα· τὰ βρώματα. καὶ τὰ τῶν κρεῶν ἀπανθρακίσματα (cf. Eur. Cycl. 357)
χναύων· περικνίζων. περιτίλλων (Eubul. com. III p. 268) [64. 65]

COD. 510 χληδός 12 χληδᾷ (ε) 13 χλίδαι 15 χλυδανόν 18 χλιδῶνες, κόσμοι ὧν 19 |όσπουν — π — ἔχοντας 34 .χλοιὰ κάλπων 38 χλοός 43 cf. λουνόν 45 χλωραί· συκαῖ 47 cf. χωρίων 48 χλωριής 49 ὠχροί 56 χλωροπέδῳ 58 χλιάσαι 59 χνάνει (cf. ἔχναυον)

HES. 94 χλαμός· χλαῖνα Ad 501 ὠχρόν (χλωρόν) 5 χλεαίεται· θερμαίνεται (χλιαίνεται) 7 χλεύη· γέλως (Moer.) Ad 9 πληθύοντα (χλιδῶντα (Aesch. fr. 172)) 11 χλήδης· σπάδων, θλαδίας, εὐνοῦχος (χλούνης) Ad 16 τρυφή (Moer.) 24 χλιοῦται· σχίζεται (χιλοῦται· σιτίζεται) 29 χ[λ]οάνοις· τοῖς κοιλώμασιν, ἐν οἷς ἀναχεῖται τὰ χωνευόμενα 31 †χλόδη· ἔκλυσις καὶ μαλακία (χλιδή) Ad 35 καὶ τρυφᾶν (χλι—) 37 χλοιδῶσι (χλι—?)· θρύπτονται Ad 38 ὠχρότης (v. l. Υ 421) 46 χλωρός· τυρός (Moer. 403) 57 [χμαίνει· ἱμείρει] 64 χνεμύρεται· κισύρεται (χενύρεται· κινύρεται?) 65 χνισμός· νῆστις (ἄκμηνος)

χνιαρωτέρα· χνοω(δεσ)τέρα

χνίει· ψακάζει. θρύπτει ⟨521⟩

χνόαι (Aesch. Sept. 157)· αἱ χοινικίδες, αἱ τοῦ ἄξονος σύριγγες

χνόην· τὸν τῶν ποδῶν ψόφον (Aesch. Sept. 377)

χνόο(ς)· ὁ χνοῦ(ς) τοῦ γεν(ε)ιᾶν ἀρξαμένου

χνόος· ξυσμός. ψόφος (Callim. Ap. 37). φθόγγος ⟨χνόη⟩ [72]

χοᾶ (Ar. Eqq. 95)· χοῦν. μέτρον ὑγρῶν

χοαί· θυσίαι. καὶ τὸ μελίκρατον. καὶ ἔλαιον [75]

χοάνη· χώνη, τύπος, εἰς ὃν μεταχεῖται τὸ χωνευόμενον

χοάνοις (Σ 470)· τοῖς φυσητῆρσι, ταῖς χώναις, καὶ κοιλώμασιν, εἰς ἃ ἐγχεῖται τὸ χωνευόμενον, ἢ τοῖς πηλίνοις τύποις

†χοάρβηνα· τὰ γράμματα

χοάς (Soph. OC. 469)· τὰς σπονδὰς τῶν νεκρῶν

†χοᾶσθαι· καυχᾶσθαι ⟨723⟩

†χοάσ[σ]ομαι· ἐπίξομαι

Χοάσπης (Nic. Th. 890)· ποταμὸς Ἰνδίας

χοδιτεύειν· ἀποπατεῖν

χόδανον· τὴν ἕδραν

χόες· χῶναι [86. 87]

†χοῖας· τὸ ἀθροῖσθαι [89]

χοίνικες· αἱ βαθεῖαι πέδαι (Ar. Plut. 275). καὶ αἱ ἀπὸ μέρους τροφαί (Herod. VII 187)

χοινίκη ⟨—ικίς⟩· τοῦ τροχοῦ ἐν ᾧ στρέφεται ὁ ἄξων

χοῖνιξ· μέτρον τι. καὶ πέδη. καὶ νάρθηξ

χοιράδες· ἁλὶ ἐγκείμεναι πέτραι (Eur. Tro. 89). καὶ πάθος τι δεινόν (Hippocr. 271, 55)

χοιρίημα (Laced.)· τὸ χοιρίδιον

χοιρῖναι (sch. Ar. Eq. 1332 Vesp. 333)· αἱ θαλάσσιαι ψῆφοι [96]

χοῖροι· ὁμοίως. ἢ καὶ αὐτὰ τὰ ζῶα οἱ χοῖροι

χοιροκομεῖον (Ar. Lys. 1073 Vesp. 844)· λεπτόν τι πλεκτὸν ὡς ὀρνι(θ)οτροφεῖον

χοῖρος· χοιρόσακα, μηχάνημά τι οὕτως ἐκαλεῖτο

χοιροσφάγος· θύτης

χοιροτροφεῖον (Eupol. CXVI Phrynich. p. 569)· περίζωμα γυναικεῖον. καὶ συφεός

χοιροφόρημα· χοιρίδιον [603]

†χολαδία· τὸ σχολάζειν [5]

Χολαργῆς (Ar. Ach. 855)· δῆμος φυλῆς Ἀκαμαντίδος

Χολᾶς· ἑορτὴ Διονύσου

χολέρα· ἔκ(κ)ρισις κάτωθεν διὰ γαστρός, καὶ ἄνωθεν διὰ στόματος, ἐμετός [9]

χολέρα· σωλήν, δι' οὗ τὸ ὕδωρ ἀπὸ τῶν κεράμων φ(έρ)εται ἐξακοντιζόμενον

χολή (Pherecr. p. 282)· μανία πικρά

χόλικες (Pherecr. p. 300)· αἱ παχύταται κοιλίαι. οἱ δὲ τὰ τῆς κοιλίας †γράμματα

χόλιξι· κοιλίαις

χολόβαφα· τὰ χρυσῷ ἐμφερῶς βεβαμμένα

χολοβάφινον· τοῦτο λέγεται ἅμα μέν, ὅτι τὰ φαῦλα βαφέντα χολῇ βάπτεται, ἅμα δὲ τὰ χρυσῷ ἐμφερῶς βεβαμμένα (schol. Nic. Th. 444)

χολόεν· πικρόν, χολοποιόν

χόλος (Α 387)· ὀργὴ ἐπίμονος. καὶ ἡ τῆς χολῆς διάθεσις

χολοῦται· πικραίνεται, θυμοῦται

χολωθείς (Α 9)· ὀργισθείς, εἰς χόλον ἀχθείς

†χονδράς· χορδάς

χονδρίον· πίναξ. κέραμος

χονδρεύει· σεμίδαλιν ποιεῖ

χονδρίλη (Theophr. VII 7, 1. 11, 4)· ἀγριόν τι λάχανον

χονδρίτης· σεμίδαλις (Ath. 115 D) [25]

χονδροκοπεῖα· μύλων, ὅπου ὁ χόνδρος κόπτεται

χόνδρον (Com. Vesp. 1155)· σεμίδαλιν μεμαγμένην ὡς πλακοῦντα

χόνδρος· τραγανός. οὗτος ὁ ἄλιξ ⟨alica⟩. ἢ παχύς, ἢ μωρός

χόνδροι ἁλῶν (Ar. Ach. 521?)· παχεῖς ἅλες

χόννος (Gortynii)· ποτήριον χάλκεον ⟨587⟩

χοραγ(ε)ίων (Epicharm.?)· διδασκαλείων

χοραγός· διδάσκαλος. ἔξαρχος

χορδαψός· πάθος ἐντέρων

χορδή· νευρὰ κιθάρας

COD. 73 χοροῦν, χόα 74 χοαίξ 82 Χοάσπις 83. 84 = 84. 83 83 χύδανον 86 Cyr. Vind. 32 90 οἱ ἀπό 93 αἱ ἐγκ. 95 χοιρίναι 97. 98 = 98. 97 601 συφάγον ⟨4 σχολάδεια?⟩ 6 |γεῖς 15 |βαφίον (cf. χολο—) 17 ἐπιμονή 26 |όπια 27 μεμαγ|

HES. 72 χνοῦς· τὰ λεπτὰ τῶν ἀχύρων (gl. Ps. I 4) 75 χοανεῦσαι (Ar. Thesm. 68)· χωνεῦσαι ⟨Moer.⟩ 86 χοῖ ⟨novic.⟩· χώματι 87 χόϊνον (Cret.)· ποτήριον χαλκοῦν ⟨χόννον⟩ 89 χοϊκός (1 Cor. XV 47)· πήλινος, γηϊνος 96 χοιρογρύλλιον (LXX)· ὁ ἐχῖνος 603 χολάδες (Δ 526)· τὰ ἔντερα ἀπὸ τοῦ κεχαλάσθαι ⟨cf. χαλάδες⟩ 5 χολάοντα· ἀνθοῦντα ⟨χλοάοντα⟩ 9 χολεσέμεν (Α 78)· ὀργισθησόμεθα 25 χονδριτῶν (Genes. XL 16)· παχεῖα σεμίδαλις ......

χορδεῦσαι· κακοποιῆσαι. τεμεῖν
χορεῖον· [ad 36] αὔλημά τι (Trypho) [ad 36]
χορεύει (Phrynich. p. 583 Eubul. p. 242)· μελῳδεῖ. βακχεύει. ὀρχεῖται
χορηγία· δόσις
χορηγεῖ· παρέχει, δίδωσιν
†χορηγόν· παιδίον
χορηγός (Antiph. com. p. 116)· διδάσκαλος. καὶ ὁ ἐπιδοὺς τι τῶν ἰδίων. τοῦ χοροῦ ἐξάρχων
χόρια (Com. V p. 1156)· τὰ τῶν ἀρνῶν καὶ ἐρίφων ἀγγεῖα. ἄλλοι τὰ μέλιτος καὶ γάλακτος γενόμενα βρώματα
†Χορίλα Ἐκφαντίδες (Cratin. fr. LXVI)· Κρατῖνος τὸν Ἐκφαντίδος οὕτως εἶπεν, αὐτὸν τὸν Χορίλλον
χορὸν δίδωμι (Plat. Legg. 817 D)· παροιμία ἐπὶ τῶν σκώμμασι νικώντων [45]
χοροστασία (Callim. LM. 66)· χορός
χοροστατῶν· χοροῦ κατάρχων
χοροῦ ἡγεῖται· χορὸν τρέφει
χορταῖος· δασὺς χιτών, οἷος τῶν Σειληνῶν
?χορταιόβαμος· ὁ Σειληνός
χορταιοβάμων· .... χορταῖον τὸ ἔνδυμα τοῦ Σειληνοῦ
χόρτον οὐρανοῦ· τὸ περιόρισμα
χόρτος· ὁ συνήθης. καὶ ὁ περίβολος τῆς αὐλῆς, ὡς τό·
αὐλῆς ἐν χόρτῳ (Λ 773)
οἱ δὲ εὐρυχωρίαν. δηλοῖ δὲ καὶ χώραν. καὶ χόρτασμα. καὶ τὸν ὅρον τὸν †ἐκ γαίων, ὡς ἐν τῷ·
σύγχορτα ναίω πεδία (Eur. Andr. 17) [54]
†χοῦαι· αἱ κατὰ ἀγροικίαν †ἐπαγγηλίαι
χουμόν (Lacon. Boeot.)· χυλόν
χοῦς· ἄνθρωπος. καὶ τὸ ἐπιβαλλόμενον τῷ ὀρόφῳ. χῶμα. καὶ ἐρ(ε)ίπιον. καὶ μέτρον κοτυλῶν (ιβ′) [58]
χρᾷ (Herod. I 55)· χρήζει. θεσπίζει [60]
χραίνει (Aesch. Sept. 61)· μολύνει. †σαίνει. χρίει [62. 63]
χραίνειν (Eur. Hipp. 1438)· μολύνειν. †σαίνειν. χρίειν. μιαίνειν, ῥυπαίνειν
χραισμεῖν (Α 242)· βοηθεῖν [66]
χραισμήσουσι (Lycophr. 292)· βοηθήσουσιν [68]
χρᾶν (Herod. IV 155)· χρήζειν. μαντεύεσθαι. καὶ τὰ ὅμοια [70. 71]
χρᾶναι· χρῶσαι. καὶ τὰ ὅμοια
χράνας· μιάνας
χρανθείς (cf. Aesch. Suppl. 266)· μιανθείς
χραν†ιεῖσθαι· χραν(θ)ήσεσθαι. ἐπιχαυθήσεσθαι
χρᾶται· μολύνεται, καὶ τὰ τοιαῦτα [ad 76]
χραῦσαι· καταξῦσαι. χρᾶναι. σχιάσαι. γράψαι. ἐπιτυχεῖν
χραύσῃ (Ε 138)· καταξύσῃ. πλήξῃ
χραῦσις· ἄγκυρα μονόβολος
χρέα· δάνεια. μαντεύματα ⟨schol. λ 478⟩ [81. 82]
χρεαγωγός· ὁ ὑπὲρ ἑτέρου τὸν ὀφειλέτην ἄγων [84]
†χρει·, τὴν ἔνδειαν. ποτὲ δὲ καὶ τῷ χρέει [86]
χρείων (θ 79)· χρησμῳδῶν, χρησμολογῶν
χρειώς· δέησις
?χρεῖος (Λ 865 al.)· ὀφείλημα, χρέος
†χρεμέδα· γῆ ὡς Καλλίμαχος ⟨694⟩
χρεμετίζει· κιχλίζει ὡς ἵππος (cf. Siracid. XXXIII 6)
Χρεμέτης (Aristot. met. I 13)· ὄνομα ποταμοῦ
χρεμετισμός (Ar. Eqq. 533)· ἡ φωνὴ τῶν ἵππων
χρεμετᾷ· ἠχεῖ
†χρεμίς· χρεμετίς
χρεμύς (Aristot. Ath. 305 D)· ὁ ὀνίσκος ἰχθῦς
χρεμψιθέατρον (Com. an. fr. CLXXXI)· οἱ εἰσιόντες εἰς θέατρον ....

COD. 43 cf. ἐκκεχοιριλωμένη 49 χορταιός 51 χορταιὸν 53 ἐκγαίων 53 συγχορτάναι αἱ παδιαί 57 καὶ ἐρείπιον post κοτυλῶν 77 cf. ἔχραυσε 90 Forte χερμάδι· τῇ γῇ (tumulo) 91 χραι| κελεχίζει 92 χραιμετίς 95 Forte χρέμις· χρεμετιστής

HES. Ad 36 διδασκαλεῖον ⟨χορηγεῖον⟩. καὶ †βωμός τις. καὶ — καὶ μέρος τι χωρίον· καὶ τὸ κάλυμμα τὸ συγγενόμενον ἐκ τῆς κοιλίας (Deuter. XXVIII 57) 45 χορός (lex. in Psalm.)· κύκλος. στέφανος 54 χοροκαλή (Π 130)· καλῶς χορεύουσα 58 χοώμενος (Α 244)· λυπούμενος. ὀργιζόμενος 60 χραίει· κελεύει ⟨χρέ—⟩ 62 χραιματίσαι· κρᾶξαι ὡς ἵππος ⟨χρε—⟩ 63 χραιματισμός· ἡ τῶν ἵππων φωνή ⟨χρε—⟩ 66 χραισμῆσαι (Α 120)· βοηθῆσαι 68 χραισμῶσι (Λ 566)· βοηθῶσιν 70 χαραμβαλιαστύς· γέλως ὁ μετὰ παιδιᾶς ⟨χρεμβ—⟩ 71 χραμαδοῖλαι (Tarentini)· χελῶναι. καὶ αἱ νωθρόταται τῶν κυνῶν. οἱ δὲ τοὺς κοχλίας ⟨χραδαμύλαι⟩ Ad 76 ἡ χρῆται ⟨Moer.⟩ 81 χρεῖ· δεῖ 82 χρεῖαι· ἔνδει[ν]αι 84 χρέος (Hom. bis)· ὄφλημα. χρεία 86 χρειώ (Λ 341)· χρέα. χρεία

χρέοντες· προφητεύοντες
χρεολυτήσων· χρεοδοτήσων
(χρέος [Callim. Dian. 100]· θηρίον) cf. ῥέος et ῥέθος
χρεῦμα (Cret. ?)· ῥεῦμα
χρεώ· χρεία (I 197)· ἢ τὸ εἱμαρμένον. ἢ τὸ ὀφειλόμενον [702]
χρεῶν· ὀφειλομένων. ἢ χρησμολόγων ⟨χρέων⟩
χρεῶν ἀποκοπαί· ὅταν τὰ ὑπὸ τῶν πενήτων ὀφειλόμενα τοῖς πλουσίοις ἀκυρῆται
χρέως· χρέος, ὄφλημα [6]
χρή· δεῖ, πρέπει, καθήκει. χρησμῳδεῖ (Soph. El. 35 χρῇ)
χρήδανα· τὰ ὅπλα τοῦ ἱστοῦ [9. 10]
χρήϊα· πενία. ἢ χρήματα (Cretic.)
χρηΐζοντα (Λ 834)· ἐνδεόμενα, χρειώδη, χρείαν ἔχοντα
†χρῆϊς· πονηρός [14]
χρηματίζει· ἀποκρίνεται. λαλεῖ. πράττει. χρήματα συλλέγει
χρηματίσασθαι· πραγματεύσασθαι [17–19]
χρῆναι· δέον εἶναι
χρῇς (Cratin. fr. II p. 87)· θέλεις. χρῄζεις
χρῆσαι (Thuc. II 102)· θεσπίσαι
χρῆσθαι (Herod. I 47)· καυχᾶσθαι. πράττειν. προσφέρεσθαι, χρησμῷ χρῆσθαι [24. 25]
χρῆσις· ἐνέργεια [27]
χρησμόν· κληδόνα
χρησμός· προφητεία, πρόρρησις. ὁ παρὰ θεοῦ διδόμενος λόγος. ἢ μαντεία
χρησμῴδημα· τὰ αὐτά
χρησμῳδία (Aesch. Pro. 775)· μάντευμα, μαντεία, προλεγόμενον
χρησμῳδούμενα· τὰ αὐτά
χρηστὰ ποιεῖν· τὸν ὑπὲρ ἑτέρου ὀφείλοντα
χρήστης (Dem. 867, 13)· ὀφειλέτης. καὶ ὁ δανειστής. ὁ μάντις
χρηστήριον· μαντεῖον
χρηστοί (Arcad. Laced.)· οἱ καταδεδικασμένοι. χρήσιμοι
χρηστός· χρήσιμος
χρηστῶν· χρησίμων
χρήστωρ· μάντις
χρῆται· χρᾶται (q. v.)
†χρῖ· χρίει [42]
χρί(μ)πτεσθαι (Eur. Phoen. 99)· ἐρείδειν. ἐγγίζειν. ἐκ(ἐμ)πίπτειν. στηρίζεσθαι. ἐκ(εἰσ)βαλεῖν. ἀλείφειν. προσπελάζειν
χρίμπτεται· προσεγγίζει, καὶ τὰ ὅμοια
χριμφθῆναι (Aesch. Suppl. 790)· ἐμπελασθῆναι. †ἐκριφῆναι. ἀνορμῆσαι
χρίμψαι· πελάσαι [47]
χροανθές· εὐφεγγές [49]
χροιά· ἐπιφάνεια
χροϊζόμενον· λαμπρυνόμενον
χρόμαδος (Ψ 688)· κρότος, ψόφος
χρόμη· φρυαγμός. ὁρμή. θράσος ⟨807⟩
χρόμις (Epicharm.)· εἶδος ἰχθύος [55]
χρόμοις· χρεμετισμοῖς
χρόμος· †ψύχος. ψόφος ποιός. οἱ δὲ χρεμετισμός [58]
χρόνιον (ρ 112)· ἀρχαῖον. ἢ μετὰ πολὺν χρόνον
χρονιώτερον (Pind. N. IV 10)· ὑπερχρονίζον [61—63]
†χροιά· μακρά
†χρυνάζει· καλεῖ
χρυσαΐζεται· κοσμεῖται
χρυσαλλίς (Ar. HA. III 9 V 19)· ζῷόν τι. οἱ δὲ τὴν ἀπὸ τῆς κάμπης γινομένην χρυσαλλίδα λέγουσιν
χρυσαμοιβός (Aesch. Ag. 436)· ἀργυρογνώμων
χρυσάμπυκας (Ε 358)· χρυσοχαλίνους. χρυσομίτρους
χρυσάμπυκες (Hesiod. Th. 916)· χρυσόδεσμοι
χρυσάμπυχος· χρυσοδέσμου. χρυσοχαλίνου. οἱ δὲ χρυσοῦς δεσμοὺς ἔχοντος περὶ τὴν ἄμπυκα, ὅ ἐστιν ἡ τῶν τριχῶν εἰς τὸ ἄνω ἀνάληψις

